
ΕΡΟΙΑΣ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

GRVER 00752 9107

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΕΡΟΙΑΣ
Αρ. 4057
+200
Αρ:θ. εἰσ. 1957
ΔΩΡΕΑ Τσούπρα Ζ.
1953

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η
ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΒΕΡΟΙΑ 1953

Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

ΜΕΤΑ

ΥΠΟΜΝΗΜΑΤΩΝ ΑΡΧΑΙΩΝ,

ΕΚΔΙΔΟΜΕΝΗ

ΥΠΟ

ΘΕΟΚΛΗΤΟΥ ΦΑΡΜΑΚΙΔΟΥ.

ΤΟΜΟΣ ΕΒΔΟΜΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΤΗΝ ΑΠΟΚΑΛΥΨΙΝ ΤΟΥ ΙΩΑΝΝΟΥ

ΚΡΑΤΙΚΟΝ ΝΟΣΟΚΟΜΕΙΟΝ ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΝΙΚΟΛΑΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ ΤΗ ΚΑΠΝΙΚΑΡΕΑ

1845.

Αριθ. 4057

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΡΕΘΑ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ,

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ

ΑΠΟΚΑΛΥΨΙΝ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ·

Ἤ

ΠΡΟΣΤΕΘΕΙΤΑΙ ΚΑΙ Η ΤΟΥ ΑΝΔΡΕΟΥ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΝΙΚΟΛΑΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ ΤΗ ΚΑΠΝΙΚΑΡΕΑ

1845.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



ΠΡΟΛΕΓΟΜΕΝΑ.

Την ιζ' τοῦ Σεπτεμβρίου τοῦ ἔτους 1841 ἀνήγγειλα εἰς ἅπαν τὸ εὐσεβὲς πλήρωμα τῆς ὀρθοδόξου ἡμῶν ἀνατολικῆς ἐκκλησίας τὴν ἔκδοσιν τῆς καινῆς Διαθήκης ὅλης μετὰ συντόμων ἀρχαίων ὑπομνημάτων· διότι ἐνόμισα διὰ πολλοὺς λόγους ἀναγκαίαν καὶ χρήσιμον καὶ ὠφέλιμον τὴν τοιαύτην ἔκδοσιν· καὶ μόλις μετὰ τετραετίαν ἐδυνήθην νὰ φέρω εἰς πέρας τὸ ἔργον. Ἐὰν παρά τε τὴν ἐμὴν καὶ τὴν τῶν φιλοτίμως συνδραμόντων μοι εἰς τοῦτο προσδοκίαν μετὰ τόσον χρόνον ἀπεπερατώθη τὸ ἔργον, τοῦτο δὲν προῆλθεν ἐξ αἰτίας ἐμοῦ. Ἀλλ' ὁπόθεν καὶ ἂν προῆλθεν ἡ τόση βραδύτης, ἰδού, τέλος, σὺν θεῷ ἀντιλήπτορι, ἔλαβε πέρας τὸ ὅλον ἐπιχείρημα. Ἐὰν δὲ ἔπραξα τῳόντι ἔργον χρήσιμον καὶ ὠφέλιμον, ἂς κρίνωσιν οἱ ἐν χερσὶ νῦν φέροντες τὸ σύγγραμμα καὶ ἀναγινώσκοντες.

Ὁ ἤδη ἐκδεδομένος Ζ' καὶ τελευταῖος τόμος περιέχει τὴν Ἀποκάλυψιν Ἰωάννου τοῦ Θεολόγου, καὶ τὴν εἰς αὐτὴν ἑρμηνείαν τοῦ ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας Ἀρέθα, καθ' ἣν, ἀναγγέλλων τοπρῶτον τὴν ἔκδοσιν τῆς καινῆς Διαθήκης, ἔδωκα ὑπόσχεσιν· καὶ ἐν τούτῳ ἐλάμβανε πέρας τὸ ὅλον ἔργον. Ἀλλὰ δεύτεραι σκέψεις μ' ἔπεισαν, εἰς κοινὴν μᾶλλον ὠφέλειαν ἢ εἰς ἴδιόν μου συμφέρον ἀποβλέποντα, νὰ προσθέσω καὶ τὴν τοῦ Ἀνδρέου, ἀρχιεπισκόπου καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ Καισαρείας τῆς Καππαδοκίας. Τ' ἄλλα τῆς καινῆς Διαθήκης συγγράμματα εὗρον κατὰ τοὺς ἀρχαίους τῆς ἐκκλησίας χρόνους πολλοὺς καὶ περιωνύμους ἑρμηνευτὰς καὶ ἐξηγητάς· ἡ δὲ Ἀποκάλυψις τοῦ Ἰωάννου ὅλη ἄλλους παρὰ τοὺς δύο εἰρημένους δὲν εὗρεν. Ἂν καὶ ὅ,τε Ἀνδρέας καὶ ὁ Ἀρέθας δὲν εἶναι Χρυσόστομοι καὶ Θεοδώρητοι κατὰ τὴν ἑρμηνείαν καὶ ἐξήγησιν, δὲν εἶναι ὅμως καὶ εὐκαταφρόνητοι· καὶ παρ' ἡμῖν εἶναι διὰ πολλοὺς λόγους πολύτιμοι. Ἄλλων ἐκκλησιῶν τέκνα ἔκριναν αὐτοὺς ἀξίους τοῦ διὰ τοῦ τύπου ῥωτὸς, καὶ ἡμεῖς ἔπρεπε νὰ δειχθῶμεν ἀγνώμονες πρὸς πατέρας ἡμετέρους;

Περὶ τοῦ βίου τῶν ἤδη παρ' ἐμοῦ ἐκδεδομένων ἑρμηνευτῶν τῆς ἱερᾶς Ἀποκαλύψεως πολλὰ δὲν ἔχω νὰ εἴπω· διότι οὐδὲ πολλὰ εὗρον παρ' ἑτέρων περὶ τούτου εἰρημένα. Τοῦτο μόνον κοινῶς ὁμολογεῖται, ὅτι ἀμφότεροι ἦσαν διάδοχοι τοῦ Μεγάλου Βασιλείου· διότι ἀμφότεροι ἦσαν ἀρχιεπίσκοποι Καισαρείας τῆς Καππαδοκίας· καὶ ὅτι ὁ εἷς ἤκμαζε πρὸ τοῦ ἑτέρου· ἀλλ' ἄγνωστον κατὰ πόσον χρόνον ἦτον προγενέστερος αὐτοῦ. Κατὰ δὲ τὴν κοινοτέραν δόξαν ἤκμαζον, ὁ μὲν Ἀνδρέας περὶ τὸ τέλος τοῦ Ε' αἰῶνος ἢ περὶ τὰς ἀρχὰς τοῦ ς'· ὁ δὲ Ἀρέθας, περὶ τὰς ἀρχὰς τοῦ Ι' (1). Καὶ ὁ πρῶτος καὶ ὁ δεύτερος ἐρανίσαντο καὶ ἐκ τῶν συγγραμμάτων τῶν πρὸ αὐτῶν, ὡς αὐτοὶ οἱ ἴδιοι ὁμολογοῦσιν. Ἀλλ' ὁ Ἀρέθας ἠκολούθησε κατ' ἴχνος τῷ ἑαυτοῦ προκατόχῳ ἐν τῇ ἐπισκοπῇ Ἀνδρέᾳ, πλατύνων

(1) Ἰδ. Φωτ. Ἑλλ. Βιβλ. Τομ. Η'. Σελ. 698—99. Ἐκδ. Ἀρλησίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν πολλοῖς τὰ παρὰ τούτου συντομώτερον εἰρημένα· πλὴν ἐν πολλοῖς καὶ διαφέρει ἀπ' αὐτοῦ, ὡς ἐκ τῆς παραθέσεως τῶν δύο ἑρμηνειῶν γίνεται δῆλον.

Ἡ εἰς τὴν Ἀποκάλυψιν ἑρμηνεία τοῦ Ἀνδρέου ἐξεδόθη τοπρῶτον ἐν Ἰγγολσταδίῳ ἐν ἔτει 1574 παρὰ Θεοδώρου τοῦ Πελτάνου, παρ' οὗ καὶ μετεφράσθη λατινιστί, ἐκ δύο χειρογράφων, ἑνὸς Βαυαρικοῦ καὶ ἑνὸς Αὐγουσανοῦ· καὶ ὡς τοπρῶτον ἐξεδόθη τὸ κείμενον αὐτῆς, οὕτω παρελήφθη καὶ εἰς τὰς μετέπειτα γενομένας ἐκδόσεις αὐτῆς· καὶ ἄλλα χειρόγραφα δὲν παρεβλήθησαν πρὸς τὰ πρῶτα. Ἐξεδόθη δὲ παρ' ἐμοῦ κατὰ τὴν ἐν ἔτει 1697 ἐν τῷ παρὰ τὸν Μοῖνον Φραγκοφορτίῳ μετὰ τῶν συγγραμμάτων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου γενομένην ἔκδοσιν αὐτῆς. Ἡ δὲ τοῦ Ἀρέθα ἑρμηνεία ἐξεδόθη τοπρῶτον ἐν ἔτει 1532 ἐν Οὐερώνῃ εἰς τὸ τέλος τοῦ Οἰκουμενίου· μετεφράσθη δὲ λατινιστὶ πρῶτον μὲν παρὰ τοῦ Ἰ. Ἐντενίου· ἔπειτα δὲ παρὰ τοῦ μοναχοῦ Μαξίμου τοῦ Φλωρεντινοῦ· καὶ ὡς τοπρῶτον ἐξεδόθη καὶ αὐτῆς τὸ κείμενον, οὕτως ἐπανελήφθη καὶ ἄλλοτε. Ἐσχάτη δὲ ἔκδοσις αὐτῆς εἶναι ἡ ἐν Παρισίοις ἐν ἔτει 1631 παρὰ τοῦ Φ. Μορέλλου γενομένη εἰς τὸ τέλος τοῦ Οἰκουμενίου μετὰ τῆς μεταφράσεως τοῦ Ἐντενίου· καὶ κατ' αὐτὴν ἐξεδόθη παρ' ἐμοῦ. Ἀλλ' ἀμφοτέρων τῶν ἑρμηνειῶν τὸ κείμενον εἶναι ἐν πάσαις αὐτῶν ταῖς ἐκδόσεσι (διότι ἐν πάσαις εἶναι τὸ αὐτὸ) ὄχι τόσον ὀρθῶς ἐκδεδομένον· καὶ τοῦτο εἶναι ἢ ἐλάττωμα τῶν ἐξ ὧν μετεγράφη χειρογράφων, ἢ σφάλμα τῶν πρώτων ἐκδοτῶν, ἀμελῶς πως μεταγραψάντων τὰ χειρόγραφα. Χειρότερον μά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βάρνας

λιστα εἶναι τὸ κείμενον τῆς τοῦ Ἀρέθα ἑρμηνείας· διότι ἐν πολλοῖς μέρεσιν εἶναι τόσον πολὺ συγκεχυμένον καὶ παρεφθαρμένον, ὥστε ἡ ἑρμηνεία γίνεται δύσληπτος, καὶ ἔστιν ὅπου ἀκατάληπτος. Κατὰ τὸν Ῥιχάρδον Σίμωνα (1) εὑρίσκονται εἰς τὴν ἐν Παρισίοις βασιλικὴν βιβλιοθήκην χειρόγραφα πολλῷ κρείττονα τῶν ἐξ ὧν τοπρῶτον ἐξεδόθη ἡ ἑρμηνεία τοῦ Ἀρέθα. Ἀλλ' ὁ Μορέλλος δὲν ἠθέλησε νὰ κοπιάσῃ, μεταγράφων ἐξ αὐτῶν ὀρθότερον κείμενον, ἢ παραβάλλων πρὸς αὐτὰ τὸ ἤδη ἐκδεδομένον, καὶ ἐπιδιορθῶν αὐτὸ κατ' αὐτά. Μὴ οὔσης δυνατῆς ἐν Ἑλλάδι τῆς τελείας τοῦ κακοῦ θεραπείας ἐκ χειρογράφων, ἐδύνατό τις νὰ ἐπιφέρῃ τοιαύτην τινὰ εἰς τὰ κακῶς ἔχοντα χωρία τοῦ πρωτοτύπου Ἑλληνικοῦ κειμένου ἐκ τῆς Λατινικῆς μεταφράσεως· ἀλλὰ καὶ αὐτὴ εἶναι κακή, καὶ ἐν πολλοῖς χειρίστη. Ἐπιμελέστερον ὁπωσοῦν εἶναι ἐκδεδομένον τὸ κείμενον τῆς ἑρμηνείας τοῦ Ἀνδρέου· καὶ ἐξ αὐτοῦ ἐδιωρθώθησαν κατά τι ὅσα ἐκ τῆς ἑρμηνείας τοῦ Ἀνδρέου παρέλαβεν ὁ Ἀρέθας. Ἀλλ' ὅ,τι δὲν ἔπραξαν ἀλλογενεῖς καὶ ἑτερόδοξοι ἐκδόται, εἴθε νὰ πράξωσι μετ' ἐμὲ ὁμογενεῖς καὶ ὀρθόδοξοι, ἐκδιδόντες τὰς περὶ ὧν ὁ λόγος ἑρμηνείας ἐκ χειρογράφων ὀρθοτέρων. Εἰς ἡμᾶς διαφέρουσιν ἀσυγκρίτῳ λόγῳ αἱ τοιαῦται ἑρμηνεῖαι· διότι πρὸς τῇ ἐξ αὐτῶν μεγάλῃ ὠφελείᾳ εἶναι αὗται καὶ πατρικὴ κληρονομία.

Τὸ θεῖον κείμενον τῆς Ἀποκαλύψεως ἐξεδόθη, παρὰ μὲν τῷ Ἀρέθᾳ κατὰ τὰς νεωτέρας καὶ κριτικωτέρας

(1) Richard Simon Histoire critique des principaux commentateurs du N. T. Libb. III.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκδόσεις τῆς καινῆς Διαθήκης, πλὴν ὅπου ἡ ἑρμηνεία ἀπῄτει ἀναγκαίως τὸ ὁποῖον ἐμεταχειρίσθη εἰς αὐτὴν ὁ συγγραφεὺς κείμενον· ἐσημειώθησαν δὲ ὑπ' αὐτὸ καὶ διάφοροι ἀναγνώσεις· παρὰ δὲ τῷ Ἀνδρέᾳ, τοιοῦτον, ὁποῖον ὑπάρχει παρ αὐτῷ μετὰ τῆς ἑρμηνείας ἐκδεδομένον.

Τοιαύτη εἶναι ἡ ἔκδοσις τῆς καινῆς Διαθήκης, τὴν ὁποίαν πρὸ τεσσάρων ἐτῶν ἀνήγγειλα· καὶ δοξάζω τὸν ἅγιον Θεὸν, ὅτι μοὶ ἐχαρίσατο καὶ ὑγείαν καὶ ζωὴν εἰς τὸ νὰ φέρω εἰς πέρας τὸ ἔργον. Παρ' ἐμοῦ τέθειται τὸ θεμέλιον εἰς τὸ οἰκοδόμημα τοῦτο· ἄλλοι ἱκανώτεροι ἐμοῦ ἐποικοδομήτωσαν. Πρῶτοι Ἕλληνες Πατέρες τῆς ἐκκλησίας ἀνεφάνησαν καὶ τῶν ἱερῶν Γραφῶν ἑρμηνευταὶ καὶ ἐξηγηταὶ, καὶ ἐγένοντο καὶ κατὰ τοῦτο τύπος καὶ παράδειγμα εἰς τ' ἄλλα χριστιανικὰ ἔθνη. Ἀλλ' ἂν ἀπὸ πολλῶν ἤδη αἰώνων δὲν ἀνεφάνησαν πλέον τοιοῦτοι εἰς τὴν ὀρθόδοξον ἡμῶν ἀνατολικὴν ἐκκλησίαν, τούτου αἴτιον αἱ, κρίμασιν οἷς οἶδε Κύριος, εὑροῦσαι αὐτὴν δειναὶ περιστάσεις. Τούτων ἀρθεισῶν ἤδη ἐν μέρει καὶ τελέως τῇ ἐξ ὕψους κραταιᾷ βοηθείᾳ αἱρουμένων ἐκ τοῦ μέσου, θέλουσιν ἀναφανῇ πάλιν εἰς αὐτὴν ἄξιοι τῶν Ἀθανασίων, τῶν Βασιλείων, τῶν Γρηγορίων, τῶν Χρυσοστόμων, τῶν Κυρίλλων, τῶν Θεοδωρήτων, τῶν Θεοφυλάκτων, καὶ λοιπῶν, μαθηταὶ καὶ μιμηταὶ, τὰς ἑρμηνείας καὶ ἐξηγήσεις αὐτῶν ἔχοντες παραδείγματα καὶ ὁδηγίας. Ἡ ἐπιτηδεία ὕλη ὑπάρχει· μόναι αἱ εἰς μόρφωσιν αὐτῆς εὐνοϊκαὶ περιςάσεις λείπουσιν. Ἀλλὰ καὶ αὐταὶ θέλουσιν ἐλθεῖ· καὶ εἴθε ταχύτερον!

Ἐν Ἀθήναις, 1845 Σεπτεμβρίου 5.

Θ. ΦΑΡΜΑΚΙΔΗΣ.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΑ
ΤΗΣ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ
ΑΠΟΚΑΛΥΨΕΩΣ.

Σελ.

Α. Προοίμιον τῆς Ἀποκαλύψεως, καὶ ὅτι δὶ ἀγγέλου αὐτῷ δέδοται 1

Β. Ὀπτασία, ἐν ᾗ τὸν Ἰησοῦν ἐθεάσατο ἐν μέσῳ λυχνιῶν ἑπτά 12

Γ. Τὰ γεγραμμένα πρὸς τὸν τῆς Ἐφεσίων ἐκκλησίας ἄγγελον 22

Δ. Τὰ δηλωθέντα τῷ ἐν τῇ Σμυρναίων ἐκκλησίᾳ ἀγγέλῳ 26

Ε. Τὰ σημανθέντα τῷ τῆς Περγαμηνῶν ἐκκλησίας ἀγγέλῳ. 29

Ϛ. Τὰ γεγραμμένα τῷ τῆς Θυατείρων ἐκκλησίας ἀγγέλῳ. 32

Ζ. Τὰ ἀπεσαλμένα τῷ ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας. 40

Η. Τὰ γραφέντα πρὸς τὸν τῆς Φιλαδελφέων ἐκκλησίας ἄγγελον 44

Θ. Τὰ δηλωθέντα πρὸς τὸν τῆς Λαοδικέων ἐκκλησίας ἄγγελον 50

Ι. Περὶ τῆς ὀραθείσης αὐτῷ θύρας ἐν τῷ οὐρανῷ, καὶ τοῦ θρόνου, καὶ τῶν κδ' πρεσβυτέρων, καὶ τῶν ἑξῆς δειχθέντων 54

ΙΑ. Περὶ τῆς βίβλου, τῆς ἐσφραγισμένης σφραγῖσιν ἑπτὰ, τῆς ἐν τῇ χειρὶ τοῦ θεοῦ, ἣν οὐδεὶς ἀνοῖξαι δύναται τῆς κτιστῆς φύσεως. 62

ΙΒ. Περὶ τοῦ ἀρνίου, τοῦ τὰ ἑπτὰ κέρατα ἔχοντος, ὅπως τὴν βίβλον ἀνέῳξεν 65

ΙΓ. Λύσις τῆς πρώτης σφραγῖδος, τὴν ἀποστολικὴν διδαχὴν σημαίνουσα 71

ΙΔ. Λύσις τῆς δευτέρας σφραγῖδος, δηλοῦσα τὸν τῶν ἀπίστων κατὰ τῶν πιστῶν πόλεμον 73

ΙΕ. Λύσις τῆς τρίτης σφραγῖδος, δηλοῦσα τῶν μὴ παγίως πεπιστευκότων Χριστῷ τὴν ἔκπτωσιν . . 74

ΙϚ. Λύσις τῆς τετάρτης σφραγῖδος, ἐμφαίνουσα τὰς ἐπα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.

γομένας παιδευτικὰς μάστιγας τοῖς δι' ἀνυπομονησίας ἀρνησαμένοις τὸν Κύριον. 76

ΙΖ. Λύσις τῆς πέμπτης σφραγῖδος, τὴν τῶν ἁγίων ψυχῶν σημαίνουσα πρὸς Κύριον καταβόησιν, ὥστε γενέσθαι συντέλειαν 78

ΙΗ. Λύσις τῆς ἕκτης σφραγῖδος, τὰς ἐν τῇ συντελείᾳ ἐπαγομένας πληγὰς σημαίνουσα 80

ΙΘ. Περὶ τῶν σωζομένων ἐκ τῆς πληγῆς τῶν τεσσάρων ἀγγέλων χιλιάδων ρμδ'. 86

Κ. Περὶ τοῦ ἀναριθμήτου ὄχλου τῶν ἐξ ἐθνῶν Χριστῷ συμβασιλευσάντων 89

ΚΑ. Λύσις τῆς ἑβδόμης σφραγῖδος, δηλοῦσα, ἀγγελικὰς δυνάμεις προσάγειν θεῷ τὰς τῶν ἁγίων προσευχὰς, ὡς θυμιάματα 92

ΚΒ. Περὶ τῶν ἑπτὰ ἀγγέλων, ὧν τοῦ πρώτου σαλπίσαντος, χάλαζα καὶ πῦρ καὶ αἷμα ἐπὶ τῆς γῆς φέρεται. 95

ΚΓ. Περὶ τοῦ δευτέρου ἀγγέλου, οὗ σαλπίσαντος, τῶν ἐν θαλάσσῃ ἐμψύχων ἀπώλεια γίνεται 96

ΚΔ. Ὁ τρίτος ἄγγελος, τὰ τῶν ποταμῶν πικραίνει ὕδατα. 97

ΚΕ. Ὁ τέταρτος ἄγγελος τὸ τρίτον τοῦ ἡλιακοῦ καὶ σεληνιακοῦ φωτὸς σκοτίζει 99

ΚΣ. Περὶ τοῦ πέμπτου ἀγγέλου, καὶ τῶν ἐκ γῆς ἀβύσσου ἀνερχομένων νοητῶν ἀκρίδων, καὶ τοῦ ποικίλου τῆς μορφῆς αὐτῶν 100

ΚΖ. Περὶ τοῦ ἕκτου ἀγγέλου, καὶ τῶν ἐπὶ τῷ Εὐφράτῃ λυομένων ἀγγέλων ἐπίλυσις. 107

ΚΗ. Περὶ ἀγγέλου, περιβεβλημένου νεφέλην καὶ ἶριν, καὶ τὸ κοινὸν τέλος προμηνύοντος 112

ΚΘ. Ὅπως τὸ βιβλιδάριον ἐκ χειρὸς τοῦ ἀγγέλου ὁ εὐαγγελιστὴς εἴληφεν. 119

Λ. Περὶ Ἐνὼχ καὶ Ἠλίᾳ, διελέγχειν μελλόντων τὸν Ἀντίχριστον. 122

ΛΑ. Ὅπως, ἀναιρεθέντες ὑπὸ τοῦ Ἀντιχρίστου, ἀναστήσονται Ἐνὼχ καὶ Ἠλίας, καὶ τοὺς ἠπατημένους ἐκπλήξουσιν. 127

ΛΒ. Περὶ τῆς ἑβδόμης σάλπιγγος, καὶ τῶν ὑμνούντων τὸν θεὸν ἁγίων ἐπὶ τῇ μελλούσῃ κρίσει . . . 129

ΛΓ. Περὶ τῶν διωγμῶν τῆς ἐκκλησίας, τῶν προτέρων καὶ τῶν ἐπὶ τοῦ Ἀντιχρίστου. 131

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.

ΛΔ. Περὶ τοῦ γενομένου πολέμου μεταξὺ τῶν ἁγίων ἀγγέλων καὶ τῶν πονηρῶν δυνάμεων, καὶ τῆς καταπτώσεως τοῦ δράκοντος. 136
ΛΕ. Ὅπως ὁ δράκων διώκων τὴν ἐκκλησίαν οὐ παύεται. 139
ΛΣ. Περὶ τοῦ θηρίου, τοῦ ἔχοντος κέρατα δέκα καὶ κεφαλὰς ἑπτὰ, ὧν μίαν ὡς ἐσφαγμένην ἔφη. . . 141
ΛΖ. Περὶ ἑτέρου θηρίου, δύο κέρατα ἔχοντος, καὶ τῷ πρώτῳ τοὺς ἀνθρώπους προσάγοντος 147
ΛΗ. Περὶ τοῦ ὀνόματος τοῦ θηρίου 150
ΛΘ. Περὶ τῶν ρμδ' χιλιάδων τῶν σὺν τῷ ἀρνίῳ ἑστώτων ἐν ὄρει Σιών. 151
Μ. Περὶ ἀγγέλου, προαγορεύοντος τὴν ἐγγύτητα τῆς κρίσεως τῆς μελλούσης. 154
ΜΑ. Περὶ δευτέρου ἀγγέλου, τὴν πτῶσιν τῆς Βαβυλῶνος κηρύσσοντος 155
ΜΒ. Περὶ τρίτου ἀγγέλου, ἀσφαλιζομένου τὸν τοῦ Κυρίου λαὸν, μὴ δέξασθαι τὸν Ἀντίχριστον 156
ΜΓ. Ὅτι ὁ ἐν τῇ νεφέλῃ καθήμενος, τῷ δρεπάνῳ συντελεῖ τὰ ἐκ τῆς γῆς βλαστάνοντα 160
ΜΔ. Περὶ ἑτέρου ἀγγέλου, τρυγῶντος τὴν τῆς πικρίας ἄμπελον 162
ΜΕ. Περὶ τῶν ἑπτὰ ἀγγέλων, τῶν ἐπαγόντων ταῖς ἀνθρώποις τὰς πληγὰς πρὸ τῆς συντελείας· καὶ περὶ τῆς ὑαλίνης θαλάσσης, ἐν ᾗ τοὺς ἁγίους ἐθεάσατο. 165
ΜΣ. Ὅπως, τῆς πρώτης φιάλης ἐκχυθείσης, ἕλκος κατὰ τῶν ἀποστατῶν γίνεται. 169
ΜΖ. Πληγὴ δευτέρα κατὰ τῶν ἐν θαλάσσῃ ἐπιτιμωμένων. 170
ΜΗ. Ὅπως διὰ τῆς τρίτης οἱ ποταμοὶ εἰς αἷμα μετακιρνῶνται 171
ΜΘ. Ὅπως διὰ τῆς τετάρτης καυματίζονται οἱ ἄνθρωποι. 172
Ν. Ὅπως διὰ τῆς πέμπτης ἡ βασιλεία τοῦ θηρίου σκοτίζεται. 173
ΝΑ. Ὅπως διὰ τῆς ἕκτης ἡ ὁδὸς διὰ τοῦ Εὐφράτου τοῖς ἀπὸ ἀνατολῶν ἡλίου βασιλεῦσιν ἀνοίγεται. . . 174
ΝΒ. Ὅπως διὰ τῆς ἑβδόμης χάλαζα καὶ σεισμὸς κατὰ τῶν ἀνθρώπων γίνεται. 177
ΝΓ. Περὶ τοῦ ἑνὸς τῶν ἑπτὰ ἀγγέλων, δεικνύντος τῷ εὐαγγελιστῇ τὴν τῆς πόρνης πόλεως καθαίρεσιν· καὶ περὶ τῶν ἑπτὰ κεφαλῶν καὶ τῶν δέκα κεράτων. 180
ΝΔ. Ὅπως ὁ ἄγγελος τὸ ὁραθὲν αὐτῷ μυστήριον ἡρμήνευσεν. 183

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.

ΝΕ. Περὶ ἑτέρου ἀγγέλου, τὴν πτῶσιν τῆς Βαβυλῶνος δηλοῦντος, καὶ οὐρανίου φωνῆς, τὴν ἐκ τῆς πόλεως φυγὴν ἐντελλομένης· καὶ περὶ τῆς ἀποβολῆς τῶν τερπνῶν, ὧν τὸ πρὶν ἐκέκτηντο. 188

ΝϚ. Περὶ τῆς τῶν ἁγίων ὑμνῳδίας, καὶ τοῦ τριπλοῦ ἀλληλούϊα, ὅπερ ἔψαλλον ἐπὶ τῇ καθαιρέσει Βαβυλῶνος. 198

ΝΖ. Περὶ τοῦ μυστικοῦ γάμου, καὶ τοῦ δείπνου τοῦ ἀρνίου. 199

ΝΗ. Πῶς τὸν Χριστὸν ὁ εὐαγγελιστὴς ἔφιππον μετὰ δυνάμεων ἀγγελικῶν ἐθεάσατο σὺν φόβῳ. . . . 201

ΝΘ Περὶ τοῦ Ἀντιχρίστου καὶ τῶν σὺν αὐτῷ βαλλομένων εἰς τὴν γέενναν. 206

Ξ. Ὅπως ὁ Σατανᾶς ἐδέθη ἀπὸ τῆς Χριστοῦ παρουσίας μέχρι τῆς συντελείας· καὶ περὶ τῶν χιλίων ἐτῶν. 207

ΞΑ. Περὶ τῶν ἡτοιμασμένων θρόνων τοῖς φυλάξασι τὴν Χριστοῦ ὁμολογίαν 209

ΞΒ. Τί ἐστιν ἡ πρώτη ἀνάστασις, καὶ τίς ὁ δεύτερος θάνατος 211

ΞΓ. Περὶ τοῦ Γὼγ καὶ Μαγώγ 212

ΞΔ· Περὶ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ τῆς κοινῆς ἀναστάσεως καὶ κρίσεως 216

ΞΕ. Περὶ καινῶν οὐρανοῦ τε καὶ γῆς, καὶ τῆς ἄνω Ἱερουσαλήμ 218

ΞϚ. Περὶ ὧν εἶπεν ὁ ἐν τῷ θρόνῳ καθήμενος καὶ ὁραθείς. 220

ΞΖ. Περὶ τοῦ ἀγγέλου, τοῦ δεικνύντος αὐτῷ τὴν τῶν ἁγίων πόλιν, καὶ τὸ ταύτης τεῖχος σὺν τοῖς πυλῶσι διαμετροῦντος 222

ΞΗ. Περὶ τοῦ καθαροῦ ποταμοῦ, τοῦ ὀπτανθέντος ἐκ τοῦ θρόνου ἐκπορεύεσθαι 233

ΞΘ. Περὶ τοῦ ἀξιοπίστου τῶν τεθεαμένων τῷ ἀποστόλῳ. 235

Ο. Ὅτι θεὸς τῶν προφητῶν ὁ Χριστὸς, καὶ δεσπότης τῶν ἁπάντων 236

ΟΑ. Ὅπως ἐκελεύσθη μὴ σφραγῖσαι, ἀλλὰ κηρῦξαι τὴν Ἀποκάλυψιν. 237

ΟΒ. Ὅπως ἡ ἐκκλησία καὶ τὸ ἐν αὐτῇ πνεῦμα προσκαλοῦνται τὴν τοῦ Χριστοῦ ἔνδοξον ἐπιφάνειαν· καὶ περὶ τῆς ἀρᾶς, ἣ ὑποβάλλονται οἱ τὴν βίβλον ταύτην παραχαράττοντες 240

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΚ ΤΩΝ ΑΝΔΡΕΑ

ΤΩ

ΜΑΚΑΡΙΩΤΑΤΩ ΑΡΧΙΕΠΙΣΚΟΠΩ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ

ΕΙΣ ΤΗΝ

ΑΠΟΚΑΛΥΨΙΝ ΠΕΠΟΝΗΜΕΝΩΝ ΘΕΑΡΕΣΤΩΣ ΣΥΝΟΨΙΣ ΣΧΟΛΙΚΗ,

Παρατεθεῖσα ὑπὸ

ΑΡΕΘΑ ΑΝΑΞΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ.

Ἰστέον, ὅτι τὴν πᾶσαν πραγματείαν τοῦ παρόντος βιβλίου εἰς εἰκοσιτέσσαρας λόγους ὁ μακάριος οὗτος καὶ θεοτυνέργητος ἀνὴρ (1), καὶ εἰς ἑβδομηκονταδύο κεφάλαια οὐκ ἀσυνέτως διεῖλε. Τρισσούμενος γὰρ ὁ εἰκοστὸς τέταρτος ἀριθμὸς, γεννᾷ τὸν ἑβδομηκονταδύο· ὁ δὲ εἰκοστὸς τέταρτος, διὰ τοὺς εἰκοσιτέσσαρας πρεσβυτέρους, οὓς ἐνταῦθα ἡ Ἀποκάλυψις ἐχρημάτισεν, ἐλήφθη· οἳ σύμβολον τῶν ἀπ' αἰῶνος καὶ μέχρι συντελείας εὐηρεστηκότων εἰσὶ θεῷ. Ἐτριπλασιάσθη δὲ οὗτος ὁ ἀριθμὸς ἐπὶ τῶν κεφαλαίων οὐκ ἀσκόπως, ἀλλὰ διὰ τοὺς εὐαρεστοῦντας θεῷ, τριμερῆ τὴν ὑπόστασιν ἐσχηκότας, ψυχῆς, σώματος, καὶ πνεύματος, εἰς οἰκείωσιν τῆς παντοκρατορικῆς κατασπεύσαι Τριάδος. Περὶ δὲ τοῦ θεοπνεύστου τῆς βίβλου, ὁ ἐν ἁγίοις Βασίλειος, καὶ Γρηγόριος, ὁ θεῖος τὸν λόγον, καὶ Κύριλλος, καὶ Παπίας, καὶ Εἰρηναῖος, καὶ Ἱππόλυτος, οἱ ἐκκλησιαστικοὶ Πατέρες, ἐχέγγυοι πιστώσασθαι.

(1) Ὁ Ἀνδρέας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ
ΚΑΙ
ΗΓΑΠΗΜΕΝΟΥ ΑΠΟΚΑΛΥΨΙΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Προοίμιον τῆς Ἀποκαλύψεως, καὶ ὅτι δι' ἀγγέλου αὐτῷ δέδοται.

ΚΕΦ. Ι, 1 ΑΠΟΚΑΛΥΨΙΣ Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ θεὸς, δεῖξαι τοῖς δούλοις αὐτοῦ, ἃ δεῖ γενέσθαι ἐν τάχει· καὶ ἐσήμανεν ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ· 2 ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ θεοῦ, καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ, ὅσα τε εἶδε (1).

Τινὲς τῶν ἀρχαιοτέρων νοθεύουσι ταύτην τῆς Ἰωάννου τοῦ ἠγαπημένου γλώττης, ἑτέρῳ ταύτην ἀνατιθέντες. Οὐκ ἔστι δὲ οὕτως. Ὁ γὰρ συνεπώνυμος τούτῳ Γρηγόριος ἐνέκρινε ταύτην τοῖς ἀνοθεύτοις, «ὡς ἡ Ἰωάννου, φήσας, διδάσκει με ἀποκάλυψις (2).» Ἀρχόμενος δὴ γράφειν τὸ εὐαγγέλιον, τὸν Χριστὸν θεολογῶν πρόεισιν. Ἐν ἀρχῇ, φησὶν, ἦν ὁ Λόγος (α). Καὶ τῆς ἐπιστολῆς δὲ αὐτό τε προοίμιον καὶ τῆς αὐτῆς ἔχεται θεολογίας, ὃ ἦν ἀπ' ἀρχῆς (β), προβαλλόμενος. Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ θεός.] Ὡσεὶ ἔλεγεν· Ἡ παροῦσά μου ἀποκάλυψις, δέδοται μὲν παρὰ τοῦ πατρὸς τῷ

(1) Παρ' ἄλλοις· ὅσα τε εἶδε, καὶ ἅτινά εἰσι, καὶ ἃ χρὴ γενέσθαι μετὰ ταῦτα. (2) Γρηγ. Ναζ. ἐν τῷ συντακτηρίῳ λόγῳ.

(α) Ἰωαν. Α', 1. (β) Α Ἰωάν. Α', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

υἱῷ, δέδοται δὲ παρὰ τοῦ υἱοῦ ἡμῖν τοῖς δούλοις αὐτοῦ. Ἀπὸ τῶν ταπεινοτέρων γὰρ τῆς οἰκονομίας ἀρξάμενος, ἐπὶ τὰ θεοπρεπέστερα προέβη. Ὡς γὰρ καὶ Πέτρος ὁ θεῖος ἀπόστολος ἐν τῇ ἑαυτοῦ ὁμολογίᾳ τὸ, *Χριστὸς*, εἰπὼν, ὄνομα, τὸ τελεώτατον ἐφήνεγκε, τὸ, *ὁ υἱὸς τοῦ θεοῦ* (α), ὡς τοῦ Χριστὸς οὐκ ἀξιολόγως τὴν οἰκονομίαν παριστᾷν ἔχοντος· οὕτως οὖν καὶ νῦν τῷ, *Χριστὸς*, ὀνόματι οὗτος συνάψας τὸ, *τοῖς δούλοις αὐτοῦ*, τὴν ἐν τῷ Χριστῷ θεότητα ὑπεσήμανε. Τίνος γὰρ ἦσαν οἱ ἅγιοι δοῦλοι, εἰ μὴ τοῦ θεοῦ; πρὸς ὃν καὶ εἴρηται· *Ὅτι τὰ σύμπαντα δοῦλα σά* (β). Ἐπενεγκὼν δὲ τὸ τὴν μυσταγωγίαν ταύτην οὐ τὸν Χριστὸν αὐτόχρημα αὐτῷ καταπρᾶξαι, εἰ μὴ διὰ τοῦ ἀγγέλου αὐτοῦ, τὸ φιλάληθες τοῦ τὴν ἀποκάλυψιν εἰληφότος ὑπέδειξεν. *Ἀποκάλυψις* δέ ἐστιν ἡ τῶν κρυπτῶν μυστηρίων δήλωσις, καταυγαζομένου τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς, εἴτε διὰ θείων ὀνειράτων, εἴτε καθ' ὕπαρ, ἐκ θείας ἐλλάμψεως. *Δοθῆναι* δὲ τὴν ἀποκάλυψιν ταύτην φησὶν, ἀνθρωπινώτερον διαχειριζόμενος τὸν λόγον ὁ θεῖος οὗτος ἀπόστολος, ἀλλ' οὐχ ὡς ἐν τῷ εὐαγγελίῳ καὶ τῇ ἐπιστολῇ αὐτοῦ, ἀπὸ τῶν θειοτέρων τοῦ Χριστοῦ μᾶλλον ποιούμενος τὸν λόγον καὶ ἐνδιατρίβων αὐτοῖς, οὕτω καὶ νῦν· ἀλλ' ἀπὸ τῶν ταπεινοτέρων, ὡς ἂν ὑποφήνῃ σαφῶς, ὡς ἄμφω, τὰ θειότερα, λέγω, καὶ τὰ ἀνθρώπινα, τῷ ἑνὶ καὶ τῷ αὐτῷ ἐνθεωρεῖται Χριστῷ μεταπρέποντα. Διὰ γὰρ τοῦ διακονοῦντος ἀγγέλου, καὶ τοῦ ὀνόματος τῶν μανθανόντων, ὅτι *δοῦλοι*, τὸ τῆς θεότητος Χριστοῦ ἐμφαίνει μέγεθος, καθὸ καὶ εἴρηται· *Ὅτι τὰ σύμπαντα δοῦλα σά*. Τὴν ἔκβασιν δὲ τῶν χρηματιζομένων *ἐν τάχει* ὑπισχνεῖται προβῆναι, οὐχ ὡς ἔτυχεν, ἀλλὰ παραμετρῶν τὰ ἀνθρώπινα τοῖς θείοις, οἷς καὶ τὰ πολυχρονίως καὶ χιλιοστῶς ἐκτελούμενα, *ὡς ἡ χθὲς ἡμέρα, καὶ ἡ ἐν νυκτὶ φυλακὴ* κρίνεται (γ). Ἢ καὶ φιλοτιμότερον προσβαλεῖν τῷ, *ἐν τάχει*, τοῦ ἀνυπερθέτως παριστῶντός

(α) Ματθ. ΙϚ', 16. (β) Ψαλμ. ΡΙΗ', 91. (γ) Ψαλμ. ΠΘ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐστι τὴν ἔκβασιν λήψεσθαι τὰ δηλούμενα, μηδὲν τῆς παρατάσεως οἵας τε οὔσης τὸ συντελεσθῆναι λυμήνασθαι, ὡς οὐδὲ τὸ σήμερον τοῦ ἐχθὲς παρατεινομένου, ἐὰν μὴ εἰς ὅπερ ἀφίχθαι ἀποκείμενον εὐκαίρως παρῇ, μηδεμιᾶς ὑπολιπομένης τῷ πράγματι βραδυτῆτος, πρὸς καταδοχὴν, ἀποδιαπομπήσασθαι εὐπρεπές. Δι' ἀγγέλου δὲ ὁ χρηματισμὸς τῷ δούλῳ αὐτοῦ, ὃς δοῦλος *ἐμαρτύρησε τὸν λόγον τοῦ θεοῦ καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ*, φησί. Τούτῳ τῷ σχήματι τὴν διδασκαλικὴν αὐτοῦ ἀλήθειαν συνιστῶν, καὶ ἐν εὐαγγελίοις ἐχρήσατο, εἰπών· *Οὗτος ἐστὶν ὁ μαθητὴς, ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν, ὅτι ἀληθὴς ἐστὶν ἡ μαρτυρία αὐτοῦ*(α). Ὡς οὖν ἐν ἐκείνῳ, οὕτω καὶ ὧν φησιν, ὅτι μάρτυς ἐστὶ τοῦ ὀφθέντος αὐτῷ διὰ τῆς ἀποκαλύψεως, τῆς δωθείσης αὐτῷ παρὰ τοῦ Χριστοῦ μαρτυρίας, *μαρτυρίας* λέγων, οἱονεὶ διαμαρτυρίας, τοῦ διαματύρασθαι δηλονότι πρὸς αὖς ὁ λόγος αὐτῷ, εἰς ἐξαθώωσιν ἑαυτοῦ, μάρτυρα εἶναι ἑαυτὸν τοῦ ὀφθέντος αὐτῷ θείου λόγου διὰ τῆς ἀποκαλύψεως. Τίνα δὲ διαμαρτύρασθαι καὶ κηρύξαι εἰς ἐξαθώωσιν ἑαυτοῦ; Τά τε ὄντα, τά τ' ἐσόμενα, ἃ καὶ παραστατικὰ, ἅτε προφήτου, τοῦ τε ἐνεστῶτος χρόνου καὶ τοῦ μέλλοντος. *Ὅσα τε εἶδεν.*] Ἐν ἑτέρῳ ἀντιγράφῳ πρόσκειται, καὶ ταῦτα· *Καὶ ὅσα ἤκουσε, καὶ ἅ τινα εἰσὶ, καὶ ἅτινα δεῖ γενέσθαι μετὰ ταῦτα.* Ὁ Χριστός μοι, φησὶν, ἐφανέρωσεν ὡς δεσπότης τῷ δούλῳ αὐτοῦ, ἐφ' ᾧ διὰ τῶν ὀραθέντων διαμαρτύρασθαι καὶ κηρύξαι πρὸς ἐπιστροφὴν τῶν ἀκουόντων τά τε ὄντα καὶ τοὺς ἀνθρώπους λανθάνοντα, τά τε μέλλοντα ἔσεσθαι· προφητικῶς γὰρ ἑώρακεν ἀμφότερα· καὶ δῆλον ἐκ τοῦ εἰρῆσθαι, *Ἅτινά εἰσι, καὶ ἃ χρὴ γενέσθαι.* Ταῦτα γὰρ παραστατικὰ τοῦ ἐνεστῶτος χρόνου καὶ τοῦ μέλλοντος, περὶ ἃ καὶ τῶν προφητῶν τὸ εὐθόκιμον.

3 Μακάριος ὁ ἀναγινώσκων, καὶ οἱ ἀκούοντες τοὺς

(α) Ἰωάν. [ΚΑ', 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λόγους τῆς προφητείας, καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα· ὁ γὰρ καιρὸς ἐγγύς.

Μακαρίζει προμηθῶς ἄγαν οὐ τοὺς ἀναγινώσκοντας μόνους· (πολλοὶ γὰρ ἂν ἦσαν μακάριοι οὕτως οἱ ἀναγινώσκοντες·) ἀλλὰ καὶ τοὺς ἀκούοντας, ἐμπράκτῳ δηλαδὴ ἀκοῇ· οἷς καὶ ὁ Κύριος τῷ ὄντι ἐμαρτύρησεν ἀκοὴν, ἐν οἷς φησίν· *Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω* (α). Καὶ τίς οὗτος; Ὁ τὴν ἀκουστικὴν ἕξιν εὐπρεπῶς εἰς τὸ διατηρεῖν καὶ φυλάσσειν ὡς θείους νόμους τὰ εἰρημένα, ὃς καὶ πνευματικῶς ζῆν κατηρτισμένος, οὐχ ὡς ὁ ψυχικὸς ἄνθρωπος, εἴτουν ὁ κατ' αἴσθησιν ζῆν προαιρούμενος, ὥσπερ τὰ λόγου ἔρημα ζῶα· ἀλλ' ἀτιμάσας μὲν πᾶν τὸ περὶ τὸ σύντροφον τοῦτο ζῆν καὶ χειρονηδὺ, μεταταξάμενος δὲ πρὸς τὸ θεῖον τὸ ἐν ἡμῖν, ὅλος γέγονε τῆς κατ' ἀρχὰς τοῦ πλάστου ἐπὶ τῷ κατ' εἰκόνα ἑαυτοῦ πλάσματι χρηστότητος καὶ κηδεμονίας. *Ὁ γὰρ καιρὸς ἐγγύς.*] Ἐγγὺς ὁ καιρὸς τῆς μακαριότητος· τῷ διαπύρῳ γὰρ τοῦτο τῆς ἀγάπης τῶν φυλασσόντων τὰς ἐντολὰς τοῦ θεοῦ· διὸ καὶ τὸ ἀνένδοτον τῆς περὶ ταῦτα περιγίνεται αὐτοῖς ἐργασίας, οὐδ' εἰς παράτασιν χρόνου ἢ ἀποκατάστασιν νομισθείη. Καὶ μάρτυς ἡ τοῦ πατριάρχου Ἰακὼβ ἐπὶ τῇ ἀναλήψει τῶν γυναικῶν ἑπταέτης καρτερία, ὡς μία ἡμέρα λογιζομένη (β). Ἡ ἐγγὺς ὁ τῶν ἐπάθλων καιρὸς τῷ παραμετρεῖσθαι τὴν τοῦ παρόντος βίου σμικρότητα πρὸς τὴν τοῦ μέλλοντος αἰῶνος ἀπειρίαν.

4 Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ τοῦ (1) ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος· καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων, ἃ
5 ἐστιν ἐνώπιον τοῦ θρόνου αὐτοῦ· καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ, ὁ μάρτυς ὁ πιστὸς, ὁ πρωτότοκος τῶν νεκρῶν, καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς·

(α) Ματθ. ΙΑ', 9. (β) Γεν. Κεφ. ΚΘ'.

(1) Παρ' ἄλλοις, ἀπὸ ὁ ὢν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Διὰ τῶν ἑπτὰ ἐκκλησιῶν καὶ τοῦ ἑβδοματικοῦ ἀριθμοῦ τὸ τῶν ἁπανταχῆ ἐκκλησιῶν ἐσήμανε πλῆθος, τῶν τῷ παρόντι βίῳ συστοίχων, καθ' ὧν ἡ ἑβδοματικὴ τῶν ἡμερῶν περίοδος κατάρξασα, τὴν ἐνοικοῦσαν τῇ φθαρτῇ κτίσει δύναμιν ἑαυτῆς ὑπέφηνεν, ὡς διὰ πάσης διήκουσαν. Ἡ καὶ Φίλωνι τῷ θεωρητικωτάτῳ Ἰουδαίῳ ἀνδρὶ, ἐν λόγῳ αὐτοῦ τῷ εἰς τὴν κατὰ Μωϋσέα φιλοσοφίαν, ὑποσυνάδειν οὐ περιττὸν ἡγεῖται (1). Ταύταις δὲ ταῖς ἐκκλησίαις καὶ ἰσαρίθμους ἐφόρους ἀγγέλους ὁ μακάριος νῦν Ἰωάννης ἐνέφηνε. Τὸ δὲ, *Ἀπὸ τοῦ ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος*, ἰσοδυναμεῖ τῷ, Ἀπὸ τοῦ πάντων θεοῦ ἡμῶν. Ὄντα μὲν γὰρ αὐτὸς ἑαυτὸν ὀνομάζει ὁ πατὴρ, χρηματίζων τῷ Μωϋσῇ ἐπὶ τοῦ ὄρους (2). Τὸ δὲ, Ἦν, ὁ παρὼν θεόσοφος εὐαγγελιστὴς προήνεγκεν ἔν τε τῷ εὐαγγελίῳ αὐτοῦ, *Ἐν ἀρχῇ ἦν ὁ λόγος* (α), εἰπὼν, καὶ ἐν τῇ πρώτῃ τῶν καθολικῶν αὐτοῦ ἐπιστολῶν, *Ὃ ἦν ἀπ' ἀρχῆς*, γράψας, *περὶ τοῦ λόγου τῆς ζωῆς* (β). *Ἐρχόμενον* δὲ, τὸ θεῖον Πνεῦμα καλεῖ, ὡς οὐ μόνον κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἀπεσταλμένον παρὰ τοῦ πατρὸς, ἀλλ' ἀεὶ παραγινόμενον τοῖς ἀξίοις αὐτὸ δέξασθαι, καὶ διὰ τοῦ ἁγίου βαπτίσματος. Ἴσως δὲ οὐκ ἀδύκιμον καὶ οὕτω νοεῖσθαι ἐπὶ τοῦ πατρὸς τὸ, *Ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος*, ὡς αὐτοῦ περιέχοντος ἐν ἑαυτῷ πάντων τῶν ὄντων τὴν ἀρχὴν, καὶ τὰ μέσα, καὶ τὰ τελευταῖα. *Καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων.*] Τινὲς *τὰ ἑπτὰ πνεύματα*, τὰς ἐνεργείας τοῦ ἁγίου ὑπέλαβον Πνεύματος. Δοκιμότερον δὲ ἀγγέλους ταῦτα νοεῖν· οὐ διὰ τὸ συμπαρειλῆφθαι δὲ τῇ παντοκρατορικῇ Τριάδι, ἤδη καὶ ὁμότιμα ταῦτα καταλογίζεσθαι αὐτῇ χρὴ, ἀλλὰ δοῦλα καὶ λειτουργικὰ, εἴγε πειστέον τοῖς προφήταις, τοῖς διαμαρτυρομένοις, *ὅτι τὰ σύμπαντα δοῦλα αὐτοῦ*· καὶ δὴ καὶ τῷ θεοπάτορι Δαυὶδ, *Εὐλο-*

(1) Ἰδ. Φιλ. Τομ. Α. Σελ. 21, καὶ ἑξῆς. Τομ. Β'. Σελ. 5. 277, καὶ ἑξῆς.
(2) Ἐξοδ. Γ', 14. (α) Ἰωάν. Α, 1. (β) Α Ἰωαν. Α', 1.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

γείτε τὸν *Κύριον*, φάσκοντι, *πάντες οἱ ἄγγελοι θεοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ* (α). Καὶ τὸ μὲν λέγειν, ὅτι τὸ συμπαραλαμβάνειν τὸ θεῖον καὶ τὴν ἀγγελικωτάτην φύσιν, παριστῶντός ἐστι τὸ ὁμότιμον εἶναι τῆς παντοκράτορος Τριάδος καὶ πάσης τοῦ εἶναι κτίσεως παραιτίας καὶ τὴν λειτουργικὴν ὑπόστασιν, οὐκ ἔστιν εἰδότος, οὐδὲ ἐγγὺς, ἀλλ' ἀγνοοῦντος, οἶμαι, ὡς τῷ δεσπόζοντι φιλεῖ συνεῖναι καὶ τὸ ὑπηρετοῦν· ᾧ δὴ καὶ Παῦλος χρώμενος ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ, οὕτω πως φησί· *Διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων* (β). Τοῦτο οὖν καὶ τῷ αὐτῷ ἐπακολουθοῦντος ἐστίν. Ἀλλὰ καὶ τὸ ἐνταῦθα προσκεῖσθαι τὸ, *ἃ ἐστιν ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ*, τὴν οἰκετικὴν τάξιν, οὐ τὴν ἰσότιμον αὐτοῖς προσμαρτυροῦντός ἐστιν (1). *Ὁ μάρτυς ὁ πιστός.*] Δεῖ προσυπακούειν τὸ, *ὃς ἐστιν*, ἵν' ᾖ· *Καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν ὁ μάρτυς.* Ἐπισκοπητέον δὲ, ὅτι πρότερον ὡς περὶ ἀσάρκου γράψας τοῦ θείου λόγου, ἐν οἷς ἔλεγεν, *Ὁ ἦν*, νῦν περὶ σεσαρκωμένου αὐτοῦ διαλέγεται, φήσας, *Καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ*, οὐ διαιρῶν αὐτὸν εἰς δύο, διὰ τὸ ἐπαγαγεῖν τὸ, *Καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ*, ἀλλὰ τοῦτό τε καὶ ἐκεῖνο περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ μαρτυρῶν, ὅτι τέ ἐστι τοῦ πατρὸς, καὶ ὅτι ἐσαρκώθη. Τοῦτο γὰρ βούλεται δηλοῦν τὸ, *Χριστὸς*, ὄνομα· ὃς Χριστὸς, κατὰ τὸν μακάριον Παῦλον, ἐμαρτύρησεν, ὅτε *μάρτυς* ἐπὶ Ποντίου Πιλάτου (γ), ὁπηνίκα ἔφασκε πρὸς αὐτόν· *Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου* (δ). Νοεῖν γὰρ ἀπὸ τούτων διανίστησι τῶν λόγων, ὡς καὶ θεός ἐστίν ὁ ὡς ἄνθρωπος ὁρώμενος, καὶ ταῦτα ὁμολογούμενος. *Μάρτυς* μὲν οὖν διὰ τοῦτο· *πιστὸς* δὲ, ἀντὶ

(α) Ψαλμ. ΡΒ', 20. (β) Α' Τιμ. Ε', 21.

(1) « Ἑπτὰ πνεύματα, τοὺς ἑπτὰ ἀγγέλους νοεῖν δυνατὸν, τοὺς τῶν ἐκκλησιῶν λαχόντας τὴν κυβέρνησιν· οὐ συναριθμουμένους τῇ θεαρχικωτάτῃ καὶ βασιλείᾳ Τριάδι, ἀλλ' ὡς δούλους αὐτῇ συμμαιμαυομένους· ὡς καὶ ὁ θεῖος εἶπεν ἀπόστολος Α' Τιμ. Ε', 21. » Ἀνδρέας.

(γ) Α' Τιμ. Σ', 13. (δ) Ἰωαν. ΙΗ', 36.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ ἀληθὴς, θεὸς καὶ ἄνθρωπος· διὸ καὶ ὡς ἄνθρωπος ἀπέθανεν, ἀνέστη δὲ ὡς θεός· ἀνέστη γὰρ, οὐχ ὡς οἱ ἐπὶ θείᾳ δυνάμει ὑφ' ἑτέρων ἀναστάντες, οἳ καὶ πάλιν ἀπέθανον· οἰκείᾳ δὲ δυνάμει ἀναστάς, ἅτε θεός, πρῶτος ἀπήρξατο τῆς ἐξ αὐτοῦ καὶ δι' αὐτὸν ἐλπιζομένης ἀτελευτήτου καὶ αἰωνίου παλιγγενεσίας. Διὸ καὶ *πρωτότοκος* λέγεται *τῶν νεκρῶν*, ὡς μόνος αὐτὸς κατάρξας τῆς τοιαύτης ἡμῖν τῶν ἀγαθῶν χάριτος. *Ἄρχων δὲ τῶν βασιλέων τῆς γῆς* ὁ Χριστός· ἐπεὶ καὶ Δανιὴλ πρὸς τὸν Βαβυλώνιον ἔφη, βασιλεύειν τὸν ὕψιστον, καὶ κυριεύειν τῆς βασιλείας τῶν ἀνθρώπων (α). Εἰ δὲ τοῦτο ἐπὶ τῆς θεαρχικῆς νοεῖται καὶ ἐνοῦται κυριότητος, τίς ὁ ἀντιστατῶν λόγος, ὁ πάντα τὰ θεοπρεπῶς λεγόμενα ἐπὶ τῆς ὑπερουσίου Τριάδος, μὴ καθ' ἑκάστης λέγων τῶν τριῶν ὑποστάσεων ἐξιδιοῦσθαι καὶ ἐναρμόττεσθαι, πλὴν ταῦτα, ἃ τὴν προαγωγὴν τούτων, ἤγουν, τὴν ὑποστατικὴν γνώρισιν, ἐμποιοῦνται, ἀλλ' ἀποτεταγμένως κατατολμῶν εἰς ἐξιδιάζουσαν ἑαυτῇ θείαν ἐνέργειαν ἑκάστην ὑπόστασιν τῶν τριῶν μεταχωροῦσαν παραλήρειν; Καὶ ταῦτα Γρηγορίου μὲν τοῦ θείου τῶν λόγων τὴν χρῆσιν, *Ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος*, εἰς τὸν υἱὸν ἐξειληφότος, ὡς ἐφαρμοζόντων τῶν θεοπρεπῶν ὀνομάτων καὶ κοινῇ καὶ ἰδίᾳ ταῖς τρισὶν ὑποστάσεσι; Δῆλον δὲ, καὶ ἐξ ὧν τὸν τρισάγιον τῶν Σεραφὶμ ὕμνον κατὰ μὲν τὸ εὐαγγέλιον, εἰς τὸν υἱὸν μανθάνομεν λέγεσθαι, ὃν ὁ Παῦλος, δημηγορῶν ἐν ταῖς Πράξεσιν, εἰς τὸ Πνεῦμα ἀπένειμεν· ἡμεῖς δὲ πατροπαραδότως ἐν τῇ φρικτῇ καὶ ἀναιμάκτῳ θυσίᾳ εἰς τὸν πατέρα, ὥσπερ ὁ μακάριος Ἐπιφάνιος ἐν τῷ λόγῳ τῷ, Εἰς τὸ Πνεῦμα τὸ ἅγιον, διέξεισι. *Καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς.*] Οὐ τῶν γηΐνων μόνον, ἀλλὰ καὶ τῶν ἐν οὐρανοῖς βασιλεύει. Ἀλλὰ νῦν μὲν περὶ τῶν ἐπιγείων λέγει· προϊὼν δὲ δείκνυσιν αὐτὸν καὶ τῶν ἐν οὐρανοῖς ἁγίων ταγμάτων βασιλεύοντα.

(α) Δαν. Ε', 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

5 Τῷ ἀγαπήσαντι (1) ἡμᾶς, καὶ λούσαντι (2) ἡμᾶς ἀπὸ
6 τῶν ἁμαρτιῶν ἡμῶν ἐν τῷ αἵματι αὐτοῦ· καὶ ἐποίησεν ἡμᾶς βασιλείαν (3), ἱερεῖς τῷ θεῷ καὶ πατρὶ αὐτοῦ· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λούσαντι.] Διασογραφεῖται τοῦτο πρὸς διάφορον ἔννοιαν. *Λούεται* μὲν γὰρ ὁ τὰς κηλίδας καὶ τοὺς σπίλους ἀποκαθαιρόμενος· *λύεται* δὲ ὁ τῶν ἐγκλημάτων ἑαυτοῦ ἀπαλλαττόμενος. Προσυπακουστέον δὲ πρὸς τὸ, *ἐποίησε*, τὸ, *ὃς*, ἀναφορικὸν ἄρθρον, ἵνα ᾖ· *ὃς ἐποίησε*· μὴ γὰρ οὕτως ἐξακουομένου, διὰ τὸν σολοικισμὸν ἡ φράσις ἀχρειωθήσεται. Μὴ ἔστω οὖν πρὸς τὴν προκειμένην δοτικὴν πτῶσιν ἐπιφερομένη ἡ ἔννοια, ἀλλ' ἐξ εὐθείας ἐπαγομένη. — ΑΛΛΩΣ. Τοῦ προκειμένου ἐδαφίου τὴν σύνταξιν ὅπως ὀφείλει νοεῖσθαι ἀνελλιπῶς, τὸ ἐχόμενον παραστήσει. Ἐν σχήματι γὰρ ἐξενήνεκται, ὃ καλεῖται *Ἀλλοίωσις*. Γίνεται δὲ τοῦτο, ὅταν τῇ προκειμένῃ φράσει ἡ ἐπιφερομένη ἔννοια μὴ ὁμοιοπτώτως τοῖς φθάσασιν ἐπενεχθῇ, ἀλλὰ πρὸς τὴν ἐπαγομένην ἔννοιαν μεταληφθῇ. Δοτικῆς γὰρ πτώσεως προτεθείσης ἐν τῷ, *λούσαντι ἡμᾶς*, ἐπήγαγε, τὸ, *ἐποίησεν ἡμᾶς*, ἐλλειπτικῶς τοῦ ἀναφορικοῦ ἄρθρου. Ἦν γὰρ τὸ ἀνελλειπὲς οὕτω· *Τῷ λούσαντι ἡμᾶς ἐν τῷ αἵματι αὐτοῦ*, καὶ ποιήσαντι ἡμᾶς. Κἂν μὲν ἡ ἐπιφερομένη ἔννοια ὁμοιοπτώτως ἐπήνεκτο οὕτω προαγομένη, ᾧ *καὶ ἐποίησεν ἡμᾶς*, οὐδὲν νῦν ἡμῖν περὶ τούτου προὔκειτο ζήτημα· ἐνέργειαν δὲ ὑποστήσαντος διὰ τοῦ, *ἐποίησε*, ῥήματος, ἀναγκαίως ἐπ' εὐθείαν πτῶσιν ἀποκλίνομεν, τὸν ἐνεργοῦντα ἐπιποθοῦντες μαθεῖν. Τούτου δὲ πῶς ἂν ἐτυγχάνομεν, μὴ τῆς ὀνομαστικῆς πτώσεως παραλαμβανομένης; Δι' ὅπερ τὸ ἐλλειπὲς ἄρθρον, ἡ ὀνομαστικὴ εὐθεῖα παρέσχεν οὕτως ἐξακούεσθαι ἀνελλειπῶς, *Ὃς καὶ ἐποίησεν ἡμᾶς βασιλείαν*, οἱονεί, *ἀνήγαγεν ἡμᾶς εἰς βασίλειον δόξαν*·

(1) Παρ' ἄλλοις, τῷ ἀγαπῶντι. (2) Παρ' ἄλλοις, λύσαντι.
(3) Παρ' ἄλλοις, βασιλεῖς καὶ ἱερεῖς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ἦν δόξαν ἡ ἐχομένη ἔγγραφος λέξις ἱκανὴ παραστῆσαι. — *Αὐτῷ ἡ δόξα.*] Ἡ σύνταξις τοῦ ῥητοῦ ἀπὸ τῶν τελευταίων ἐπὶ τὰ πρῶτα ἐπάνεισιν οὕτως· *Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, τῷ ἀγαπήσαντι ἡμᾶς, καὶ λούσαντι ἡμᾶς ἐν τῷ ἰδίῳ αἵματι.* Καὶ πῶς γὰρ οὐκ ἠγάπησεν, ἑαυτὸν δοὺς ἀντίλυτρον ἡμῶν, ὡς ἀμνὸς σφαγιασθείς, καὶ τῷ διὰ σταυροῦ αὐτοῦ αἵματι καὶ ὕδατι λούσας ἡμᾶς, ἤγουν, καθάρας τὸν τῶν ἁμαρτιῶν ῥύπον ἡμῶν; Καὶ οὐ μέχρι τούτου τὴν εἰς ἡμᾶς αὐτοῦ ἔστησεν εὐεργεσίαν, ἀλλὰ καὶ βασιλείαν ἡμῖν ἐδωρήσατο. Καὶ τίς ἡ βασιλεία; Ὅθεν ἡ δόξα ἡ δοθεῖσα ἡμῖν παρὰ Χριστοῦ, τοῦ γενέσθαι ἡμᾶς ἱερεῖς τοῦ θεοῦ καὶ προφήτας, τοὺς οὐδὲν προεισενεγκόντας τῆς τοιαύτης ἐπάξιον ἀγαθοδότου καὶ θείας τῷ ὄντι δωρεᾶς· ἀφ' ὧν δωρεῶν, οὐ μόνον τῆς ἐν τῷ παρόντι δόξης ἐπήβολοι, ἀλλὰ καὶ τῆς μελλούσης τυχεῖν εὐέλπιδες καθιζάμεθα.

7 Ἰδοὺ, ἔρχεται μετὰ νεφελῶν, καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς, καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν· καὶ κόψονται ἐπ' αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς· ναὶ,
8 ἀμήν. Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω (1), λέγει Κύριος ὁ θεὸς, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.

Ἐνταῦθα, φησὶν, ὡς ἀμνὸς σφαγιασθείς, καὶ ἀπὸ τοῦ αἵματος αὐτοῦ λούσας, καὶ ἀπολύσας ἡμᾶς τῶν ἁμαρτιῶν, οὕτως αὐτὸς ἐλεύσεται, οὐχ ὡς τὸ πρῶτον ἐν παραβύστῳ, καὶ συνεσκιασμένως, ὃ καὶ ὁ προφήτης Δαυὶδ διὰ τῆς τοῦ ὑετοῦ ὡς ἐπὶ πόκον ἀψοφητὶ ἠνίξατο καταβάσεως (α)· ἀλλὰ παῤῥησίᾳ καὶ φανερῶς ἐν τῇ πατρικῇ δόξῃ, ὥστε παντὶ ὀφθαλμῷ ὀφθῆναι κριτὴς ἀδέκαστος ἁπάντων. *Νεφελῶν* δὲ κἀνταῦθα λόγος, ὡς ἐν τῇ ἀπὸ γῆς αὐτοῦ πρὸς οὐρανοὺς ἀνόδῳ. Λουκᾶς γὰρ ἐν ταῖς Πράξεσι γράφει, νεφέλην τὸν Κύριον ὑπολαβεῖν (β). Μάρκος δὲ ἐν τῷ

(1) Παρ' ἄλλοις προστίθεται ἐνταῦθα, ἀρχὴ καὶ τέλος.

(α) Ψαλμ. ΟΑ', 6. (β) Πραξ. Α', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπ' αὐτοῦ γραφέντι εὐαγγελίῳ τὸν Κύριον αὐτὸν εἰσάγει περὶ ἑαυτοῦ λέγοντα· *Καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ* (α), τῶν νεφελῶν ἐνταῦθα, εἴτε διὰ τὸ κοῦφον τὰς μεταρσίους καὶ ἀγγελικὰς δηλουσῶν δυνάμεις, ὡς καὶ Δαυὶδ ὁ θεοπάτωρ ἐν νέφει τὴν ἐπίβασιν αὐτῷ τῷ θείῳ ὑποτιθεὶς (β)· ἢ καὶ τοὺς θείως καὶ πνευματικῶς ζῆν ἑλομένους ἀνθρώπους, περὶ ὧν καὶ ὁ αὐτὸς οὕτω φησίν· *Ἀπὸ τῆς τηλαυγήσεως αὐτοῦ αἱ νεφέλαι διῆλθον* (γ)· καὶ ὁ Ἀμὼς καὶ Ἡσαΐας περὶ τῶν αὐτῶν· *Τίνες οἵδε ὡς νεφέλαι πέτονται, καὶ ὡς νεοσσοὶ ἀετῶν* (δ); Δῆλον γὰρ ὡς περὶ τῶν θεοφιλῶς βιούντων ταῦτα φησὶ τροπικῶς, ὃ καὶ μᾶλλον παραδεκτέον, εἴγε καὶ τὸ παρὸν ἱκανὸν τεκμηριῶσαι ῥητόν, μετὰ τῶν νεφελῶν φάσκον ἔρχεσθαι τὸν κριτήν, ἀλλ' οὐχ ὑπὸ τῶν νεφελῶν ἐποχούμενον· ᾧ καὶ Παῦλος συνᾴδει, ἁρπαγήσεσθαι ἡμᾶς ἐμπεδῶν, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα (ε), τοὺς κατὰ Παῦλον δηλαδὴ βεβιωκότας, τοῦ πάντοτε συνεῖναι Κυρίῳ. Εἰ δὲ καὶ *νεφέλας* τῷ ὄντι νοεῖν τισι βέλτιον δοκεῖ τοιαύτας, οἵας καὶ ἐν τῷ Θαβὼρ ὄρει καλύψαι τὸν Κύριον καὶ τοὺς αὐτοῦ μαθητὰς ὁ λόγος θρυλλεῖ, οὐδὲν περὶ τούτων διαίσεσθαι δεῖ. Ἐρχόμενον δὲ τὸν Κύριον δόξῃ τοιαύτῃ, ὀφθῆναί φησιν ὑπὸ παντὸς ὀφθαλμοῦ, καὶ τῶν τὴν παρουσίαν αὐτοῦ πιστῶς ἐλπισάντων, καὶ τῶν ἀπ' ἐλπίδος αὐτὴν θεμένων, ὧν τοὺς μὲν εὐφρανθῆναι, τοὺς δὲ κόψεσθαι παγγενεί. Τοὺς δὲ *ἐκκεντήσαντας* λέγει τοὺς κατὰ τὸ σταυρικὸν αὐτοῦ πάθος ἥλοις τε καὶ τῇ λόγχῃ τρώσαντας αὐτὸν, καὶ σὺν τούτοις, τοὺς ἀπ' ἐκείνων βλασφήμως αὐτῷ ἐπιτιθεμένους. Τούτοις δὲ τοῖς εἰρημένοις τὸ βέβαιον ἐπιμαρτυρῶν, ἐπεσφράγισε διὰ τοῦ εἰπεῖν, *Ναὶ*, καὶ, *Ἀμήν*· τοῦ *ναὶ* μὲν, ἐξ Ἑλληνικῆς συνηθείας τὸ ἀμετάπτωτον τῶν εἰρημένων ἐξακριβοῦντος· τοῦ δὲ *ἀμὴν*, παρ'

(α) Μαρκ. ΙΓ', 26. (β) Ψαλμ. ΡΓ', 3. (γ) Ψαλμ. ΙΖ', 13.
(δ) Ἡσ. Ξ', 8. (ε) Α' Θεσ. δ', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἑβραίοις, εἰς τὸ μηδὲν ἂν γενέσθαι ἐμποδὼν μὴ ἐκβῆναι τὰ ἠπειλημένα ἐπαγομένου. *Ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.*] Ὃν εἴρηκεν ἀνωτέρω, *Ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος*, καὶ νῦν, *ὁ παντοκράτωρ*, ὃν καὶ οὐκ ἄλλον ἢ τὸν Χριστὸν εἶναι ἐδείκνυμεν, καθ' ὅσον τὰ θεοπρεπῶς ἐπὶ τοῦ ὑπερουσίως ὄντος ἐν τῇ Τριάδι λεγόμενα, τὰ αὐτὰ πάλιν ἀδιαστάλτως καὶ καθ' ἑκάστης ἐναρμόττειν τῶν ὑποστάσεων, εὐσεβές, ἀλλ' οὐκ ἀσεβές, τοῦτον αὐτὸν αὖθις εἰσάγει μετὰ τὸ τὴν ἐσχάτην ἐπέλευσιν αὐτοῦ γνωρίσαι αὐτῷ, καὶ ὅπως αὕτη ἔσται, ἔτι καὶ ταῦτα γνωρίσαντα· *Ἐγώ εἰμι τὸ Α* καὶ τὸ Ω· *ἄλφα* διὰ τὸ ἀρχὴν εἶναι· ὅτι καὶ τὸ ἄλφα, ἀρχὴ τῶν ἐν γράμματι στοιχείων· ω διὰ τὸ τέλος τῶν αὐτῶν. Ἀρχὴν δὲ καὶ τέλος τίς οὐκ ἂν ἐννοήσοι τὸ πρῶτος σημαίνεσθαι καὶ τὸ ἔσχατος; Διὰ τοῦ πρῶτος δὲ, τὸ ἄναρχος ἐννοεῖται, ὡς καὶ διὰ τοῦ ἔσχατος, τὸ ἀτελεύτητος. Ἐπειδὴ γὰρ οὐκ ἔστι παρὰ ἀνθρώποις ἄναρχόν τι καὶ ἀτελεύτητον, τῇ παρ' ἡμῖν ἀρχῇ τε καὶ τῷ τέλει ἀντὶ τοῦ ἄναρχος καὶ ἀτελεύτητος κατεχρήσατο. Τοῦτο καὶ διὰ Ἡσαΐου ἔλεγεν· *Ἐγὼ Κύριος ὁ θεὸς πρῶτος, ἐγὼ καὶ μετὰ ταῦτα (α).* Καὶ ἵνα μή τις τὴν ἀρχὴν ἐξ οὐκ ὄντων εἰσαχθῆναι ὑπολάβοι, ἐπιφέρει νῦν τὸ, *Ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος.* Τί δὲ ταῦτα δύναται, εἴρηται, ὅτι ὡς διαιωνίζοντα κατά τε ἀρχὴν καὶ τέλος, κατ' ἀρχὴν μὲν, ἀνελλειπῶς, κατὰ τέλος δὲ, ἀδιαδόχως. Ὁ δὲ ταῦτα, καὶ *παντοκράτωρ*, ὡς πάσης κτίσεως αἰσθητῆς κατάρχων καὶ νοητῆς, ὁ συναΐδιος τῷ πατρὶ, καὶ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα. Πρὸ βραχέος δὲ τοῖς ταπεινοτέροις καὶ ἀνθρωπικοῖς ἐνδιατρίβων, νῦν καὶ τῶν θειοτέρων καὶ ἀξιοθέων ἐφάπτεται· ὃ καὶ ἀρχόμενος τῆς προκειμένης πραγματείας ποιεῖ· ἀλλ' ἐκεῖ μὲν οὐχ οὕτω τρανῶς· ἐνταῦθα δὲ πεπαρρησιασμένως, καὶ οἷα εἰκὸς τὸ περὶ τῶν θείων ἐρεῖν, ἐκ τῶν ἁγίων λαβόντα προφητῶν τὸ ἐνδόσιμον.

(α) Ἡσ. ΜΔ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὀπτασία, ἐν ᾗ τὸν Ἰησοῦν ἐθεάσατο ἐν μέσῳ λυχνιῶν ἑπτά.

9 Ἐγὼ Ἰωάννης, ὁ ἀδελφὸς ὑμῶν, καὶ κοινωνὸς ἐν τῇ
θλίψει καὶ βασιλείᾳ καὶ ὑπομονῇ ἐν Χριστῷ Ἰη-
σοῦ, ἐγενόμην ἐν τῇ νήσῳ, τῇ καλουμένῃ Πάτμῳ,
διὰ τὸν λόγον τοῦ θεοῦ, καὶ τὴν μαρτυρίαν Ἰησοῦ
10 Χριστοῦ. Ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ
ἡμέρᾳ· καὶ ἤκουσα φωνὴν ὀπίσω μου μεγάλην ὡς
11 σάλπιγγος, λεγούσης· Ὃ βλέπεις, γράψον εἰς βι-
βλίον, καὶ πέμψον ταῖς ἑπτὰ ἐκκλησίαις, εἰς Ἔφε-
σον, καὶ εἰς Σμύρναν, καὶ εἰς Πέργαμον, καὶ εἰς
Θυάτειρα, καὶ εἰς Σάρδεις, καὶ εἰς Φιλαδέλφειαν,
καὶ εἰς Λαοδίκειαν.

Ὁ ἀδελφὸς ὑμῶν καὶ κοινωνὸς ἐν τῇ θλίψει.] *Ἀδελφὸν* ἑαυτὸν καὶ *κοινωνὸν* τῶν θλίψεων καλεῖ, ἃς διὰ τὸν λόγον τοῦ θεοῦ καὶ τὸ κήρυγμα ὑπὸ τῶν διωκτῶν τῆς εὐσεβείας ἔπασχεν· διὸ καὶ αὐτὸν Πάτμον τὴν νῆσον οἰκεῖν κατακεκρίσθαι. Ἀλλ' ὥσπερ τῶν θλίψεων, οὕτω καὶ τῆς βασιλείας, ἣν αἱ ἐνταῦθα θλίψεις ὑπὲρ Χριστοῦ προξενοῦσιν. Εἰ κατὰ πάντα οὖν κοινωνὸν ἑαυτὸν δείκνυσιν, εἰκότως ἂν καὶ τὸ ἀξιόπιστον τῶν ἑωραμένων αὐτῷ καὶ ἀκουσθέντων σχοίη. *Διὰ τὸν λόγον τοῦ θεοῦ.*] *Λόγον τοῦ θεοῦ* καὶ *μαρτυρίαν*, τὸ εὐαγγέλιον φησὶ, ὃ ἔγραψεν. Ἐξόριστον δὲ αὐτὸν γενέσθαι ἐν Πάτμῳ τῇ νήσῳ ὑπὸ Δομετιανοῦ, Εὐσέβιος ὁ Παμφίλου ἐν τῷ χρονικῷ αὐτοῦ βιβλίῳ παρατίθεται(1). *Ἐγενόμην ἐν πνεύματι.*] Πρόσκειται τὸ, *ἐν πνεύματι*, τῷ μηδὲν ἐμφαίνειν ἐνεργεῖσθαι τῆς ἀνθρωπίνης ἐχόμενον χρείας, ἀλλὰ τῶν θείᾳ κατοχῇ κατειλημμένων. *Ἐν ἡμέρᾳ κυριακῇ.*] Τῇ τῆς ἀναστάσεως Χριστοῦ μνημόσυνον φερούσῃ,

(1) Ἴδε καὶ Εὐσεβ. ἐκκλ. ἱστ. Βιβλ. Γ'. Κεφ. ΙΗ', καὶ ΚΓ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀφ' οὗ καὶ εἰκὸς οὐδὲν τῶν πρὸς νεαρὰν τεινόντων ἀσχολίαν τῷ χρηματισμῷ πεπραγματεῦθαι. *Φωνὴν* δὲ ὡς *σάλπιγγος* ὀπισθακουσθῆναι, εἰς τὸ διάπυρόν τε καὶ διαπρύσιον τῆς ἀπηχήσεως χρεωστικῶς εἰς πᾶσαν ἐκκλησίαν δοθῆναι. Ἑπτὰ δὲ μόναι ἐκκλησίαι, αἷς προστάσσεται γράψας τὰ βλεπόμενα διαπέμψαι, οὐχ ὅτι τοσαῦται αἱ ἐν Ἀσίᾳ πόλεις, ἀλλ' ἐν ἐκείναις προστάσσεται τοῦτο ποιεῖν, ὡς κατηκόοις γενομέναις τοῦ εὐαγγελικοῦ κηρύγματος. Ἢ καὶ, (ὡς πλατύτερον εἴρηται περὶ τούτων,) διὰ τὸ τοῦ ἑβδοματικοῦ ἀριθμοῦ τῷ παρόντι φθαρτῷ αἰῶνι σύστοιχον, καταντῶντος δηλαδὴ εἰς τὸν σαββατισμὸν καὶ τοῦ μέλλοντος αἰῶνος. Διὸ καὶ ἑπτὰ οὐρανοὺς, καὶ ἀγγέλους ἑπτὰ τῶν ἄλλων προύχοντας, θεόθεν δεδημιουργῆσθαι ὁ μέγας Εἰρηναῖος, ὁ Λουγδούνου ἐπίσκοπος, ἔγραψεν. — ΑΛΛΩΣ. *Ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ ἡμέρᾳ, καὶ ἤκουσα φωνήν.*] Τὸ *βλέπειν* καὶ *ἀκούειν* παρὰ τοῖς θείοις προφήταις, οὐκ αἰσθήσεως ἐνεργείας νοεῖν δεῖ, ἀλλὰ θειοτέρας ἐμφάσεις· περὶ ὧν καὶ ὁ Ἀμὼς, καὶ ὁ Ἡσαΐας φησίν· *Ἔθηκέ μοι πρωΐ πρωΐ, προσέθηκέ μοι ὠτίον ἀκούειν, καὶ ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα (α)*· τοῦτο δὲ οὐ τοῦ κατὰ σάρκα ἀνθρώπου, ἀλλὰ τοῦ κατὰ πνεῦμα· ὃς καὶ μεμελημένος θεῷ, καὶ ἄρχων ἁπάσης τῆς αἰσθητικῆς κτίσεως διατελεῖν εἴωθεν. Ἐδιπλασίασε δὲ ὁ προφήτης *τὸ πρωΐ* ἐνταῦθα· (ὥσπερ καὶ παρ' ἑτέροις προφήταις, *Τὸ πρωΐ εἰσάκουσόν μου*, φάσκουσι, *τῆς φωνῆς μου*· καὶ· *Τὸ πρωΐ παραστήσομαί σοι*· καὶ τό· *Πρὸς πρωΐ πρωΐ (β)*·) οὐ μάτην, ἀλλὰ τὴν ἄγαν σπουδὴν διὰ τοῦ καιροῦ παριστὰς, ᾧ δὴ καιρῷ καὶ αἱ θεῖαι ἐνέργειαι εἰώθασιν ἐμφιλοχωρεῖν.

12 Καὶ ἐπέστρεψα βλέπειν τὴν φωνὴν, ἥτις ἐλάλει (1) μετ' ἐμοῦ· καὶ ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυ-
13 σᾶς· καὶ ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν ὅμοιον υἱῷ

(α) Ἡσ. Ν', 4. 5. (β) Ψαλμ. Ε', 4. ΜΕ', 5.
(1) Παρ' ἄλλοις, ἐλάλησε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνθρώπου, ἐνδεδυμένον ποδήρη, καὶ περιεζωσμένον
14 πρὸς τοῖς μαστοῖς ζώνην χρυσῆν· ἡ δὲ κεφαλὴ αὐ-
τοῦ καὶ αἱ τρίχες λευκαὶ ὡσεὶ ἔριον λευκὸν, ὡς
15 χιών· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ, ὡς φλὸξ πυρός· καὶ
οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ, ὡς ἐν καμί-
νῳ πεπυρωμένοι· καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδά-
16 των πολλῶν· καὶ ἔχων ἐν τῇ δεξιᾷ αὐτοῦ χειρὶ
ἀστέρας ἑπτά· καὶ ἐκ τοῦ στόματος αὐτοῦ ῥομφαία
δίστομος ὀξεῖα ἐκπορευομένη· καὶ ἡ ὄψις αὐτοῦ ὡς
ὁ ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ.

Ὅτι οὐκ αἰσθητὴ ἡ φωνὴ, ἀλλ' οἵαι αἱ τῶν προφητῶν τῷ ἡγε-
μονικῷ πνεύματι διατυπώσεις, δηλοῖ λέγων, *ἐπέστρεψα*, οὐ
τοῦ ἀκοῦσαι, ἀλλὰ τοῦ βλέψαι. Ταυτὸν γὰρ ἡ πνευματικὴ ἀκοὴ
τῇ βλέψει, εἴτουν, ὁράσει· διὸ καὶ τὴν φωνὴν *λαλεῖν* πρὸς αὐ-
τὸν εἴρηκεν, ἀντὶ τοῦ διατυποῦν ὑποκείμενον. Συνεξακουσέον δὲ
τούτοις τὸ ἄρθρον εἰς ἐντέλειαν τοῦ νοήματος, ἵν' ᾖ, *Τὴν φωνὴν*
τοῦ ὅστις ἐλάλει μετ' ἐμοῦ· οὐ γὰρ ἡ φωνὴ, ὁρατὴ, ἀλλ' ὁ
λαλῶν· οἱονεὶ, Οὗ ἡ φωνὴ ἐλάλει μετ' ἐμοῦ, τοῦτον ἐπέστρεψα
βλέπειν. Οὕτω γὰρ συνταττόμενον τὸ ῥῆμα, σαφὲς ἂν καὶ ἀνελ-
λειπὲς εἴη. *Ἑπτὰ λυχνίας.*] *Αἱ ἑπτὰ λυχνίαι* ὡσαύτως, ὡς
προϊὼν ἐρεῖ, αἱ ἑπτὰ ἐκκλησίαι εἰσὶ, πρὸς ἃς καὶ διακελεύε-
ται γράφειν. *Λυχνίας* δὲ αὐτὰς ὠνόμασεν, οὐ λύχνους, ὡς
τῆς λυχνίας οἰκεῖον φῶς οὐκ ἐχούσης, ἀλλ' ὄχημα μόνον οὔσης
τοῦ λύχνου, ὃς ἔχει τὸ φῶς. Διὸ καὶ ὁ ἱερὸς ἀπόστολος Παῦλος
παραινεῖ τοῖς συμμόρφοις Χριστοῦ διδασκάλοις, γίνεσθαι *ὡς*
φωστῆρας ἐν κόσμῳ λόγον ζωῆς ἐπέχοντας (α), τουτέστι,
δεξαμένους ὑπὸ τοῦ βρύοντος Χριστοῦ τὸ ἀκήρατον φῶς· πρὸς
ὃν εἴρηται τὸ, *Φωτίζεις σὺ θαυμαστῶς ἀπ' ὀρέων αἰωνίων* (β),
ἀγγελικῶν ἴσως δυνάμεων· καὶ· *Ἐξαπόστειλον τὸ φῶς σου*
καὶ τὴν ἀλήθειάν σου (γ)· καὶ· *Ὁ φωτισμὸς τοῦ προσώπου*

(α) Φιλιπ. Β', 15. 16. (β) Ψαλμ. ΟΕ', 5.
(γ) Ψαλμ. ΜΒ', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σου, Κύριε (α), τοῦ φωτίζοντος τοὺς πιστοὺς νοητῶς. Μετόχους οὖν γενομένους τοιούτου φωτὸς, φωτίζειν προτρέπεται αὐτοὺς τῷ τῆς θεογνωσίας φωτί. *Χρυσᾶς.*] *Χρυσᾶς* φησὶ χρηματίσαι τὰς λυχνίας, διὰ τὸ τίμιον καὶ ὑπεραῖρον τῶν ἀξιωθέντων δέξασθαι τὸ θεῖον αἴθος· οὗ καὶ *φωστῆρες*, κατὰ τὸν Παῦλον, ἐκλήθησαν, *λόγον ζωῆς ἐπέχοντες*, ὥσπερ καὶ αἱ λυχνίαι ὄχημα λύχνων οὖσαι, αὐταὶ μὲν ἐξ ἑαυτῶν οὐκ ἔχουσι φῶς, κοινωνοὶ δέ πως εἰσὶ τῶν φωτίζειν ἀφ' ἑαυτῶν λαχόντων. *Καὶ ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν ὅμοιον υἱῷ ἀνθρώπου.*] *Ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν ὅμοιον υἱῷ ἀνθρώπου*, ὡς ἐπαγγειλάμενον δηλαδὴ ἐνοικήσειν καὶ ἐμπεριπατήσειν ἐν ἡμῖν (β), τὸν καὶ ἑαυτὸν δι' ἡμᾶς ταπεινώσαντα ἄχρι τῆς τοῦ δούλου μορφῆς (γ), καὶ γενόμενον καρπὸν γαστρὸς τῆς ἀπειρογάμου μητρός. *Ποδήρει* δὲ αὐτὸν περιεστάλθαι, καὶ περιεζῶσθαι πρὸς τοῖς μαστοῖς ὡς ἱερέα φησὶ, κατὰ τὴν τάξιν Μελχισεδὲκ, οὐ κατὰ τὴν τάξιν Ἀαρών· ἐπεὶ μὴ κατὰ τὸν Μωϋσέως νόμον, ἡ ἀπ' αὐτοῦ παραδεδομένη ἡμῖν λατρεία, ἀλλὰ κατὰ τὴν Μελχισεδὲκ τάξιν νεαρὰν, περὶ οὗ καὶ Παῦλος ὁ θεῖος εἴρηκεν, ἀρχιερέα καὶ ἀπόστολον δεδόσθαι ἡμῖν Χριστὸν, ἱερουργοῦντα ἑαυτὸν, καὶ προσάγοντα τῷ πατρὶ καὶ τῷ πνεύματι τὴν ἡμετέραν τῆς πίστεως ὁμολογίαν (δ). *Καὶ περιεζωσμένον πρὸς τοῖς μαστοῖς.*] Πρὸς τοῖς μαστοῖς δὲ *περιεζωσμένον*, ἀλλ' οὐ πρὸς τῇ ὀσφύϊ· ὅτι μηδὲ ἐπίβατος οὗτος ταῖς ὑπὸ γαστρὶ ὀρέξεσιν, ἃς περιεσφίγχθαι τοῖς ἄλλοις ἀνθρώποις σωτήριον. Διὰ τοῦτο οὐδὲ πρὸς τῷ μὴ ἀπροσίτῳ ταύταις μορίῳ διὰ τὸν τούτῳ συμπεφυκότα κἂν ὑπὲρ λόγον θεὸν, πρὸς τῷ στήθει δὲ καὶ τοῖς μαζοῖς, ὅπως καὶ τὸ ἄσχετον τῆς δικαίας καὶ θείας ὀργῆς φιλανθρωπίᾳ συνέχηται, καὶ ἡ τὰς δύο διαθήκας, ἤτοι, τοὺς δεσποτικοὺς μαζοὺς, ζωννῦσα, δειχθείη ἀλήθεια, δι' ὧν καὶ οἱ

(α) Ψαλμ. ΜΓ', 4. (β) Λευῖτ. ΚΣ', 12. Β' Κορ. Σ', 16.
(γ) Φιλιπ. Β', 7. 8. (δ) Ἑβρ. Γ', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πιστοὶ τρέφονται· περὶ οὗ καὶ εἴρηται· *Ἔσται δικαιοσύνη ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ ἠλειμμένος τὰς πλευρὰς αὐτοῦ* (α)· *δικαιοσύνη μὲν τὴν ὀσφὺν ἐζῶσθαι*, τῷ μὴ ὑπερβάθμιον τῆς λογικῆς φέρεσθαι φύσεως· *ἀληθείᾳ δὲ ἠλεῖφθαι τὰς πλευρὰς* ὡσεὶ ἐλαίῳ θείῳ, τῷ τὸ ἀληθὲς τῆς περὶ τὸ οἰκεῖον πλάσμα φιλανθρωπίας παῤῥησιάζειν. *Ζώνην χρυσῆν.*] *Χρυσῆν τὴν ζώνην* ὁρᾷ, τῶν κατὰ τὸν νόμον ἱερέων φάρεσι πεποικιλμένοις χρωμένων. Ἔδει γὰρ τὸ διάφορον φανῆναι δούλων καὶ σκιώδους νόμου καὶ τῆς ἀληθείας. *Ἡ δὲ κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες, λευκαί.*] Τὸ γὰρ κατὰ Χριστὸν μυστήριον, τιμαλφές· καὶ εἰ νέον τῇ ἐπιφανείᾳ δι' ἡμᾶς, ἀλλὰ προαιώνιον τῇ εὐδοκίᾳ. Διὸ καὶ Παῦλός φησι περὶ αὐτοῦ· *Τὸ μυστήριον, τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων, νῦν δὲ φανερωθὲν τοῖς ἁγίοις αὐτοῦ* (β)· τοῦτο δ' ἡ πολιὰ θριξ καὶ ὡσεὶ χιὼν ὑποσημαίνει. *Ὡς φλὸξ δὲ πυρὸς οἱ ὀφθαλμοὶ αὐτοῦ*, ἢ τὸ φωτοειδὲς παραδηλοῦντες, ὥσπερ ἡ φλόξ· διὸ καὶ ὁ Χριστός φησιν· *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου* (γ)· ἢ τὸ καυστικόν τε καὶ τιμωρητικὸν ἀπειλοῦντες κατὰ τῶν ἐκκλησιῶν, αἷς τὰ τῆς ἀποκαλύψεως διαπέμπεται, ὡς οὐ τέλεον τοῖς αὐτοῦ νόμοις ἀκολουθούσαις. *Καὶ οἱ πόδες αὐτοῦ, ὅμοιοι χαλκολιβάνῳ.*] Πόδας ἔχοντα τὸν θεάνθρωπον Ἰησοῦν ἀκουστέον ἀκολούθως τῷ θείῳ τοὺς λόγους ἀνδρὶ Γρηγορίῳ, ὅτι μηδὲ γυμνῇ τῇ θεότητι ἡμῖν ἐπεδήμησεν, ἀλλὰ διὰ σαρκὸς, διὰ τοῦ *χαλκοῦ*, χρυσοειδοῦς ὄντος, τῆς θείας φύσεως δηλουμένης· ἢ χαλκοῦ μὲν, τῆς ἀνθρωπίνης· λιβάνου δὲ, τῆς θείας νοουμένης φύσεως· ἢ τοῦ χαλκοῦ μὲν δηλοῦντος τὸ τοῦ κηρύγματος εὔηχον· τοῦ δὲ λιβάνου, τὴν τῶν ἐθνῶν ἐπιστροφήν. *Πόδας* δὲ τοῦ Χριστοῦ, καὶ τοὺς θεμελίους τῆς ἐκκλησίας, τοὺς θείους ἀποστόλους ἐκληπτέον, καθαροὺς μὲν καὶ αὐτοὺς τῷ πυρὶ τῶν

(α) Ἡσ. ΙΑ', 5. (β) Κολοσ. Α', 26.
(γ) Ἰωαν. Η', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πειρασμῶν ἀναφανέντας, εἰ καὶ πρὸ τούτου μετρίως· ἀλλ' ὥσπερ ὁ διδάσκαλος Χριστὸς τῇ τῶν Ἰουδαίων ἀπειθείᾳ, οὕτω καὶ αὐτοὶ τῇ τῶν ἐθνῶν ἀγριότητι τὸ δοκίμιον ἑαυτῶν ὡς διὰ πυρὸς ἀποδεδειγμένοι εἰσίν. Ὅτι δὲ καὶ ὁ Χριστὸς θεμέλιος, Κορινθίοις ὁ θεῖος γράφων Παῦλος, ἐχέγγυος τῷ λόγῳ πιστώσασθαι, *θεμέλιον*, φάσκων, *ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστι Χριστός* (α). *Χαλκολίβανον* δέ φησιν, εἴτε τὸν ἐν τῷ Λιβάνῳ τῷ ὄρει μεταλλευόμενον· ἐπειδὴ τούτῳ ἀφωμοίωται ὁ ἐνανθρωπήσας· εἴτε καὶ τὸν χαλκοειδῆ λίβανον νοητέον, ὃν ἰατρῶν παῖδες ἄρρενα καλοῦσιν, εὐώδεις καὶ αὐτὸν πυρὶ ὁμιλοῦντα ἀτμοὺς ἀποπέμποντα. Καὶ ὅτι εὐώδεις καὶ ὁ Χριστὸς καὶ οἱ αὐτοῦ θεῖοι ἀπόστολοι, ἡ ἐν Ἄισμασι νύμφη ἀξιόλογος παραστῆσαι, *Ὀσμὴ*, φάσκουσα, *ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώματα* (β)· καὶ αὐτὸς ὁ νυμφίος Χριστὸς πρὸς τὴν νύμφην περὶ ἑαυτοῦ λέγων· *Ἐγὼ ἄνθος τοῦ παιδίου, καὶ κρίνον τῶν κοιλάδων* (γ). Καὶ οὕτω μὲν ὁ Χριστός. Εὐώδεις δὲ καὶ οἱ τούτου ἀπόστολοι· διὸ καὶ φάσκει Παῦλος· *Χριστοῦ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολυμένοις* (δ). *Ὡς ὑδάτων δὲ πολλῶν* ἀπηχεῖσθαι τὴν φωνὴν εἰκότως φησί· κοινὴ γὰρ ἡ φωνὴ αὐτοῦ τε καὶ τοῦ Πνεύματος, ἀφ' οὗ τῆς ἐνεργείας ποταμοὶ ἐκ τῆς κοιλίας τῶν πιστῶν ζῶντος ὕδατος ἔρρευσαν (ε), κατὰ τὸν προφητικὸν λόγον· *Καὶ πηγὴ ἐξ οἴκου Κυρίου ἐξελεύσεται, καὶ ποτιεῖ τὸν χειμάρρουν τῶν σχοίνων* (ζ). *Οἶκον* δὲ θεοῦ, τίς ἀμφιβάλοι μὴ τοὺς ἀξίως τῆς τοῦ θείου Πνεύματος ἐνεργείας ἑαυτοὺς παρεσκευακότας ὑπὸ τούτου εἰρῆσθαι, οἳ καὶ εἰρήκασιν ἑαυτοὺς εἶναι ναοὺς θεοῦ καὶ μέλη ἐκ μέρους (η); Οὐκ ἄλλος μὲν οὖν, ἢ ὁ ταῦτα τὰ θεῖα καὶ ἱερὰ λόγια ἀγνοήσας

(α) Α' Κορ. Γ', 11.
(β) Ἄσμ. Δ', 18. (γ) Ἄσμ. Β', 1. (δ) Β' Κορ. Β', 15.
(ε) Ἰωαν. Ζ', 38. (ζ) Ἰωὴλ Γ', 18.
(η) Α' Κορ. Γ', 16. Ϛ', 19. ΙΒ', 27.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑκών. Καὶ τὸ διαπρύσιον δὲ τῆς εἰς πᾶσαν τὴν γῆν ἀπηχήσεως τίς ἀθετήσει, εἰ μή που ὁ χοιρώδης, καὶ ὁ τὰς πνευματικὰς καὶ θείας ἐλλάμψεις αἰσθητῶς ἀπαιτῶν ἐνεργεῖσθαι; *Καὶ ἔχων ἐν τῇ δεξιᾷ χειρὶ αὐτοῦ ἀστέρας ἑπτά.*] Τοὺς ἑπτὰ τούτους ἀστέρας, ἀγγέλους αὐτὸς οὗτος προϊὼν ἑρμηνεύσει, οὓς καὶ ἑκάστῃ ἐκκλησίᾳ ἐπιστατεῖν ἐρεῖ· καὶ Γρηγόριος ὁ θεῖος ἐν τῷ συντακτηρίῳ αὐτοῦ λόγῳ τὸ αὐτὸ διαγορεύει, ἐκ ταύτης τῆς ἀποκαλύψεως Ἰωάννου ἕλκων εἰς ἡμᾶς τὴν πειθώ. Ἀστέρας δὲ καλεῖ τοὺς ἀγγέλους διὰ τὴν δαψιλῆ φωτοχυσίαν τὴν ἐν αὐτοῖς τοῦ Χριστοῦ. Τοὺς αὐτοὺς καὶ τῆς δεξιᾶς χειρὸς ἀξιοῦσθαι τῆς κατοχῆς φησι, τῇ τιμιωτάτῃ στάσει οἱονεὶ ἐπαναπαυομένους. *Ἐκ τοῦ στόματος* δὲ *αὐτοῦ*, φησί, *τὴν ῥομφαίαν τὴν δίστομον ἐκπορεύεσθαι*, καίτοι τοῦ θεοπάτορος ἐπὶ τὸν μηρὸν τὸν δυνατὸν περιζώσασθαι ταύτην ἐντελλομένου (α)· ὅτι μήπω κατ' ἐκεῖνο καιροῦ τοῖς παραβάταις τῶν εὐαγγελικῶν νόμων ἡ ἐκδίκησις ἐπεπαίδευτο. Καὶ οὗτος μέν, ἵνα τὴν ἀναβολὴν παραστήσῃ τῆς τιμωρίας, ἐπὶ τοῦ μηροῦ τέως τὴν ῥομφαίαν αἰωρεῖ· νῦν δὲ ἡ ἐκ τοῦ στόματος ἐκπορευομένη ῥομφαία, τὸ ἑτοιμότατον ὑπαινίττεται τῶν ἐν τῇ νέᾳ Διαθήκῃ ἀνηκόως διακειμένων εἰς ἀπαραίτητον ψυχῆς κίνδυνον ὀξέως ἐφορμώντων, πρὸς διχοτομίαν δηλονότι· ἣν καὶ ὁ Κύριος ἐν εὐαγγελίοις ὑπέφηνε, διχοτομηθῆναι τὸν ἀμελῆ δοῦλον ἀπειλῶν (β)· καὶ Παῦλος ζῶντά φησιν τὸν τοῦ θεοῦ τιμωρητικὸν λόγον καὶ ἐνεργῆ, καὶ τομώτερον παρὰ ῥομφαίαν, ἅτε ἐκ τοῦ στόματος ἐκπορευόμενον, καὶ διϊκνούμενον ἄχρις ὀστέων καὶ μυελῶν (γ), οὐκ αἰσθητῶς μέντοι. Ὅθεν καὶ *ὀξεῖα* αὕτη τῷ Ἰωάννῃ ἀναγέγραπται, ὅπερ εἰς ταυτὸν φέρει τῇ τομωτάτῃ Παύλου ῥομφαίᾳ. Ὡς *ἥλιον* δὲ *φαίνειν* φησὶν *ἐν τῇ δυνάμει* αὐτὸν, ἐπεὶ καὶ *ἡλιός ἐστι δικαιοσύνης* κατὰ τὸν Μαλαχίαν τὸν προφήτην (δ),

(α) Ψαλμ. ΜΔ', 14. (β) Ματθ. ΚΔ', 51.
(γ) Ἑβρ. Δ', 12. (δ) Μαλαχ. Δ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φωτίζων πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον (α). Οὐχ ὡς σῶμα δὲ φωτίζει διαφανὲς αἰσθητῶς, ἀλλὰ νοητῶς· διὸ καὶ ἐπήγαγεν, ἐν τῇ δυνάμει αὐτοῦ, ὡσεὶ ἔλεγεν, ὅτι τὸ φῶς τοῦ Χριστοῦ δυνάμει ἐνεργεῖ, οὐκ ὄψιν σωματικῶς, ψυχῆς δὲ νοητῶς καταλάμπον ὀφθαλμούς.

17 Καὶ ὅτε εἶδον αὐτὸν, ἔπεσον πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρός· καὶ ἔθηκε τὴν δεξιὰν αὐτοῦ ἐπ' ἐμὲ, λέγων· Μὴ φοβοῦ· Ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχα-
18 τος· καὶ ὁ ζῶν· καὶ ἐγενόμην νεκρὸς, καὶ ἰδοὺ ζῶν εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν· καὶ ἔχω τὰς κλεῖς τοῦ θανάτου καὶ τοῦ ᾅδου.

Ἔθος τοῖς ἁγίοις προφήταις, ὁρῶσιν ὀπτασίαν, καταπλήττεσθαι εἰς παράτασιν τῆς ἀνθρωπίνης εὐτελείας, ὁρῶντας ὅσον τὰ θεῖα τῶν ἀνθρωπίνων κατὰ τὸ κρεῖττον καθυπερτερεῖ καὶ ἀνέστηκεν· ὅπερ Ἰησοῦς ὁ τοῦ Ναυῆ πέπονθε (δ), καὶ Δανιὴλ ὁ τῶν ἐπιθυμιῶν ἀνὴρ (γ), ὁ μὲν πρὸς τὸν ἀρχιστράτηγον τῆς τοῦ Κυρίου δυνάμεως, ὁ δὲ ἐπὶ ταῖς ὁραθείσαις αὐτῷ ὀπτασίαις. Οὐκοῦν παραπλήσιόν τι τούτοις καὶ νῦν ὁ εὐαγγελιστὴς ὑποστὰς, ἀνερρῶσθαί φησι, τῆς σωτηρίου δεξιᾶς τοῦ υἱοῦ τοῦ θεοῦ ἁπτομένης αὐτοῦ, μετὰ παρακλήσεως τὸν πρὸς αὐτὸν θεῖον αὐτοῦ λόγον, οἷον *πρῶτον* καὶ *ἔσχατον* ἐμφανίζοντος· πρῶτον, τῇ θείᾳ φύσει, ἔσχατον, τῇ σωτηρίῳ ἡμῖν αὐτοῦ παρουσίᾳ, καὶ *ζῶντα*, εἰ καὶ δι' ἡμᾶς νεκρωθέντα· ἀλλ' οὖν ζῶντα, καὶ τὰς κλεῖς ἔχοντα τοῦ θανάτου καὶ τοῦ ᾅδου. Ὡς οὖν τοιοῦτον ἔχοντα βοηθὸν, κελεύει μὴ φοβεῖσθαι, μηδ' ἐν αὐτῷ προανακείμενον τῷ ζῶντι εἰς ἀτελευτήτους αἰῶνας ὑποστείλασθαι, ἀλλὰ γράφειν ἀνυποστόλως *ἃ εἶδε, καὶ ἃ εἰσὶ, καὶ ἃ μέλλει ἔρχεσθαι*, οἱονεὶ τὰ παρελθόντα, καὶ ἐνεστῶτα· ταῦτα γὰρ τῶν ὄντων, ἀλλ' οὐ τῶν εἰς ἀνυπαρξίαν κεχωρηκότων· μετὰ τούτων δὲ, *καὶ ἃ μέλλει γίνεσθαι* πρὸς

(α) Ἰωαν. Α', 9. (δ) Ἰησ. Ε', 13—15. (γ) Δαν. Κεφ. Ζ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γνῶσιν τῶν μετερχομένων. *Μὴ φοβοῦ,*] Καταπλαγεὶς τῇ θέᾳ ὁ εὐαγγελιστὴς, καὶ ὡς νεκρὸς ὑποτεθεὶς τῷ ὁρωμένῳ πρὸς τοὺς πόδας, ἀκοῦσαι φησὶ, *Μὴ φοβοῦ*, ὡς οὐκ ἂν ἴσχυσε ζῆν ὁ ἱερὸς Ἰωάννης ἐκ τῆς καταπλήξεως, μὴ τῆς σωτηρίου δεξιᾶς ἁψαμένης αὐτοῦ, τῆς πλεῖστα μόνῃ τῇ ἁφῇ ἐργασαμένης θαυμάσια. Ἐγὼ γάρ εἰμι, φησὶν, ὁ ἐπὶ σωτηρίᾳ πάντων ὑμῶν ἐπ' ἐσχάτων καιρῶν συναναστραφεὶς ὑμῖν μετὰ σαρκὸς, καὶ *πρωτότοκος πάσης κτίσεως* (α). Πῶς οὖν οἷον τέ σε παθεῖν τι κακὸν ἐκ τῆς ἐπιφανείας μου; Εἰ γὰρ ζῶ, καὶ πηγὴ ζωῆς ὑπάρχω· (εἰ δὲ καὶ δι' ὑμᾶς ἐγενόμην νεκρὸς, ἀλλ' αὖθις ἀνεβίων, πατήσας τὸν θάνατον·) πῶς οἱοντέ σε τὸν ζῶντα, δι' ἐμὲ καὶ τὴν ἐμὴν ὀπτασίαν γενέσθαι νεκρόν; Εἰ δὲ καὶ ἔχω τὰς κλεῖς τοῦ θανάτου καὶ τοῦ ᾅδου· (διὸ καὶ ζωογονῶ, καὶ κατάγω εἰς ᾅδου καὶ ἀνάγω (β), καὶ ἐμοῦ εἰσιν, ὡς ὁ προφήτης φησὶν, αἱ διέξοδοι τοῦ θανάτου (γ)·) οὐκ ἂν τοὺς ἐμοὺς προσκυνητὰς πρὸ τοῦ καθήκοντος παραπέμψω τῷ θανάτῳ, ἂν μὴ πρότερον γράψαι ὑποθῶμαι τὰ γνώσεως ἄξια.

19 Γράψον οὖν ἃ εἶδες, καὶ ἃ εἰσι, καὶ ἃ μέλλει γί-
20 νεσθαι μετὰ ταῦτα· τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων ὧν εἶδες ἐπὶ τῆς δεξιᾶς μου, καὶ τὰς ἑπτὰ λυχνίας τὰς χρυσᾶς. Οἱ ἑπτὰ ἀστέρες, ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσί· καὶ αἱ λυχνίαι αἱ ἑπτὰ, ἑπτὰ ἐκκλησίαι εἰσί.

Τὰ ὁραθέντα τῷ ἁγίῳ, τὰ μὲν ἤδη γεγόνασιν· ἃ καὶ πέρας ἤδη ἔχοντα ἐτύγχανον κατὰ καιρὸν, οὐ μέντοι καὶ εἰς ἀνυπαρξίαν ἦν συγκεχωρηκότα· διὸ καὶ περὶ αὐτῶν εἶπεν, *ἅ ἐστι*· τὰ δὲ, ἕτοιμα παρελθεῖν· τὰ δὲ, μέλλει γίνεσθαι, ὡς προϊὼν ὁ λόγος ἐρεῖ. *Τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων.*] Ἐπεὶ διεσάφησεν αὐτῷ, τίνες τε οἱ ἑπτὰ ἀστέρες καὶ οἱ λύχνοι καὶ αἱ λυχνίαι, τούτου χάριν καὶ ἃ δεῖ πρὸς ἑκάστην εἰπεῖν ἐκκλησίαν συνετί-

(α) Κολοσ. Α', 15. (β) Α' Βασιλ. Β', 6. (γ) Ψαλμ. ΞΖ', 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζεται. *Ἀστέρας* δὲ, τοὺς ἀγγέλους, τοὺς τῶν ἐκκλησιῶν ἐφόρους, καλεῖ, ὡς ἐξ αὐτοῦ τοῦ ἡλίου τῆς δικαιοσύνης τὸ φῶς χορηγουμένους· ὅπερ καί τις τῶν θύραθεν σοφῶν περὶ τοῦ αἰσθητοῦ ἡλίου ἐδόξασεν, ὡς ἐξ αὐτοῦ τοὺς ἀστέρας τὸ φῶς λαμβάνοντας. *Λύχνους* δὲ, τοὺς τὸν Χριστοῦ φωτισμὸν ἱεροὺς ἄνδρας καταπλουτεῖν τεταγμένους, καὶ τὸν τῆς ἀγνωσίας σκότον τοῦ παρόντος βίου διασκεδάζοντας. *Αὐχνίας* δὲ, τὰς ἐκκλησίας, ὡς ὄχημα τῶν φωστήρων· διδάσκαλοι δὲ οὗτοι, κατὰ Παῦλον, λόγον ζωῆς ἐπέχοντες (α). *Χρυσαῖ* δὲ πᾶσαι διὰ τὸ ἀκίβδηλόν τε καὶ τίμιον τῆς ἐν αὐταῖς πίστεως. Ἑκάστη δὲ ὅτι ἄγγελος ἐπιστατεῖ, καὶ ὁ θεολόγος Γρηγόριος, ὡς ἔφημεν, παραθέμενος ἐπιστώσατο. Ἐπεὶ δὲ ταῦτα ἐφανέρωσε, καὶ ἃ δὴ πρὸς ἑκάστην τῶν ἐκκλησιῶν, τῶν ταῦτα θεοκλυτουμένων, διεμαρτύρατο, ἐπιφέρει λοιπὸν καὶ ὅπως τὴν μὲν τέλεον ἔξω βαίνουσαν τοῦ θείου σκοποῦ αἰτιάσασθαι χρή· ἐπαινέσαι δὲ τοὺς τοῦ εὐαγγελίου δρόμου συλλόγους· ἐπιδιορθώσασθαι δὲ τὰς ἐν μέρει πταιούσας τοῖς τῶν κατ' ἀλλήλων νουθεσιῶν φαρμάκοις διαπεμψάμενον. Καὶ τίς ὁ ταῦτα θεσπίζων, ἀλλ' ἢ ὁ πάντας θέλων ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν (β); Καὶ τίνι ταῦτα καταμηνύει; Τῷ θεσπεσίῳ εὐαγγελιστῇ Ἰωάννῃ διὰ τῆς μετὰ χεῖρα ἀποκαλύψεως. *Οἱ ἑπτὰ ἀστέρες, ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσί.*] Δι' ἀγγέλου τῇ ἐκκλησίᾳ διαλέγεται, ὥσπερ ἄν τις διὰ παιδαγωγοῦ διελέγετο τῷ παιδαγωγουμένῳ, εἰδὼς, ὡς οἰκειοῦσθαι φιλεῖ τὰ τοῦ μαθητοῦ ὁ διδάσκαλος, εἴτε κατορθώματα, εἴτε ἡττήματα. Εἰκὸς δὲ καὶ διὰ τῶν ἑπτὰ ἀστέρων, τῶν ἐν τῇ δεξιᾷ τοῦ χρηματίζοντος ταῦτα, τὴν τοῦ παντὸς διακόσμησιν δηλοῦν, ἐν τῇ δεξιᾷ τοῦ Χριστοῦ κειμένην, κατὰ τὸ ἐν ψαλμοῖς ᾀδόμενον· *Ἐν χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων, αὐτοῦ εἰσιν* (γ).

(α) Φιλιπ. Β', 15. 16. (β) Α' Τιμ. Β', 4. (γ) Ψαλμ. 94. 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τὰ γεγραμμένα πρὸς τὸν τῆς Ἐφεσίων ἐκκλησίας ἄγγελον.

ΚΕΦ. II, 1 Τῷ ἀγγέλῳ τῆς ἐν Ἐφέσῳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ
2 λυχνιῶν τῶν χρυσῶν· Οἶδα τὰ ἔργα σου, καὶ τὸν κόπον σου, καὶ τὴν ὑπομονήν σου, καὶ ὅτι οὐ δύνῃ βαστάσαι κακούς· καὶ ἐπείρασας τοὺς λέγοντας ἑαυτοὺς ἀποστόλους εἶναι, καὶ οὐκ εἰσί· καὶ εὗρες
3 αὐτοὺς ψευδεῖς· καὶ ὑπομονὴν ἔχεις, καὶ ἐβάστασας διὰ τὸ ὄνομά μου, καὶ οὐκ ἐκοπίασας (1).

Ἄγγελον τῆς ἐν Ἐφέσῳ ἐκκλησίας, τὴν ἐν αὐτῇ ἐκκλησίαν λέγει. Οὐ γὰρ ὁ προστατῶν ἄγγελος ἡμαρτήκει, ὥστε δεῖν ἀκοῦσαι, *Μετανόησον*, ὁ δι' ἀγιότητα ἐν τῇ δεξιᾷ τοῦ Κυρίου ὑπάρχων, ἀστὴρ ὢν, καὶ δεῖγμα τοῦτο φέρων τῆς κατὰ τὴν αὐτοῦ φύσιν ἐκ καθαρότητος φωτοειδοῦς μαρμαρυγῆς. Τίς δὲ καὶ χρεία γράφειν τῷ ἐν τῇ δεξιᾷ τοῦ διαλεγομένου παρόντι; ὃς καὶ οὐδὲ αἰσθητῆς ἀκοῆς, οἷα νοερὸς ὢν, δεόμενος ἦν; Εἶτα καὶ ὅτι προϊὼν οὗτος, ὁ τῆς ἐκκλησίας ὑφηγητὴς ἅγιος, οὐ τοῖς ἀγγέλοις φησὶν, ἀλλὰ ταῖς ἐκκλησίαις, Τί λέγει τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἀδήλον ἐστι. Κἂν τοῖς λοιποῖς τοῦ προκειμένου τοῦδε βιβλίου, ἔνθα ἂν εὑρίσκηται, Γράψον τάδε τῷ ἀγγέλῳ τῆσδε τῆς ἐκκλησίας, ὅτι οὐ τῷ ἀγγέλῳ, ἀλλὰ περὶ τῆς ἐκκλησίας τοὺς λόγους διακελεύεται γράφειν, ὡσαύτως φανερόν. *Ὁ περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν.*] Ὅμοιον τοῦτο τῷ εἰπεῖν· Τάδε λέγει ὁ περιέπων, καὶ διακρα-

(1) Παρ' ἄλλοις· Καὶ ἐβάστασας καὶ ὑπομονὴν ἔχεις, καὶ διὰ τὸ ὄνομά μου κεκοπίακας, καὶ οὐ κέκμηκας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν, καὶ συνέχων τούς τε ἀνθρωπίνους ἀγγέλους καὶ τοὺς ἐπὶ γῆς ἀνθρώπους· οὗτοι γὰρ οἱ ἑπτὰ ἀστέρες, ὡς ἤδη εἴρηται, καὶ αἱ χρυσαῖ λυχνίαι, καὶ οἱ λύχνοι, ὧν ἐν μέσῳ ὁ ἐνοικεῖν αὐτοῖς καὶ ἐμπεριπατεῖν ἐπαγγειλάμενος Κύριος (α). *Οἶδα τὰ ἔργα σου.*] Οἶδα, καὶ οὐδέν με λέληθέν, φησι, τὸν καταμόνας πλάσαντα τὰς καρδίας ὑμῶν, τὸν συνιέντα εἰς πάντα τὰ ἔργα ὑμῶν (β), καὶ ὅτι τῶν πονηρῶν οὐ δύνασαι ἀκοῦσαι, μισοπόνηρος οὖσα, καὶ ὅτι *ἐπείρασας τοὺς λέγοντας ἑαυτοὺς ἀποστόλους*, καὶ εὗρες αὐτοὺς ψευδαποστόλους. Θεῖαν γὰρ πληροῦντες οἱ ἐν Ἐφέσῳ παράγγελμα, τὸ φάσκον· *Μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ θεοῦ ἐστὶν* (γ), τουτέστι, τὸ δοθὲν αὐτοῖς διδασκαλικὸν ἀξίωμα, εἰ κατὰ τὴν εὐαγγελικὴν ἐστι διάταξιν, ἐν αὐτοσκεύῳ τῇ χρείᾳ συστελλόμενοι διετέλουν, ἀλλ' οὐχὶ βρώμασι καὶ πότοις καὶ γάμοις βακχευόμενοι, καὶ τὸν ἀπολαυστικὸν βίον τοῦ ἐγκρατοῦς ἐπίπροσθεν φέροντες, οἷοι οἱ περὶ τὸν Κήρινθον συγχρονήσαντες τῷ ἀποστόλῳ καὶ εὐαγγελιστῇ νόθων δογμάτων καταγγελεῖς. *Καὶ ὑπομονὴν ἔχεις.*] Ἐκοπίασάς, φησι, καὶ ὑπέμεινας, εἰς μηδὲν ἀποκαρτερήσας τῶν ἐπιφυέντων διὰ τὸ ὄνομά μου· καὶ μάλα πρεπόντως· εἴρηται γάρ· *Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ* (δ). Εἰκὸς γὰρ παρὰ τῶν ψευδαποστόλων ἐπηρείας αὐτοῖς ἐπενεχθῆναι, οἷς ἀνταποδοῦναι οὐδ' ὅλως ἐμελέτησεν, ἀλλ' ὡς μελῶν παρειμένων ἠνέσχετο. *Καὶ ἐβάστασας.*] *Ἐβάστασας*, ἀντὶ τοῦ, ἠνέσχου· *Οὐκ ἐκοπίασας δὲ*, ἀντὶ τοῦ, οὐκ ἀπεκαρτέρησας, οἱονεὶ, Οὐκ ἀπηγόρευσας, οὐ προδέδωκας, οὐκ ἐλιποτάκτησας. *Διὰ τὸ ὄνομά μου.*] *Ὄνομα* τὴν δόξαν, τὸ κλέος, φησὶν, ὡς ἐπὶ τοῦ· *Θαυμαστὸν τὸ ὄνομά σου* (ε). Καὶ πῶς οὐ κλέους μεστὸν, τὸ τοὺς χριστιανοὺς μὴ ἀντιδοῦναι σπεύδειν κακὸν ἀντὶ κακοῦ, ὡς καὶ

(α) Β' Κορ. ς', 15. (β) Ψαλμ. ΑΒ', 15. (γ) Α' Ἰωαν. δ', 1.
(δ) Γαλ. ς', 2. (ε) Ψαλμ. Η', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

Παῦλος ὁ θεῖος παραινεῖ, *Μὴ γίνεσθε, φάσκων, ἑτεροζυγοῦντες ἀπίστοις* (α);

4 Ἀλλ' ἔχω κατὰ σοῦ, ὅτι τὴν ἀγάπην σου τὴν
5 πρώτην ἀφῆκας. Μνημόνευε οὖν, πόθεν πέπτωκας (1), καὶ μετανόησον, καὶ τὰ πρῶτα ἔργα ποίησον· εἰ δὲ μή, ἔρχομαί σοι ταχὺ, καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ τόπου αὐτῆς, ἐὰν μὴ μετανοήσῃς. Ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισεῖς τὰ ἔργα τῶν
6 7 Νικολαϊτῶν, ἃ κἀγὼ μισῶ. Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, ὅ ἐστιν ἐν τῷ παραδείσῳ (2) τοῦ θεοῦ μου.

Ἐν δυσὶ τὴν ἐκκλησίαν ἀποδεχόμενος, ἐν τῇ ὑπομονῇ τοῦ ἄχθους, λέγω, καὶ τῇ τοῦ κόπου τῶν ἀντιδιατιθεμένων ἀζηλίᾳ, ἐν ἑνὶ ταύτῃ μέμφεται, ὃ καὶ μέσον θεὶς ἑκατέρων, τοῦ κόπου, φημὶ, καὶ τῆς ὑπομονῆς, τὴν πρὸς τοὺς κακοὺς ἐπήνεσεν ἀλλοτρίωσιν μετὰ τοῦ πειράσαι καὶ τοὺς ψευδαποστόλους καὶ τὴν τῶν Νικολαϊτῶν αἰσχρουργίαν. Ἐμέμψατο δὲ καὶ τῆς πρὸς τοὺς πλησίον χορηγίας τὴν ὀλιγωρίαν, ἣν αὖθις ἀνακαλέσασθαι ἐπισκήπτει, *τὰ πρῶτα, φάσκων, ἔργα ποίησον* ἐν δικαιοσύνῃ. Οὐ γάρ με λανθάνει, φησὶν, οὔτε τὰ πρῶτά σου τῶν πράξεων ἀγαθὰ, οὔτε ὅτι τὴν εἰς τοὺς δεομένους ἀγάπην ἐνέκοψας. Ἐπάνελθε οὖν, διδαχθεῖσα παρ' ἐμοῦ, ὅτι ἐξέλιπες. *Ἔρχομαί σοι ταχύ.*] Τὸ, *ἔρχομαι*, οὐ μεταβατικὴν δηλοῖ κίνησιν τοῦ πάντα πληροῦντος θεοῦ, ἀλλὰ τὴν ἐκ ῥᾳθυμίας πρὸς κόλασιν ἐπιστροφήν. *Κίνησις* δὲ ἐκκλησίας, ἡ τῆς θείας χάριτός ἐστι γύμνωσις, δι' ἣν ἐν σάλῳ καὶ κλύδωνι ὑπὸ τῶν τῆς πονηρίας ἀνθρώπων γίνεται· ὥστε τοὺς ταύτην συγκροτοῦντας ἀνθρώπους λέγειν τό· *Ἐταράχθη*

(α) Β' Κορ. ϛ', 14.
(1) Παρ' ἄλλοις, ἐκπέπτωκας.
(2) Παρ' ἄλλοις, ἐν μέσῳ τοῦ παραδείσου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν θυμῷ ὁ ὀφθαλμός μου (α)· καί· *Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί* (β). *Ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊτῶν.*] Μεταξὺ τῶν λυπηρῶν τίθησι καὶ τὰ πρὸς εὐθυμίαν ἄγοντα, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ τὰ τῆς ἐκκλησίας. Φησὶν οὖν, ὅτι μετανοίᾳ σε εὐεπιχείρητον καταλαμβάνω, ἀφ' ὧν σύνδρομον ἔχω σε τοῦ μίσους μου τοῦ περὶ τοὺς Νικολαΐτας. Οὗτοι δὲ παρονομάζονται ἀπὸ Νικολάου, ἑνὸς τῶν ἑπτὰ διακόνων. Τίνες δὲ ἦσαν τὴν αἱσχρουργίαν, Ἐπιφανίου τοῦ ἐκ Κύπρου θείου ἀνδρὸς ἡ τῶν Παναρίων βίβλος δηλώσει. — ΑΔΑΩΣ. *Κινησιν λυγρίας* τινὲς καὶ τὸν ἱερατικὸν τῆς Ἐφέσου θρόνον ὑπέλαβον, Κωνσταντινουπόλει τὰ πρεσβεῖα ἑαυτῆς ἐπιδοῦσα. — *Ὁ ἔχων οὖς, ἀκουσάτω.*] Σαρκικὸν μὲν οὖς πᾶς ἄνθρωπος ἔχει, πνευματικὸν δέ, ὁ θεοφορούμενος· ὅπερ καὶ τῷ Ἡσαΐᾳ προστέθειται (γ) καὶ τῷ θεοπάτορι Δαυὶδ εἰς τὸ εὐήκοον γενέσθαι, ἀφ' οὗ καὶ εὐχαρίστως διατιθέμενος μελῳδεῖ· *Εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου* (δ)· οἱονεί, οἷς ἀκοὴ τὸ ἐπαινετὸν φέρει, τούτοις κἀμοῦ τὸν πόθον ἀφωμοιώσατο. Τὸ *Πνεῦμα* δὲ ταῦτα λέγειν φησίν, ἢ ὅτι πνευματικῶς ἐνηργεῖτο, παριστῶν τὰ τῆς ἀποκαλύψεως, ἢ *πνεῦμα* τὸν Χριστόν φησι, καθό ἐστι καὶ νοεῖται θεὸς, ὥσπερ ἀμέλει καὶ *υἱὸς ἀνθρώπου* χρηματίζει, καθό ἐστι καὶ νοεῖται ἄνθρωπος. Καὶ ὅτι πνεῦμα λέγεται ὁ θεὸς, αὐτοῦ τοῦ Χριστοῦ οἱ πρὸς τὴν Σαμαρεῖτιν παριστῶσι λόγοι, *Πνεῦμα, ἀγορεύοντος, ὁ θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν* (ε). Καὶ τί τὸ πνεῦμα λέγει; *Τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς.*] *Νικῶντι*, τὸν πρὸς τοὺς δαίμονας πόλεμον, ὃς διὰ τῶν συμφύτων ἡμῖν παθῶν ἀνερεθίζεσθαι εἴωθεν. *Ξύλον* δὲ τροπικῶς, τὸ ἐν μέσῳ τοῦ Παραδείσου, καὶ *Παράδεισον*, τὴν μακαρίαν καὶ αἰωνίζουσαν ἐκληπτέον ζωήν,

(α) Ψαλμ. Λ', 10. (β) Ψαλμ. ΝΔ', 5. (γ) Ἡσ. Ν', 4.
(δ) Ψαλμ. ΙΖ', 4. (ε) Ἰωάν. Δ', 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν ᾗ σοφίας ἄφθονος χύσις, περὶ ἧς καὶ Σολομὼν φησί· *Ξύλον ζωῆς ἐστι τοῖς ἀντεχομένοις αὐτῆς* (α)· ὁ δὲ παρὼν εὐαγγελιστὴς περὶ τοῦ Χριστοῦ φησιν, ὅτι αὐτός ἐστιν ὁ *ἀληθινὸς θεὸς καὶ ζωὴ ἡ αἰώνιος* (β), οὗ ἐν τῷ παραδείσῳ, τῇ μελλούσῃ ἀτελευτήτῳ ζωῇ, ἐν ἀπολαύσει οἱ ἅγιοι γενήσονται. *Τοῦ θεοῦ μου.*] Μή τις ἀκούων ταῦτα σκανδαλιζέσθω· πρέπει γὰρ τὰ ταπεινὰ πάντα τῇ δι' ἡμᾶς σωτηρίῳ ἡμῖν τοῦ θεανθρώπου οἰκονομίᾳ· ἐπεὶ καὶ ἐν εὐαγγελίοις φησὶν ὁ αὐτός· *Ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν* (γ), ὡς τοῦ μὲν, φύσει, τῶν δὲ, θέσει.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὰ δηλωθέντα τῷ ἐν τῇ Σμυρναίων ἐκκλησίᾳ ἀγγέλῳ.

8 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Σμύρνῃ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ πρῶτος καὶ ὁ ἔσχατος, ὃς ἐγένετο
9 νεκρὸς, καὶ ἔζησεν· Οἶδά σου τὰ ἔργα καὶ τὴν θλῖψιν καὶ τὴν πτωχείαν, (ἀλλὰ πλούσιος εἶ,) καὶ τὴν βλασφημίαν τῶν λεγόντων (1) Ἰουδαίους εἶναι ἑαυτοὺς, καὶ οὐκ εἰσὶν, ἀλλὰ συναγωγὴ τοῦ σατα-
10 νᾶ. Μηδὲν φοβοῦ ἃ μέλλεις παθεῖν. Ἰδοὺ δὴ μέλλει βαλεῖν ὁ διάβολος ἐξ ὑμῶν εἰς φυλακὴν, ἵνα πειρασθῆτε· καὶ ἕξετε θλῖψιν ἡμέρας δέκα. Γίνου πιστὸς ἄχρι θανάτου, καὶ δώσω σοι τὸν στέφανον
11 τῆς ζωῆς. Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου.

(α) Παροιμ. Γ', 18. (β) Ἰωάν. Α', 4. Α' Ἰωαν. Α', 2. Ε, 20.
(γ) Ἰωάν. Κ', 17.
(1) Παρ' ἄλλοις, ἐκ τῶν λεγόντων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρῶτος καὶ ἔσχατος ὁ Χριστὸς, ὡς θεὸς καὶ ἄνθρωπος· πρῶτος, τῇ θείᾳ φύσει· ἔσχατος, ὡς δι' ἡμᾶς ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἄνθρωπος γενόμενος. Καὶ *νεκρὸς* δὲ ὁ αὐτὸς τριήμερος, καὶ αὖθις ἀνοίξας ἡμῖν διὰ τῆς αὐτοῦ ἀναστάσεως ὁδὸν τῆς ἀναστάσεως καὶ τῆς ζωῆς. Καὶ τί φησιν οὗτος; *Οἶδά σου τὰ ἔργα, καὶ τὴν θλῖψιν, καὶ τὴν πτωχείαν, ἀδι' ἐμὲ ὑπομένεις, ὑπὸ τῶν ἀπίστων μαστιζόμενος. Μὴ οὖν ἐν τῷ θλίβεσθαι καὶ πτωχεύειν εἴπῃς καὶ αὐτός· Τί ὅτι ἐνηστεύσαμεν, καὶ οὐκ ἔγνως; ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν*, καὶ οὐ προσέσχες (α); Εἰ γὰρ καὶ ταῦτα, *ἀλλὰ πλούσιος εἶ*, ἐν τοῖς πνευματικοῖς τὸν θησαυρὸν ἔχων κεκρυμμένον ἐν τῷ ἀγρῷ τῆς καρδίας σου, ὅς ἐστιν ὁ Χριστός, δι' ὃν καὶ πλούσιος εἶ, ὡς τοῦτον ἔχων σκεπαστήν· ὃς καὶ αὐτὸς πλούσιος ὢν, ἐπτώχευσε δι' ἡμᾶς (β). *Οἶδα σου τὰ ἔργα*, δηλαδὴ τὰ χρηστὰ, καὶ τὴν διὰ ταῦτα θλῖψιν καὶ πτωχείαν, τὴν διὰ φθόνον ἀπὸ τῶν συνεργῶν τοῦ διαβόλου ἐλασφήμων Ἰουδαίων ἐπαγομένην ἡμῖν· οἵτινες ὀνόματι μόνον Ἰουδαῖοι, τῇ δὲ ἀληθείᾳ συναγωγὴ τοῦ διαβόλου εἰσίν. *Ἀλλὰ* κἂν ἐξ ἐπηρείας πτωχεύῃς, ἐμοὶ ἀνακείμενος τῷ πάντων τῶν ἀγαθῶν πρυτάνει, *πλούσιος εἶ*. Διόπερ *μηδὲν φοβοῦ* τῶν μελλόντων σοι ἐπενεχθῆναι ἀπὸ τῶν συνεργῶν τοῦ διαβόλου θλιβερῶν, ὧν ἐφήμερος ἡ ἐπιφορὰ, εἰ καὶ ἡμέραις δέκα ἐξισουμένη. Γίνου οὖν καρτερικὸς καὶ μὴ ἐκλυόμενος μέχρι θανάτου, ὑπὲρ ὧν λήψῃ τὸν στέφανον τῆς ζωῆς. *Καὶ τὴν βλασφημίαν.*] Ἀπὸ κοινοῦ τὸ, οἶδά σου, ἵνα ἐξακούηται οὕτως· Οἶδά σου τὰ ἔργα, *οἶδα καὶ τὴν βλασφημίαν* τῶν τῷ λόγῳ μὲν Ἰουδαίων, ἔργῳ δὲ, συναγωγῆς τοῦ σατανᾶ. *Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖος, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ, καὶ τῇ περιτομῇ τῆς καρδίας* (γ), ὁ διὰ τῆς τοῦ φαινομένου περιβλητοῦ τῷ γεννητικῷ μορίῳ δέρματος ἀφαιρέσεως τοῦ ὑλικοῦ τοῦδε

(α) Ἡσ. ΝΗ', 3. (β) Β' Κορ. Η', 9.
(γ) Ρωμ. Β', 28. 29.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παντὸς βίου ἀλλοτριούμενον ἑαυτὸν αἰνιττόμενος, καὶ πρὸς τὰ θεῖα τῇ ψυχῇ ἐνσκευαζόμενον. Εἰ γὰρ *Ἰούδας* μὲν, ἐξομολόγησις ἑρμηνεύεται, *Ἰσραὴλ* δὲ, νοῦς ὁρῶν θεὸν, πάντως οἱ ἀληθεῖς Ἰουδαῖοι καὶ Ἰσραὴλ οὗτοι εἰσὶν, οἱ Χριστῷ *ἐξομολογούμενοι*, ἤγουν εὐχαριστοῦντες ἀνθ' ὧν μεγάλα εὐεργετήθημεν τῇ διὰ σαρκὸς αὐτοῦ πρὸς ἡμᾶς ἐπιδημίᾳ· τοῦτο γὰρ ἡ ἐξομολόγησις δηλοῦν βούλεται· Ἰσραὴλ δὲ, ὃς νῷ θεὸν ὁρᾷν ἠξιωμένος, μηδενὶ τῶν ἀσχολεῖν εἰωθότων ἐπιπροσθούμενος. Οὐκοῦν οὐδὲ Ἰουδαῖοι οὔτε Ἰσραὴλ οἱ τῇ ἀπιστίᾳ ἐμμένοντες ἀνεπιστρόφως, ἀλλὰ βλασφημοῦντες συναγωγὴν ἑαυτοὺς ἀποφαίνουσι τοῦ σατανᾶ, ἐζωγρημένους ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα (α), ἅτε καὶ στρατηγουμένους ὑπ' αὐτοῦ. *Ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου.*] Ἀκριβὲς τὸ εἰρημένον. Ὅτι, δύο θανάτων ἀνθρώποις ὄντων, πρώτου τοῦ φυσικοῦ, ὃς ἐστι χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, κατὰ τὴν δικαίαν καὶ ἀπαραίτητον ἀπόφασιν τοῦ παντοκράτορος θεοῦ, τήν· *Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ* (β)· τοῦτον τὸν θάνατον ἀνυπερθέτως πάντες ἄνθρωποι, δίκαιοι καὶ ἁμαρτωλοί, μέτιμεν· δευτέρου δὲ πάλιν θανάτου καὶ ὀλεθριωτέρου τοῦ δι' ἁμαρτίας ὄντος, ὃν τὸ τῆς ἀκολάστου καὶ σαρκικῆς καὶ ἡδυπαθοῦς ζωῆς δέλεαρ τοῖς ἀνθρώποις οἶδε πορίζειν· διό καὶ ὁ Κύριος τοὺς ταύτην μεταδιώκοντας νεκροὺς ὀνομάζει, ὅταν φάσκῃ· *Ἄφετε τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς* (γ). Τοῦτον τὸν θάνατον, τὴν ἐμπαθῆ, λέγω, ζωὴν, ὁ νικῶν, οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τῆς γεέννης, εἰς ἀδιάλειπτον θάνατον μεταβαίνων.

(α) Β' Τιμ. Β', 26.
(β) Γεν. Γ', 19.
(γ) Ματ. Η', 22. Λουκ. Θ', 60.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τὰ σημανθέντα τῷ τῆς Περγαμηνῶν ἐκκλησίας ἀγγέλῳ.

12 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Περγάμῳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίσο-
13 μον τὴν ὀξεῖαν· Οἶδα τὰ ἔργα σου, καὶ ποῦ κατοικεῖς, ὅπου ὁ θρόνος τοῦ σατανᾶ· καὶ κρατεῖς τὸ ὄνομά μου, καὶ οὐκ ἠρνήσω τὴν πίστιν μου ἐν ταῖς ἡμέραις, ἐν αἷς Ἀντίπας, ὁ μάρτυς μου ὁ πιστός, ὃς ἀπεκτάνθη παρ' ὑμῖν, ὅπου ὁ σατανᾶς κατοικεῖ.
14 Ἀλλ' ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν Βαλαάμ, ὃς ἐδίδαξε τὸν Βαλὰκ, βαλεῖν σκάνδαλον ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ,
15 φαγεῖν εἰδωλόθυτα, καὶ πορνεῦσαι. Οὕτως ἔχεις καὶ σὺ κρατοῦντας τὴν διδαχὴν τῶν Νικολαϊτῶν ὁμοίως (1).

Δίστομον ῥομφαίαν φησὶν, ἢ τὴν κατὰ τὸν εὐαγγελικὸν λόγον πᾶν περιαιροῦσαν τὸ περιττὸν τοῦ παρόντος βίου, καὶ τὸ ἀπὸ γενέσεως ἡμῖν ἐπισκοτοῦν τῶν θείων τῆς ἐποψίας· ἢ τὴν κατὰ τῶν ἀσεβῶν ἀπότομον ἀπόφανσιν. Πρὸς τῷ δίστόμῳ καὶ ὀξεῖα αὕτη, ἤτοι καὶ ταχινὴ, εἰς ἐκδίκησιν τῶν ἀπειθούντων τοῖς θείοις κελεύσμασι. Θρόνον δὲ τοῦ σατανᾶ, τὴν Πέργαμον καλεῖ, ὡς κατειδωλον οὖσαν ὑπὲρ τὴν Ἀσίαν πᾶσαν. Ἀλλ' οὖν καὶ τοιοῦτον οἰκοῦσα τόπον, φησὶν, ἀνόθευτόν μου τὴν πίστιν ἐτήρησας, μηδὲν ἐκτραπεῖσα ἀπὸ τῆς τῶν κακῶν γειτονίας, οὐδὲ ζηλώσασα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν καὶ εὐθυνίαν θεωροῦσα (α). Ἐν αἷς Ἀντίπας, ὁ μάρτυς μου.] Ἀντίπας ὁ μάρτυς ἐν Περγάμῳ ἐμαρτύρησεν, οὗ καὶ τὸ

(1) Παρ' ἄλλοις, ὃ μισῶ, ἀντὶ τοῦ, ὁμοίως.
(α) Ψαλμ. ΟΒ', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μαρτύριον εἰσέτι σώζεται, πολλὰ παῤῥησιασάμενος τοῖς ἐπιβουλεύουσι· καὶ, ὅσον εἰς αὐτὸν ἦκεν, ἄχρι θανάτου προῦβη· οὗ περ τῆς ἀνδρείας νῦν ὁ εὐαγγελιστὴς μέμνηται, πρὸς ἔνδειξιν ἐπεισαχθείσης τῆς ἐκείνου ἀρετῆς καὶ ὑπομονῆς τοῖς πιστοῖς, τῆς τε τῶν πεπλανημένων ὠμότητος, ὡς ὁμοσκήνων τῷ σατανᾷ. Ἐπειδὴ δὲ ἅπτεται καὶ τῶν ἁγιωτάτων ὁ μῶμος, καθὸ *πολλὰ πταίομεν ἅπαντες* (α), κατὰ τὸ γεγραμμένον· *Τίς καθαρὸς ἀπὸ ῥύπου* (β); Ὑμῖν πάλιν, φησὶ, καίτοι τοιούτοις οὖσι τὰ πρὸς θεραπείαν ἐμὴν, ἔχω τι ἐγκαλεῖν, κἂν ἀπ' ὀλίγων. Δύο γὰρ χαλεπὰ, ὡς ἔοικεν, αὕτη ἡ πάλις τῶν Περγαμηνῶν ἐκέκτητο· τοὺς μὲν πλείονας δηλαδὴ Ἕλληνας εἶναι ἐν αὐτῇ· καὶ ἐξ αὐτῶν τῶν ὀνομαζομένων πιστῶν, τοὺς αἰσχρουργοὺς Νικολαΐτας ἐπισπαρέντας τῷ χρηστῷ σίτῳ ζιζάνια πονηρά. Καὶ ὅρα ὅπως τούτους, καὶ τίσιν ὡμοιωμένους, διὰ τῆς πάλαι ἱστορίας παρέθετο. *Τὴν διδαχὴν Βαλαὰμ, ὃς ἐδίδαξε τὸν Βαλάκ.*] Τὸν Βαλαὰμ φησι διδάξαι τὸν Βαλὰκ, οἱονεὶ διδάσκαλον γενόμενον τοῦ Βαλάκ. Ἡ δὲ ἱστορία ἐν τῇ βίβλῳ τοῦ θεσπεσίου Μωϋσέως, ᾗ ὄνομα Ἀριθμοὶ (γ). Ἰώσηππος δὲ ὁ Ἰουδαῖος (1) συμβουλῇ γράφει τοῦ Βαλαὰμ τὸν βασιλέα Βαλὰκ, τὰ γύναια παραστῆσαι τῷ λαῷ τῷ Ἰσραὴλ εἰς πορνείαν· (ὅτε καὶ Φινεὲς τὸ ἀοίδιμον ἔργον εἰργάσατο τὸ ἐπὶ Ζαμβρή·) καὶ πρὸς τῇ ἀσελγείᾳ ταύτῃ, καὶ τὸν αὐτὸν Ἰσραηλίτην λαὸν πρὸς μιαροφαγίαν ἑλκυσθῆναι, τὰ τῷ Βεελφεγὼρ ἀνατεθέντα κρέα εἰς βρῶσιν χρησάμενον· διὸ καὶ ἀπώλοντο. Ἐξομοιοῦσθαι δὲ τούτοις φησὶ καὶ τοὺς Νικολαΐτας κατά τε τὴν πορνείαν καὶ τὴν μιαροφαγίαν· ἃ εἴ τις ἐπιζητεῖ ποῖα τινὰ ἦν, ὡς ἤδη παρεθέμην, ἐξ Ἐπιφανίου τοῦ Κυπρίου ἀρχιερέως θεοῦ μάθοι, ὃς εἰς ὠφέλειαν πολλῶν, οὐκ ἀπηξίωσε τὸ βορβορῶδες τῶν Νικολαϊτῶν, κατά τε τὴν πορνικὴν ἀκολασίαν, κατά τε τὴν ἐπ' αὐτῇ βδελυκτο-

(α) Ἰακ. Γ', 2. (β) Ἰὼβ ΙΔ', 4.
(γ) Ἀριθ. ΚΔ'. ΚΕ'. (1) Ἰώσηπ. Ἰουδ. ἀρχ. βιβλ. Δ'. Κεφ. ς'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τάτην ἀκαθαρτοραγίαν πρόδηλον ἀνυποστόλως καταστῆσαι (1).

16 Μετανόησον οὖν· εἰ δὲ μή, ἔρχομαί σοι ταχὺ, καὶ πολεμήσω μετ' αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός
17 μου. Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Τῷ νικῶντι δώσω αὐτῷ (2) ἀπὸ τοῦ μάννα τοῦ κεκρυμμένου, καὶ δώσω αὐτῷ ψῆφον λευκήν, καὶ ἐπὶ τὴν ψῆφον ὄνομα καινὸν γεγραμμένον, ὃ οὐδεὶς οἶδεν, εἰ μὴ ὁ λαμβάνων.

Ὦ βάθος πλούτου καὶ ἀγαθότητος θεοῦ! ὅτι καὶ ἐν τῇ ἀπειλῇ ἡ φιλανθρωπία. *Πολεμήσω* γὰρ, φησιν, οὐ μετὰ σοῦ, ἀλλὰ μετὰ τῶν Νικολαϊτῶν, τῶν νοσούντων τὰ ἀνίατα καὶ ἄχρηστα. Τῶν γὰρ ἐν Περγάμῳ ἐφείσατο, ὡς πιστῶν, ἑνὸς μόνου ἐπιμεμψάμενος αὐτοῖς, τῆς μετὰ τῶν Νικολαϊτῶν ἀναστροφῆς. Ἀλλὰ καὶ τὸ *ταχὺ* τῆς κατ' αὐτῶν ἐπελεύσεως, πῶς οὐ κηδεμόνος καὶ μὴ ἀνεχομένου ἐπὶ πολὺ τὸν κλῆρον ἑαυτοῦ ναθεύεσθαι, ἀλλὰ ταχινὴν βραβεύοντα τὴν ἀντίληψιν; *Ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός μου.*] *Ῥομφαία* στόματος τίς, καὶ διὰ τί εἴρηται *δίστομος*, ἔφθημεν πρὸ μικροῦ παραθέμενοι. *Τῷ νικῶντι δώσω αὐτῷ ἀπὸ τοῦ μάννα.*] Ἐπειδὴ, ὡς φθάνομεν παραθέμενοι ἐξ Ἐπιφανίου τοῦ ἱεροῦ λαβόντες, ἐτολμᾶτο παρὰ Νικολαϊτῶν ἀξία τῆς τούτων ἀθεΐας ἐν τῇ ἀκαθάρτῳ μίξει ἑαυτῶν ἡ βλασφημοτάτη βρῶσις, τούτου χάριν τῷ νικῶντι δοθῆναι φαγεῖν ἀπὸ τοῦ μάννα ἀντὶ τῆς ἀκαθάρτου τε καὶ ἐδελυρᾶς βρώσεως ὑπέσχετο. *μάννα* δὲ τροπικῶς, ὁ ἄρτός ἐστι τῆς ζωῆς, ὁ οὐρανόθεν δι' ἡμᾶς κατελθὼν (α)· ἢ καὶ πάντα τὰ μέλλοντα ἀγαθὰ, ὡς οὐρανόθεν καὶ αὐτὰ καταπτάμενα, ὅπου καὶ ἡ ἄνω Ἱερουσαλήμ. Τῷ νικῶντι δὲ τὸν διάβολον, δοθῆναι καὶ *ψῆφον λευκὴν*, τουτέστι, δόξῃ λελαμπρυσμένην. Τοῦτο δὲ, *τὴν λευκὴν ψῆφον*, τὴν ἀπὸ τῶν ἐν τοῖς θεάτροις καὶ

(1) Ἐπιφ. ἐν αἱρέσει Ε', ἢ καὶ ΚΕ'.
(2) Παρ' ἄλλοις, φαγεῖν.
(α) Ἰωαν. ς', 31—35.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς σταδίοις ἀγωνιζομένων γνώριμον οὖσαν, τοῖς νικῶσι παρεχομένην, ἐνταῦθα τέθεικεν. *Ὄνομα δὲ καινὸν*, τῇ παρούσῃ ζωῇ ἀγνοούμενον· *τὰ γὰρ ἀγαθὰ, ἃ τοῖς ἀγαπῶσιν αὐτὸν ἡτοίμασεν ὁ θεὸς, ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη* (α)· (τοῦτο δὲ τὸ ὄνομα οἱ ἅγιοι κληρονομήσουσι)· πῶς γὰρ οἵόντε φθαρτῇ γνώσει τὰ ἄφθαρτα παραδηλοῦσθαι;

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Τὰ γεγραμμένα τῷ τῆς Θυατείρων ἐκκλησίας ἀγγέλῳ.

18 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Θυατείροις ἐκκλησίας γράψον· Τάδε λέγει ὁ υἱὸς τοῦ θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς φλόγα πυρὸς, καὶ οἱ πόδες αὐ-
19 τοῦ ὁμοιοι χαλκολιβάνῳ· Οἶδα σου τὰ ἔργα, καὶ τὴν ἀγάπην, καὶ τὴν πίστιν, καὶ τὴν διακονίαν, καὶ τὴν ὑπομονήν σου, καὶ τὰ ἔργα σου, τὰ ἔσχατα πλείονα τῶν πρώτων.

Σαφέστερον ἑαυτοῦ παρέχεται γνώρισμα ὁ χρηματίζων τῷ εὐαγγελιστῇ, *υἱὸν* ἑαυτὸν καταγγέλων *τοῦ θεοῦ*, ἔχοντα τοὺς ὀφθαλμοὺς μὲν, ἀφωμοιωμένους πυρὶ, ἅτε οἵουσπερ δικαίους μὲν φωτίζειν, πρὸς καῦσιν δὲ ἁμαρτανόντων ἑτοίμους· τοὺς δὲ πόδας, χαλκολιβάνῳ ἀπεικασμένους. *Χαλκολιβάνῳ* δὲ, ἤτοι τῷ ὑπὸ τῶν ἰατρῶν *ἄρρεν* καλουμένῳ λιβάνῳ, ὃς ἐκθυμιώμενος μυρώδεις ἀτμοὺς ἀποπέμπει· ἐπεὶ καὶ οἱ Χριστῷ προσκεχωρηκότες, τοῖς πειρασμοῖς οἷα πυρὶ προσομιλοῦντες, τῷ δοκιμίῳ ἑαυτῶν εὐωδιάζειν τοὺς περιεστῶτας οὐχ ὑστεροῦ-

(α) Α' Κορ. Β', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιν. Ἐκ τούτου καὶ Παῦλος μεταλαχὼν, *Χριστοῦ*, φησὶν, *εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις* (α)· *τοῖς σωζομένοις* μὲν, τοῖς ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου στοιχειωδεστέρᾳ τῇ πρὸς θεοσέβειαν ζωῇ προσλιπαροῦσιν ἐπὶ τελειωτέραν τῆς κατὰ Χριστὸν πίστεως ζωὴν, τῇ καρτερικῇ ἑαυτῶν ἐνστάσει οἱά τινι εὐωδίᾳ ἐπαλείφοντες τούτους· ὥσπερ ἀμέλει καὶ *τοῖς ἀπολλυμένοις* ἐκ τεθνηκυίας ζωῆς, κατὰ τὸν τῆς εἰδωλομανίας, φημὶ, θάνατον μεταστοιχειωθείσης τῆς ἐμπαθοῦς τῷ ὄντι ζωῆς· οὓς ἡ κατὰ Χριστὸν ἀμώμητος εὐωδιάζειν οἶδε βιοτή· ὥστε καὶ τούτους μετὰ τοῦ αὐτοῦ Παύλου ἐνωραΐζεσθαι, φάσκοντας· *Ζῶ δὲ, οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός* (β). Οὕτω μὲν οὖν ἡ κατὰ τὸν ἄῤῥενα λίβανον θεωρία. Ἔστι δὲ *χαλκολίβανον*, ὡς ἤδη τεθεώρηται (1), καὶ τὴν ἐνανθρώπησιν τοῦ Κυρίου νοεῖν, ἤγουν τοῦ προαιωνίου λόγου τοῦ Θεοῦ ἐπ' ἐσχάτων τῶν χρόνων, οἷά τισι ποσὶ τῷ τεθεωμένῳ χρωμένην ἀνθρώπῳ· ὧν δύο φύσεων, θεότητός τε καὶ ἀνθρωπότητος, τὴν ἀσύγχυτον ἕνωσιν νοῦς ἀνθρώπινος εὐσεβεῖν ἐγνωκὼς, ἀνέπαφον οἶδε διατηρεῖν, ὡς ὑπερανεστηκυίας θνητῆς καταλήψεως ἔρευναν. *Οἶδά σου τὰ ἔργα.*] Ἔργα, μόνα τὰ τῷ θεῷ ἀνακείμενα λάμβανε. Τὸ δὲ *εἰδέναι* ἐνταῦθα, τὴν οἰκείωσιν σημαίνει, ὡσπερεὶ ἔλεγεν· Οἰκείως κατὰ πάντα παρ' ἐμοὶ διαγίνῃ. Οὕτω καὶ πρὸς Μωϋσῆν ἠνίκα λέγει· *Οἶδά σε παρὰ πάντας* (γ)· καὶ· *Οἶδε Κύριος τοὺς ὄντας αὐτοῦ* (δ)· οὐκ ἄλλο οὐδὲν, ἢ τὴν οἰκείωσιν παριστᾷν βούλεται· οἱονεί· Οἰκείως διάκειμαι πρὸς τοὺς ἐμοὶ τὰς ἑαυτῶν ἀνατιθέντας σπουδάς. *Ἀγάπην* δὲ, τὴν πρὸς τὰ θεῖα πεποίθησιν· ὡσαύτως καὶ τὴν *πίστιν*· ἡ γὰρ εἰλικρινὴς ἀγάπη τῷ διαλλήλῳ κρατύνεται κατορθώματι. *Διακονίαν* δὲ, τὴν πρὸς τοὺς δεομένους ἐπικουρίαν φησὶ, καὶ *ὑπομονὴν*, τὴν καρτερίαν, τὴν πρὸς

(α) Β' Κορ. Β', 15. (β) Γαλ. Β', 20. (1) Ἀποκ. Α', 15.
(γ) Ἔξοδ. ΑΓ', 17. (δ) Β' Τιμ. Β', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς πειρασμούς. *Τὰ ἔσχατα πλείονα τῶν πρώτων.*] Τὰ ἔσχατα πλείονα τῶν πρώτων εἰπὼν, ἐνέφηνεν, ὅτι προϊόντες τὴν ἐπὶ τὸ βέλτιον ἐπίδοσιν, διὰ τῆς ἐργασίας τῶν θείων ἐντολῶν ἀτρύτῳ πόνῳ κοπιῶσιν.

20 Ἀλλ' ἔχω κατὰ σοῦ (1), ὅτι ἀφίης (2) τὴν γυναῖκά σου Ἰεζάβελ, ἡ λέγει ἑαυτὴν προφῆτιν, διδάσκειν καὶ πλανᾶν (3) τοὺς ἐμοὺς δούλους, πορνεύ-
21 σαι καὶ φαγεῖν εἰδωλόθυτα. Καὶ ἔδωκα αὐτῇ χρόνον, ἵνα μετανοήσῃ, καὶ οὐ θέλει μετανοῆσαι ἐκ τῆς
22 πορνείας αὐτῆς. Ἰδοὺ, βάλλω αὐτὴν εἰς κλίνην, καὶ τοὺς μοιχεύοντας μετ' αὐτῆς εἰς θλῖψιν μεγάλην, ἐὰν μὴ μετανοήσωσιν ἐκ τῶν ἔργων αὐτῆς·
23 καὶ τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ, καὶ γνώσονται πᾶσαι αἱ ἐκκλησίαι, ὅτι ἐγώ εἰμι ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας· καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν.

Εἰ διὰ τὴν πίστιν, φησὶ, καὶ τὴν περὶ τοὺς δεομένους χορηγίαν, τὸ εὐλαβὲς ὑμῶν καὶ ὑπομονητικὸν ἀποδέχομαι, ἀλλ' οὖν δικαίως ὑμῖν ἐπιμέμφομαι, ὅτι τὴν τῶν Νικολαϊτῶν αἵρεσιν ἐᾶτε ἀκμάζειν ἐν μέσῳ ὑμῶν. Λέγει δὲ τροπικῶς ταύτην διὰ τοῦ τῆς Ἰεζάβελ ὀνόματος, τῆς τῷ Ἀχαὰβ συνοικησάσης, ταύτῃ παραβάλλων καὶ τοὺς ἀπὸ Νικολάου διὰ τὴν ἀσέλγειαν καὶ ἀσέβειαν. Ἐπιμέμφεται οὖν αὐτοῖς, ὅτι οὐ διώκουσιν αὐτὴν, τουτέστιν, οὐκ ἀπωθοῦνται αὐτὴν, ἀναιδῶς βλασφημοῦσαν καταισχύνοντες, ἀλλ' ἀνέχονται κοινωνεῖν αὐτοῖς τοῦ ὀνόματος τῶν χριστιανῶν· ὑφ' οὗ λανθανόντως τοῖς ἁπλουστέροις τῶν δούλων μου, φησὶ, παρέχει σκάνδαλον, οὐχ ὅπως πορνείας, ἀλλ' ἤδη καὶ μιαροφαγίας· *πορνείαν* ἢ τὴν αἰσθητὴν λέγων, ἢ τὴν ἀπὸ θεοῦ ἔκκλισιν, καθὸ καὶ εἴρηται τό· *Ἐπόρνευσαν*

(1) Παρ' ἄλλοις, κατὰ σοῦ ὀλίγα.
(2) Παρ' ἄλλοις, ἀφεῖς, ἢ, ἐᾷς.
(3) Παρ' ἄλλοις, καὶ διδάσκει καὶ πλανᾷ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν (α)· καὶ τό· Ἐμοιχῶντο ἐν τῷ ξύλῳ (β). Διὰ δὲ τῆς τῶν εἰδωλοθύτων ἐδωδῆς ἔοικε καὶ τὰς ἄλλας διαιρέσεις συντάττειν, αἳ καὶ αὐταὶ τοῖς εὐσεβοῦσιν ἐπιφύονται, ὃν δή τινα τρόπον ἐνῆν. Οἱ γὰρ Νικολαΐται, εἰδωλόθυτα μὲν ἐσθίειν οὐ προὐβάλλοντο, ἕτερα δὲ ὅμως εἶχον, ἃ καὶ διανοηθῆναι τῆς τελειωτάτης ἀκαθαρσίας καὶ μιαρίας ἐστί. Τίνα δὲ ταῦτα, πολλάκις ἡμῖν εἴρηται τὴν τῶν Παναρίων βίβλον παριστᾶν. Καὶ οὐ τοῦτο μόνον τὸ βδελυρὸν τῇ τῶν Νικολαϊτῶν αἱρέσει παρομαρτεῖ, ἀλλὰ καὶ προφῆτις εἶναι ὑποκρίνεται, πονηρῷ πνεύματι ἐνεργουμένη, καὶ τὸ θεῖον δῶρον εἰς ματαιότητα παραβάλλουσα, ἵνα καὶ Μωϋσέως ἀφειδοῦσα ἀλῷ, *Οὐ λήψῃ*, διαῤῥήδην βοῶντος, *τὸ ὄνομα Κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ* (γ), καὶ τοῦ μακαρισμοῦ τοῦ θεοπάτορος ἀλλοτριουμένη εὑρεθῇ, *τῆς μὲν ἐλπίδος τοῦ θεοῦ ἀστοχοῦσα, ἐπὶ ματαιότητας δὲ καὶ μανίας ψευδεῖς ἐμφυλοχωροῦσα* (δ). *Καὶ πλανᾷ τοὺς ἐμοὺς δούλους.*] Τοὺς ἁπλότητι τρόπου βεβιωκότας, πλάνῃ ἕλκουσαν εἰς πορνείαν καὶ βρῶσιν ἀπηγορευμένων. *Καὶ ἔδωκα αὐτῇ.*] Ἐγὼ, φησὶν, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν ἐπιστροφὴν ζητῶν (ε), δέδωκα αὐτῇ μετανοίας καιρὸν, τὴν τιμωρίαν τέως ὑπερτιθέμενος· ἡ δὲ τῇ ἀνοχῇ κατεχρήσατο εἰς ἀμέλειαν, ἐνευκαιροῦσα τῷ ὀλέθρῳ αὐτῆς, ἀλλ' οὐ τῆς σωτηρίας ἑαυτῆς ἀπριξ ἐχομένη. *Καὶ οὐ θέλει μετανοῆσαι.*] Τοῦτο γὰρ ἅτε θεὸς ἐπίσταται· διὸ καὶ εἴρηται· *Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ θεὸς* (ζ). Ἐπεὶ οὖν τῇ δεδομένῃ αὐτῇ πρὸς μετάνοιαν ἀνέσει οὐκ ἐχρήσατο, *Ἰδοὺ, βάλλω αὐτὴν εἰς κλίνην*· ἀντὶ τοῦ, εἰς ἀῤῥωστίαν. Οἶδε γὰρ τὴν *κλίνην* ἡ Γραφὴ ἐπὶ τῆς ἀῤῥωστίας λαμβάνειν, ὡς ὅταν λέγῃ· *Ὅλην τὴν κλίνην αὐτοῦ ἔστρεψας ἐν*

(α) Ψαλμ. ΡΕ', 39. (β) Ιερ. Γ'. (γ) Ἔξοδ. Κ', 7.
(δ) Ψαλμ. ΛΘ', 5. (ε) Ιεζ. ΙΗ', 23. (ζ) Ψαλμ. Ζ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῇ ἀρρωστίᾳ αὐτοῦ (α). *κλίνην* τὴν νόσον φάσκουσα, μεταβεβλῆσθαι ἐπὶ τὸ βέλτιον, ἤγουν, εἰς ὑγείαν. Αὐτὴν μὲν οὖν οὕτω κακώπω· *τοὺς δὲ μοιχεύοντας μετ' αὐτῆς*, τουτέστι, τοὺς συνεργοὺς καὶ συγκροτοῦντας αὐτῇ τὰ βδελυρὰ καὶ βορβορώδη δόγματα, διὰ συμφορῶν θλίψω· *τὰ τέκνα* δὲ αὐτῆς, (*τέκνα* τοὺς διαδόχους τῆς τοιαύτης ὀνομάζων βδελυρίας), θανάτῳ, φησί, μετελεύσομαι. Κἀκείνους μὲν οὕτως· ὑμῖν δὲ, οἷς οὐδὲν κοινὸν πρὸς τὴν μοιχαλίδα, ἁπλουστέροις τε οὖσι, καὶ διὰ τρόπων ἁπλότητα ἐν ἀκακίᾳ πορεύεσθαι καρδίας ἐν μέσῳ τοῦ οἴκου ὑμῶν προηρημένοις (β), ἐπείπερ οὐκ ἔστιν ἰσχὺς πρὸς τοὺς οὕτω πονηροὺς καὶ εὑρεσιλόγους τῇ πανουργίᾳ τῶν λόγων ἀντικαθίστασθαι, ἅτε καὶ τὰ βάθη τοῦ πονηροῦ καὶ τὰς μεθοδείας αὐτοῦ, ὡς φατὲ, μὴ ἐγνωκότες, οὐδὲν ἐπιθήσω βάρος, φησί· (*βάρος* δὲ, τὴν διὰ τῶν λόγων μάχην φησίν). Ἀρκεῖ, φησὶν, ἐμοὶ τὸ διὰ τῶν ἔργων δοκίμιον ἐκ φυλακῆς τῶν ἐξ ἀρχῆς παραδεδομένων ὑμῖν ἀκριβῶς κατορθούμενον. *Ἐὰν μὴ μετανοήσωσιν.*] Καὶ ἐν τῇ ἀπειλῇ χρηστότης ἐνθεωρεῖται. Οὐ γὰρ ἐπάγει ἀμελλητὶ τὴν ἀξίαν τιμωρίαν, ἀλλὰ μετεωρίζει τὴν ἐπαγωγὴν μορμολυκείῳ, ὥσπερ ἐπισπάσασθαι τὴν μετάνοιαν κατεπείγων. *Καὶ γνώσονται πᾶσαι αἱ ἐκκλησίαι*] Διὰ τὸ κυρίως τοὺς αἱρεσιώτας τὰ βδελυρὰ πράττειν, τὰ δηλονότι λανθάνοντα τοὺς πολλούς· (λανθάνει δὲ τοὺς πιστοὺς, ὑπὸ τῇ χριστιανῶν κλήσει ἐναφανιζομένων ἐκείνων) ἐγὼ φωράσας, γνῶσιν ταῖς ἐκκλησίαις παρασχῶ πάσαις, ὅτι οὗτος ἐκεῖνος εἰμὶ, ὁ νεφροὺς ἐρευνῶν καὶ καρδίας (γ)· περὶ οὗ καὶ Ἱερεμίας φησί· *Εἰ κρυβήσεται ἄνθρωπος ἐν κρυφαίοις, καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν; Μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος* (δ); Ἐπεὶ τοίνυν ταῦτα οὕτως ἔχει, κατάλληλον ἑκάστῳ τῆς οἰκείας φιλοπονηρίας καὶ τὸν μισθὸν ἐπιβραβεύσω.

(α) Ψαλμ. Μ', 4.
(β) Ψαλμ. Ρ', 2.
(γ) Ψαλμ. Ζ', 10.
(δ) Ἱερ. ΚΓ', 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

24 Ὑμῖν δὲ λέγω τοῖς λοιποῖς (1), τοῖς ἐν Θυατείροις,
ὅσοι οὐκ ἔχουσι τὴν διδαχὴν ταύτην, οἵτινες οὐκ
ἔγνωσαν τὰ βαθέα τοῦ σατανᾶ, (ὡς λέγουσιν)·
25 Οὐ βάλλω ἐφ' ὑμᾶς ἄλλο βάρος· πλὴν ὃ ἔχετε, κρα-
26 τήσατε ἄχρις οὗ ἂν ἥξω (2). Καὶ ὁ νικῶν, καὶ ὁ
τηρῶν ἄχρι τέλους τὰ ἔργα μου, δώσω αὐτῷ ἐ-
27 ξουσίαν ἐπὶ τῶν ἐθνῶν· καὶ ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· ὡς τὰ σκεύη τὰ κεραμικὰ συντριβήσεται
28 (3), ὡς κἀγὼ εἴληφα παρὰ τοῦ πατρός μου· καὶ
29 δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν. Ὁ ἔχων οὖς, ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Ἐπαγγειλάμενος, ἕκαστον τοῦ οἰκείου κόπου ἀξίας τυγχάνειν τῆς ἀντιδόσεως, ἐπιφέρει λοιπὸν καὶ πρὸς ἃ τὴν ἐργασίαν ἀπασχολῶν τοῦ κατ' ἀξίαν τεύξεται. Τοῖς οὖν οὐκ ἔχουσι τὴν πλάνον διδαχὴν τῶν αἱρετιζόντων, τούτους ἀποδεχόμενος, φησίν, ἀρκεσθήσομαι τῇ ἀλυμάντῳ διατηρήσει τοῦ οὗ ἔλαβον ἁπλοϊκοῦ, ἀφ' οὗ καὶ τὰ βάθη ἀγνοεῖν τὰ τοῦ σατανᾶ περίεστιν αὐτοῖς, ὡς λέγουσι. *Βάρος* δὲ λέγει τὸ ἀπὸ τῆς λογομαχίας ἐπεισαγόμενον τοῖς λογομαχοῦσιν ὀχληρόν· *δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι* (α). Εἶτα τοῖς αἰσχροποιοῖς ἐπαπειλήσας τὰ ἄξια, πρὸς τοὺς ἁπλούστερον ἐπανηρημένους βιοῦν μεταφέρει τὸν λόγον, οὐδὲν ἄλλο ἀπαιτῶν ἀπ' αὐτῶν, ἢ τὴν εὐσεβῆ τῆς πίστεως παρακαταθήκην ἀλύμαντον διαφυλάττειν ἄχρι τῆς αὐτοῦ παρουσίας. *Παρουσίαν* δὲ λέγει ἢ τὴν τελευταίαν, ὅτε τὴν πάντων κρίσιν κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν ποιήσει, ἢ τὴν ἑκάστου ἀποβίωσιν, ὅτε πρὸς αὐτὸν ἀπιόντες, ἅτε τὴν πολυάσχολον ταύτην ἀπολείποντες ζωὴν, ἐν ἀσφαλεῖ ἐσόμεθα καταστάσει, τὴν ἐλπίδα τῶν βεβιωμένων ἀπαραλόγιστον ἔχοντες· ᾧ καὶ μᾶλλον στοιχεῖν οὐκ ἀδόκιμον. *Καὶ ὁ νικῶν,*

(1) Παρ' ἄλλοις, καὶ λοιποῖς.
(2) Παρ' ἄλλοις, ἄχρις οὗ ἀνοίξω.
(3) Παρ' ἄλλοις, συντρίβεται. (α) Β' Τιμ. Β', 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ὁ τηρῶν.] Τοῖς μὲν δὶ ἁπλότητα ἀπομάχοις ἡ τήρησις τῶν ἐντολῶν ἀρκέσει πρὸς εὐαρέστησιν ἐμοί· τῷ δὲ ἐκ μάχης καὶ πάλης τὸ ἀριστεῖον ἐπιφερομένῳ, πρὸς θρίαμβον τῆς νίκης *δώσω*, φησὶν, *ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν*, ἤτοι καθὼς ἐν εὐαγγελίοις ὁ Κύριος τῷ καλῶς οἰκονομήσαντι τὰς μνᾶς καὶ τὰ τάλαντα, Ἴσο, φησὶν, ἐπὶ δέκα πόλεις, καὶ ἑτέρῳ, ἐπὶ πέντε πόλεις (α). Ἀρχὴν γάρ τινα καὶ ἐξουσίαν ταῦτα δηλοῖ, δοθησομένην τοῖς ἁγίοις κατὰ ὑποδεεστέρων καὶ τοῦ διευθύνεσθαι χρῃζόντων· διὸ καὶ γέγραπται τό· *Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου* (β)· αἰνίττεσθαι γὰρ ἔοικε διὰ τῆς *ῥάβδου τῆς εὐθύτητος* τὸ ῥητὸν, ὡς οὐ κολαστικὴν εἰσηγεῖται παιδείαν, ἀλλ' ἐπανορθωτικήν. *Τὴν δὲ σιδηρᾶν ῥάβδον* οὐδεὶς δι' ἄλλο τι δίδοσθαι φησὶν, εἰ μὴ διὰ τὴν κατὰ συντριβὴν τιμωρίαν τῶν τῇ ἀπειθείᾳ ἐνεσκευασμένων, καὶ πρὸς *κεραμικὰ σκεύη* ἀφωμοιωμένων (γ)· ὥσπερ καὶ ἡ τῆς δυνάμεως ῥάβδος οὐκ ἄλλου τινὸς χάριν ἐξαποστελλομένη ἐκ Σιὼν, εἰμὴ ἕνεκεν τῆς τῶν ἐχθρῶν κατακυριεύσεως (δ). Καὶ ἐπειδὴ παντὶ τῷ νικῶντι ἡ σιδηρᾶ ῥάβδος ἐπαγγέλλεται δοθῆναι, ἦσαν δὲ οὗτοι οἱ ἀπὸ τῶν ἐθνῶν προσπορίσαντες ἑαυτοὺς δι' εὐπειθείας Χριστῷ, οὗτοι καὶ κριταὶ ἔσονται τῶν ἀπίστων· ἐπεὶ καὶ τοὺς Νινευΐτας *εἰς κρίσιν*, ἤγουν, κατάκρισιν τῆς πονηρᾶς, φησὶν ὁ Κύριος, ἀνίστασθαι γενεᾶς (ε). Τὸ δὲ *εἰληφέναι* καὶ αὐτὸν παρὰ τοῦ πατρὸς τὴν ῥάβδον, διὰ τὴν τῆς σαρκὸς πρόσληψιν περιεισέδυ, ἀλλὰ καὶ διὰ ταπεινώσεως ἔμφασιν. Εἰ δὲ καὶ ἐπὶ τῆς θείας φύσεως τοῦτό τις θέλει λογίσασθαι, οὐδὲν πρᾶγμα, τῇ δόσει καὶ λήψει τοῦ τῶν ὑποστάσεων πατρὸς καὶ υἱοῦ ἰδικοῦ ἐμφανιζομένου. *Ἄχρι τέλους.*] Ἄχρι τέλους τῆς ἑαυτοῦ ζωῆς· ἐξ οὗ καὶ δῆλον, ὡς

(α) Λουκ. ΙΘ', 17. 19. Ματθ. ΚΔ', 21—23. (β) Ψαλμ. ΜΔ', 7.
(γ) Ψαλμ. Β', 9. (δ) Ψαλμ. ΡΘ', 2. (ε) Ματθ. ΙΒ', 41.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ παρουσία αὐτοῦ, οὐχ ἡ ἐσχάτη, ἀλλ' ἡ ἑκάστου ἡμῶν πρὸς αὐτὸν τέως ἐστίν. *Ὡς τὰ σκεύη τὰ κεραμικὰ συντριβήσεται.*] Οὐ παραβολῆς ἐνταῦθα ἡ ὁμοιώσεως χάριν εἴωθε τὸ, ὡς, παρειλῆφθαι, ἀλλ' αἰτιατικῶς, ἀντὶ τοῦ, *Ἵνα*. Διὰ τοῦτό, φησι, ῥάβδος δίδοται σιδηρᾶ, *ἵνα* τὰ κεραμικὰ συντριβήσεται σκεύη. Εἰ δὲ καὶ ἀνελλήνιστος ἡ σύνταξις· (οὐδέ ποτε γὰρ ὁριστικὸν ῥῆμα ὑποτακτικῇ λέξει συντέτακται·) οὐδὲν μελήσει τοῖς διανοίᾳ μόνῃ, ἀλλ' οὐχὶ λέξεως ἀκριβείᾳ τὴν σωτηρίαν ποριζουσιν. *Τὸν ἀστέρα τὸν πρωϊνόν.*] *Ἀστέρα πρωϊνόν* φησιν ὁ προφήτης Ἡσαΐας περὶ τοῦ Ἀσσυρίου, ἤτοι τοῦ σατανᾶ (α), ὃν καὶ ὁ Χριστὸς ἐκ τοῦ οὐρανοῦ τεθεᾶσθαι ὡς ἀστραπὴν πεσόντα, καὶ δεδόσθαι εἰς καταπάτημα τοῖς ἁγίοις ἀπήγγειλεν (β)· ὃν καὶ Παῦλός φησιν, ὅτι συντρίψειν ὁ θεὸς ὑπὸ τοὺς πόδας τῶν μαθητῶν αὐτοῦ ἔρχεται (γ)· καὶ Δαυὶδ, ἐπιῤῥωνύων τὸν κατὰ θεὸν τὸν ὕψιστον παριόντα, *Ἐπὶ ἀσπίδα*, φησὶ, *καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα* (δ). Ἡ οὖν ἀστέρα τοῦτον διδόναι ἡ θεοκλητία ἐπαγγέλλεται, ἢ τὸν ὑπὸ τοῦ Πέτρου λεχθέντα, *φωσφόρον ἐν ταῖς καρδίαις τῶν πιστῶν ἀνατέλλοντα* (ε), τὸ τοῦ Χριστοῦ δηλαδὴ φῶς. *Ἀστὴρ* δὲ, τῆς τοῦ ἡλίου Χριστοῦ παρουσίας προανατείλας, καὶ ὁ βαπτιστὴς Ἰωάννης, καὶ ὁ Θεσβίτης Ἠλίας, τῆς δευτέρας παρουσίας Χριστοῦ προάγγελος· μεθ' ὧν ἔξειν τὸ μέρος τοὺς νικητὰς τοῦ διαβόλου πιστεύομεν. Οὐ θαυμαστὸν δὲ, εἰ ἐπὶ τῶν ἄγαν ἀλλήλοις ἀντικειμένων τὸ αὐτὸ ἐξειλήφαμεν· ἐπεὶ καὶ λέων ἐκ βλαστοῦ τοῦ Ἰούδα ἀναθορὼν ὁ Χριστὸς (ζ), καὶ ἐκ Βασὰν δὲ λέων (η) ὁ Ἀντίχριστος κατὰ τὴν θείαν Γραφὴν ἀφορμώμενος, ἑκατέρου πρὸς τὸ ὑποκείμενον ἁρμοζομένου. Νοεῖται δὲ καὶ ἡ τοῦ μέλλοντος αἰῶνος ἀνατολή· (τὸ γὰρ σκότος τοῦ πα-

(α) Ἡσ. ΙΔ', 9. (β) Λουκ. Ι, 18. (γ) Ῥωμ. Ις', 20.
(δ) Ψαλμ. ϟ', 13. (ε) Β' Πετρ. Α', 19.
(ζ) Ἀποκ. Ε, 5. Γεν. ΜΘ', 9. (η) Δευτ. ΛΓ', 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρόντος θίου, εἰ καὶ φῶς γνωρίζεται, καλυφθήσεται, τοῦ τῆς δικαιοσύνης ἡλίου ἐπιφαινομένου τοῖς ἁγίοις, καὶ τὴν ἀχλὺν ταύτης διασκεδάζοντος·) καὶ ὁ ταύτην εὐαγγελιζόμενος ἄγγελος· προπορεύεται γὰρ αὐτῆς.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τὰ ἀπεσταλμένα τῷ ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας.

ΚΕΦ. ΙΙΙ, 1 ΚΑΙ τῷ ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἔχων τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ καὶ τοὺς ἑπτὰ ἀστέρας· Οἶδά σου τὰ ἔργα, ὅτι ὄνομα ἔχεις, καὶ ζῇς (1), καὶ νεκρὸς
2 εἶ. Γίνου γρηγορῶν, καὶ στήριξον τὰ λοιπὰ, ἃ ἔμελλεν ἀποθανεῖν (2)· οὐ γὰρ εὕρηκά σου τὰ ἔρ-
3 γα πεπληρωμένα ἐνώπιον τοῦ θεοῦ μου. Μνημόνευε οὖν, πῶς εἴληφας, καὶ ἤκουσας, καὶ τήρει, καὶ μετανόησον. Ἐὰν οὖν μὴ γρηγορήσῃς, ἥξω ἐπὶ σὲ ὡς κλέπτης, καὶ οὐ μὴ γνῷς, ποίαν ὥραν ἥξω ἐπὶ σέ.

Ὁ ἔχων τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ, καὶ τοὺς ἑπτὰ ἀστέρας.] *Ἑπτὰ ἀστέρας*, θείους ἀγγέλους, ὡς προέφημεν· καὶ *ἑπτὰ δὲ πνεύματα*, ἢ τοὺς αὐτοὺς νοοῦμεν, κατὰ τὸ εἰρημένον· *Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα* (α)· ἢ τὰς ἐνεργείας τοῦ ζωοποιοῦ πνεύματος· ἅπερ ἀμφότερα ἐν τῇ χειρὶ, ἤτοι ἐν τῇ ἐξουσίᾳ τοῦ Χριστοῦ ἐστι· τῶν μὲν γὰρ, δεσποτικῶς κρατεῖ· τοῦ δέ ἐστι χορηγὸς, ὡς ὁμοούσιος, καθὸ καὶ εἴρηκεν· *Ἄλλον παράκλητον πέμψω ὑμῖν παρὰ τοῦ πατρός* (β). Οὐδὲν

(1) Παρ' ἄλλοις, ὅτι ζῇς.
(2) Παρ' ἄλλοις, ἃ μέλλει ἀποθανεῖν· ἃ ἔμελλες ἀποθάλλειν.
(α) Ψαλμ. ΡΓ', 4. (β) Ἰωαν, ΙΔ', 26. ΙΕ', 26.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ τῆς μακαρίας καὶ ὑπερουσίου Τριάδος ἐξιδιαζόμενον ὁρᾶται, πλὴν τῆς ἰδιοποιοῦσης ἐν αὐτῇ τῶν προσώπων ὑπάρξεως. *Οἶδά σου τὰ ἔργα.*] Ἐνταῦθα τὸ, *οἶδα*, τὴν ἁπλῶς γνῶσιν, οὐ τὴν κατοικείωσιν σημαίνειν βούλεται. Διὸ καὶ ἐπιπλήττει τῇ ἐκκλησίᾳ, ὡς ψιλὸν ὄνομα ζωῆς ἐχούσῃ τῆς πίστεως, νενεκρωμένῃ δὲ οὔσῃ ἐξ ἀγαθῶν πράξεων. Ὡς γὰρ ζωὴν οἶδε καλεῖν ἡ Γραφὴ τὸν ἐνάρετον βίον, τὴν κατὰ θεὸν, λέγω, ζωὴν, καθ' ὃ καὶ εἴρηται· *Ὅτι τὸ λήγιόν σου ἔζησέ με* (α), τουτέστιν, ἐπέστησέ με τρίβοις τῷ ὄντι ζωῆς· οὕτω καὶ *θάνατον*, τὸν πλημμελῆ βίον, ὡς δηλοῖ Παῦλος ὁ θεῖος περὶ τῶν ἐξ ἀπιστίας εἰς τὴν Χριστοῦ πίστιν μεταβεβηκότων, οὕτω γράφων αὐτοῖς· *Καὶ νεκροὺς ὄντας ὑμᾶς τοῖς παραπτώμασι τῷ Χριστῷ* (β). Καὶ ἐν τῷ τοῦ Ποιμένος βιβλίῳ οὕτω διαγορεύεται, καταβεβηκέναι τινὰς εἰς τὸ ὕδωρ, τῆς κολυμβήθρας δηλονότι, νεκροὺς, καὶ ἀναβεβηκέναι ζῶντας (γ). *Γίνου γρηγορῶν, καὶ στήριξον τὰ λοιπὰ, ἃ ἔμελλεν ἀποθανεῖν.*] Τὸν ὕπνον τῆς ῥᾳθυμίας ἀποτιναξάμενος, καὶ τὰ μέλη σου, τὰ ἀποθνήσκειν τελέως μέλλοντα δι' ἀπιστίαν, στήριξον. Οὐ γὰρ ἡ ἀρχὴ τῶν ἀγαθῶν ἔργων τὸν ἐργάτην στεφανοῖ, ἀλλ' ἡ ἐπιμονὴ ἄχρι τέλους. Τὸ δὲ, *στήριξον*, οὐχ ἁπλῶς εἴρηται, ἀλλὰ τὰ οἱονεὶ Στερρὸποίησον καὶ ἐνδυνάμωσον, χαλαρά τε ὄντα καὶ πρὸς πτῶσιν ἑτοιμότατα. Ἐφ' ὅσον οὖν περιλείπεταί σοι βραχέα ἐπιτηδεύματα, πρόσχες, φησὶν, ἵνα μὴ τέλεον ἐπισπάσῃς θάνατον. Ταῦτα γοῦν φύλαξον, τὰ ἤδη ζῶντα· ἐκεῖνα δὲ στήριξον, τὰ πρὸς θάνατον ἤδη ῥέποντα· οὐδὲν γάρ σου τῶν σπουδασμάτων πλῆρές ἐστιν· ἀλλὰ τὰ μὲν τέθνηκεν ἤδη, τὰ δὲ, μέλλει. Τὸ δὲ, *ἐνώπιον τοῦ θεοῦ μου*, ὡς πολλάκις εἴρηται, ὡς ἀπὸ τῆς ἀνθρωπίνης προσλήψεως τῷ υἱῷ τοῦ θεοῦ συγκαταβατικώτερον προήνεκται. *Μνημόνευε πῶς εἴληφας.*] Τὴν παράδοσίν, φησιν, ἣν ἐκ τῶν

(α) Ψαλμ. ΡΙΗ', 50.
(β) Ἐφεσ. Β', 1.
(γ) Ποιμ. βιβλ. Γ'. θ'. ις'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀποστόλων εἴληφας, τήρησον, καὶ ἐπὶ τῇ ῥᾳθυμίᾳ σου μετανόησον· καὶ τὰ μὲν ἔτι σου ζῶντα ἔργα, τήρησον ἐν τῇ ζωῇ· ἐπὶ δὲ τοῖς τεθνεῶσι, διὰ μετανοίας τὴν παλινζωΐαν αὐτοῖς περιποίησον. *Μετάνοιαν δέ*, τὴν μετάθεσίν φησιν ἀπὸ τῶν χειρόνων καὶ ἐπὶ τὸ βέλτιον μεταβολήν. *Καὶ οὐ μὴ γνῷς ποίαν ὥραν ἥξω ἐπὶ σέ.*] Ἄγνωστος γὰρ ὁ καιρός. Καὶ ὥσπερ ἡμῶν ἑκάστῳ ὁ τοῦ θανάτου ἑκάστου ἡμῶν καιρὸς ἄγνωστος, οὕτω πολλῷ μᾶλλον ὁ τῆς δευτέρας παρουσίας τοῦ Κυρίου.

4 Ἀλλ' ὀλίγα ἔχεις ὀνόματα ἐν Σάρδεσιν, ἃ οὐκ ἐμόλυναν τὰ ἱμάτια αὐτῶν, καὶ περιπατήσουσι μετ' ἐμοῦ
5 ἐν λευκοῖς· ὅτι ἄξιοί εἰσιν. Ὁ νικῶν, οὗτος περιβαλεῖται ἐν ἱματίοις λευκοῖς· καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς ζωῆς, καὶ ὁμολογήσω τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ πατρός μου, καὶ
6 ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ. Ὁ ἔχων οὖς, ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Ἀλλ' *ὀλίγα ἔχεις ὀνόματα.*] Ἐπισημαντέον τὴν χρῆσιν τοῦ *ὀνόματος*, ὡς ἀνελλήνιστον, καὶ τῆς ἀδοκίμου χρήσεως καὶ κιβδήλου. Ἤρκει γὰρ εἰπεῖν, *ὀλίγους ἔχεις*, ἀλλ' οὐκ, *ὀλίγα ὀνόματα*. Κἂν γὰρ ἡ ἰδιότης τῆς ὑποστάσεως ἑκάστου ἀφωρίζηται διὰ τοῦ κυρίου ὀνόματος, ἀλλ' οὖν ἡ ἔγκριτος γλῶσσα τῆς ἑλλάδος φωνῆς, εἰς ἀριθμὸν οὐκ οἶδε παραλαμβάνειν τὰ καθ' ἕκαστον εἰς γνῶσιν ἀριθμοῦ, ἀλλὰ τὰ ἰδικώτατα· *πολλοὺς* γὰρ ἢ *ὀλίγους*, ἢ *δύο* ἢ *τρεῖς* φησὶν ἀνθρώπους, ἀλλ' οὐ *δύο* ἢ *τρία ὀνόματα*· ὡς τοῦ μὲν, τοῦ ἰδιωτάτου τῆς φύσεως ὄντος σημαντικοῦ, ἥτις διαμένειν πέφυκε· τοῦ καθ' ἕκαστα δὲ, τῆς διαδοχῆς, ἥτις φθίνει σχεδὸν, τῆς ὑπάρξεως ἀφανιζομένης. *Ἃ οὐκ ἐμόλυναν.*] Τοῦτο καλὸν κέκτησαί, φησιν, ἔχουσά τινας τοῦτο τὸ ἱμάτιον τῆς σαρκὸς ῥυπαραῖς πράξεσι μὴ μολύναντας, οἳ μετ' ἐμοῦ ἐν τῇ παλιγγενεσίᾳ λαμπροφορήσουσι. Τούτοις δὲ καὶ τέως δυσωπούμενος, ἀναβάλλομαι καὶ μακροθυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μῶ εἰς ὑμᾶς. *Ἱμάτια δὲ μὴ μολυνθέντα*, τὰ σώματα λέγει τῶν ἁγίων, ὡς καὶ Ἰακὼβ ὁ πατριάρχης περὶ τοῦ ἐξ Ἰούδα βλαστήσαντος, ὅς ἐστιν Ἰησοῦς Χριστὸς, θεσπίζει· *Ὅτι πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ* (α), τὸ σῶμα αὐτοῦ τοῦ Κυρίου λέγων, ὃ ἐν τῷ ἀχράντῳ αὐτοῦ πάθει εἰς ὑποτύπωσιν ἡμῶν ἐκαθάρθη. *Αὐτὸς γὰρ ἁμαρτίαν οὐκ ἐποίησέ*, φησιν ὁ Ἡσαΐας· *ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἦχθη εἰς θάνατον. Αὐτὸς γὰρ ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ* (β). Τούτῳ τῷ Κυρίῳ ὡς περί τι δραματουργῶν ὁ αὐτὸς Ἡσαΐας φησί· *Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ* (γ); Καὶ περὶ μὲν τῶν ἱματίων οὕτω θεωρεῖσθαι ἄξιον, ὥστε τὸ ἀμόλυντον αὐτῶν τὴν καθαρότητα τοῦ σώματος αἰνίττεσθαι. *Ὁ νικῶν* δέ φησι. Τίνα νικῶν; Τὰ πάθη τῆς σαρκός. *Οὗτος* οὖν *περιβαλεῖται* τὰ τῶν οἰκείων ἀρετῶν ἱμάτια, ἃ ἐκάθηρεν ἐκ κόπων θεοφιλῶν, καὶ λάμψει ὡς ἥλιος ἐν τῷ μέλλοντι αἰῶνι, καὶ τὸ *ὄνομα αὐτοῦ*, ὃ ἐγράφη ἐν τῇ βίβλῳ τῶν τὴν μὴ ἐκλείπουσαν ζώντων ζωὴν, ἀνεξάλειπτον ἔσται, ὡς ὁμολογουμένου αὐτοῦ *ἐνώπιον τοῦ πατρός μου* ὑπ' ἐμοῦ. Ταύτης δὲ τῆς ἐν τῇ βίβλῳ γραφῆς, καὶ τῆς ἔμπροσθεν τοῦ πατρὸς ὁμολογίας ἡ ἐπαγγελία, ἡ αὐτὴ ἐν τοῖς θείοις εὐαγγελίοις ἀνάγραφος τηνικαῦτα, ὁπόταν τὸν ἔμπροσθεν τῶν ἀνθρώπων ὁμολογοῦντα ἀναμολογήσασθαι ἔμπροσθεν τοῦ πατρὸς ἐμπεδοῖ (δ), κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν· ὃ καὶ πᾶσι μὲν ἀπόκειται τοῖς ἁγίοις, διαφερόντως δὲ τοῖς μάρτυσιν. *Ἐνώπιον τοῦ πατρός μου, καὶ ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ.*] Τὸ, *ἐνώπιον τοῦ πατρὸς καὶ τῶν ἀγγέλων αὐτοῦ*, εἴρηται, ὡς ὄντων τῶν ἀγγέλων, πιστῶν θεραπόντων καὶ εὐνοϊκῶν. Καὶ ποτὲ μὲν, τοῦ πατρὸς, ποτὲ δὲ, ἑαυτοῦ, τοὺς ἀγγέλους καλεῖ, ὡς ὅταν λέγῃ· *Ἀποστελεῖ*

(α) Γεν. ΜΘ', 11. (β) Ησ. ΝΓ', 8, 9. (γ) Ἡσ. ΞΓ', 2.
(δ) Ματθ. ι', 32.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς ἀγγέλους αὐτοῦ ὁ υἱὸς τοῦ ἀνθρώπου μετὰ σάλπιγγος μεγάλης (α). Νῦν οὖν, λέγων τοὺς ἀγγέλους τοῦ πατρός, οὐκ ἀφαιρεῖται τὸ καὶ αὐτοῦ εἶναι τοὺς ἁγίους ἀγγέλους. Οὐδὲν γὰρ τῶν τῇ ἁγίᾳ φύσει ἐνθεωρουμένων, τινὶ τῶν τριῶν αὐτῆς ὑποστάσεων εὕροι τις ἂν ἐξιδιαζόμενον, πλὴν ἑνός, τοῦ ὑποστατικῶς αὐτῇ προσόντος.

ΚΕΦΑΛΑΙΟΝ Η'

Τὰ γραφέντα πρὸς τὸν τῆς Φιλαδελφέων ἐκκλησίας ἄγγελον.

7 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Φιλαδελφείᾳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἅγιος, ὁ ἀληθινός, ὁ ἔχων τὴν κλεῖδα τοῦ Δαυίδ· οὐδεὶς κλείσει, εἰ μὴ ὁ ἀνοίγων, καὶ οὐδεὶς ἀνοίξει, εἰ μὴ ὁ κλείων (1). Οἶδά σου τὰ ἔργα. Ἰδοὺ, δέδωκα ἐνώπιόν σου θύραν ἀνεῳγμένην, καὶ οὐδεὶς δύναται κλεῖσαι αὐτήν· ὅτι μικρὰν ἔχεις δύναμιν, καὶ ἐτήρησάς μου τὸν λόγον, καὶ οὐκ ἠρνήσω τὸ ὄνομά μου.

Τάδε λέγει ὁ ἅγιος, ὁ ἀληθινός.] Ἅγιος μέν ἐστιν ὁ ἀληθινὸς ἅγιος, ὃς καὶ υἱὸς ἐγίτοῦ θεοῦ, καὶ τῷ τρισσῷ τῶν Σεραφὶμ ἁγιαστικῷ ὕμνῳ τὸ ἀληθὲς ἀποφέρεται, ὡς καὶ ἐν τῷ θεαστικῷ Ἡσαΐᾳ κεχρημάτισαι (β), τοῦ τριττοῦ ἁγιασμοῦ εἰς μίαν συγκλειομένου κυριότητα, ἵνα καὶ τὸ τριττὸν δειχθῇ τῶν ὑποστάσεων τῆς ὑπερουσίου Τριάδος, καὶ τὸ ἀδιάσπαστον τούτων τῷ ἑνιαίῳ τῆς κυριότος. Τοῦτο δὲ τῶν πεζῇ καὶ θνητῶν φύσεων τὸ ὑπερανεστηκὸς ὅσον, τίς ἂν διὰ λόγων παρεμφαίνοιτο; Κλεὶς δὲ τοῦ Δαυὶδ, ἡ βασιλεία αὐτοῦ κέκληται· ἐξουσίας γὰρ αὕτη σύμβολον. Κλεὶς

(α) Ματθ. ΚΔ', 31.

(1) Ὁ ἀνοίγων, καὶ οὐδεὶς κλείσει αὐτὴν, εἰ μὴ ὁ ἀνοίγων, καὶ οὐδεὶς ἀνοίξει. Ἢ, ὁ ἀνοίγων, καὶ οὐδεὶς κλείει· καὶ κλείει, καὶ οὐδεὶς ἀνοίγει.

(β) Ἡσ. ς', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ πάλιν τῆς τε ψαλμικῆς βίβλου καὶ πάσης προφητείας, τὸ Πνεῦμα τὸ ἅγιον· δι' οὗ οἱ θησαυροὶ τῆς γνώσεως ἀνοίγονται. Τὴν μὲν οὖν πρώτην ἐξουσίαν κατὰ τὴν ἀνθρωπίνην δέχεται φύσιν, ὡς καὶ αὐτοῦ τοῦτο ἔστιν ἀκοῦσαι· *Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς* (α), φάσκοντος. Τὴν δὲ δευτέραν ἔχει κατὰ τὸ ἄναρχον τῆς θεότητος· ἔστι γὰρ Ἐμμανουὴλ θεὸς ἀληθὴς, κἂν μὴ βούληται τοῦτο Νεστόριος, εἰ καὶ γέγονεν ἄνθρωπος. Καὶ δή γε καὶ ἄνθρωπος ἀληθῶς, οὐ φαντάζων τὸν ἄνθρωπον, εἰ καὶ δυσχεραίνει ὁ θεοστυγὴς Εὐτυχής. Ἀλλ' ὅπερ ἐστὶν, ἀληθῶς θεός ἐστιν, οὐ κατ' ἀναφοράν, ὡς οἱ Νεστοριανοὶ ληροῦσι, καὶ ἄνθρωπος ἀληθὴς, οὐ κατὰ δόκησιν καὶ φαντασίαν, ὡς οἱ ἐμβρόντητοι Εὐτυχιανισταὶ, καὶ τὸ ἐμβρόντητον τῶν Μανιχαίων βούλεται φῦλον. Ἐπειδὴ δέ τινα τῶν ἀντιγράφων οὐ *τὴν Δαυὶδ* ἔχει *κλεῖδα*, ἀλλὰ *τοῦ ᾅδου*, οὐδὲν διάφορον οὐδὲ ἐν τούτῳ. Δείκνυται γὰρ ἐκ τούτου, ὡς ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἅτε θεὸς ὁ Χριστὸς ἀναμφιβόλως ἔχει.— *Ὁ ἔχων τὴν κλεῖδα τοῦ Δαυὶδ.*] *Κλεῖδα*, τὴν ἐξουσίαν καλεῖ· ὁ γὰρ ἔχων ἐξουσίαν τοῦ κλεῖσαι καὶ ἀνοῖξαι τὸν οἶκον, οὗτος καὶ τὸν οἶκον πεπίστευται. Καὶ τοῦτο σαφέστερον ἐν εὐαγγελίοις ἐστὶ μαθεῖν, ἀφ' ὧν πρὸς τὸν Πέτρον φησὶν ὁ Χριστός· *Καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν* (β).—*Καὶ οὐδεὶς ἀνοίξει.*] Ἐπειδὴ *ἡ κλεὶς* τὴν ἐξουσίαν αἰνίττεται, ὁ λέγων ἑαυτὸν ἔχειν τὴν κλεῖν τοῦ Δαυὶδ τί ἄλλο λέγει, εἰ μὴ ὅτι, ὥσπερ ὁ Δαυὶδ τοῦ αἰσθητοῦ Ἰσραὴλ ἐβασίλευσεν, οὕτω καὶ ἐγὼ πρὸς τῷ αἰσθητῷ καὶ τοῦ νοητοῦ; εἰ καὶ ἀσύγκριτος ἀνθρώπου ἐξουσία πρὸς θεόν. Διὸ καὶ Γαβριὴλ πρὸς τὴν παρθένον εἶπε, *τὸν θρόνον Δαυὶδ* (γ) ὡς προσκαίρου παρὰ πατρὸς τῷ υἱῷ, καίπερ αἰωνίῳ αὐτῷ καὶ ἀτελευτήτῳ, δοθῆναι· ὡσαύτως δὲ καὶ βασιλείαν καὶ ἐξουσίαν. Ἐπεὶ οὖν

(α) Ματθ. ΚΗ', 19. (β) Ματθ. Ις', 19. (γ) Λουκ. Α', 32.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁμοίωμα τῆς βασιλείας Δαυὶδ ἔφερεν ὁ Χριστὸς, εἰκότως λέγει, *Ὁ ἔχων τὴν κλεῖν τοῦ Δαυὶδ, πρὸς τὸ ἀνοῖξαι καὶ κλεῖσαι· ἀνοῖξαι μὲν, τὸ δικαιῶσαι λέγων, καὶ κλεῖσαι, τὸ κατακρῖναι· τῇ γὰρ θείᾳ αὐτοῦ καὶ ἀῖδίῳ χρώμενος ἐξουσίᾳ, καὶ δικαιοῖ καὶ κατακρίνει. Ἰδοὺ, δέδωκα ἐνώπιόν σου.*] Τῶν ἀγαθῶν ἡ θύρα ἀνεῳγμένη δίδοται, ὡς ἑτοιμοτάτη καὶ ἀπ' αὐτῆς τῆς πρὸς τὰ κρείττω ῥοπῆς παρέχειν τὴν εἴσοδον πρὸς ἀπόλαυσιν. Διὸ καὶ ὁ Κύριος φάσκων, ὅτι *ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστὶν* (α), οἱονεὶ τῇ προθέσει παρεχομένη τοῦ βουλομένου, ὑπ' οὐδενὸς ἐμποδοστατεῖν οἴεται τὴν εἴσοδον. Καὶ τούτου νῦν ἡ ἐπαγγελία λιχνεύοντος τοὺς εἰσαγομένους πρὸς τὴν ἐγχείρησιν, τῶν πόνων ὑπολογιζομένη τὸ δυσχερὲς, καὶ τὴν εἴσοδον συμμετρουμένη τοῖς μικρᾷ δυνάμει τὸ εἰσιέναι προαιρουμένοις, ἐπειδὰν τὸν ἀποσωρευθέντα τοῖς εἰσιοῦσι τῶν ἀγαθῶν ἐσμὸν τῇ ἀνεῳγμένῃ θύρᾳ ἐμφανίσῃ, μηκέτι τῇ φροντίδι λυπεῖσθαι ἐᾷ τοῦ ὑπὸ τῶν ἀπόλαυσιν καταβαλλομένων ἑλκύεσθαι πόνων, ἀμεταστρεπτὶ δὲ τῶν πόνων ἀντέχεσθαι παραινεῖ, πάσης αἱρέσεως ἡδίω τὸν διὰ ταῦτα κάματον λογιζομένοις. Καὶ ὅτι ἔγκοπος ἡ τῶν αἰωνίων ἀγαθῶν κληρονομία, τὸ ἐν εὐαγγελίοις θεῖον λόγιον ἱκανὸν παραστῆσαι, *βιαστὴ*, φάσκον, *ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν* (β). Ὅτι δὲ καὶ ὁ διὰ τοῦ κατάρξασθαι ἐγγλυκαίνων τὴν αἴσθησιν ἀφειδεῖν οἶδε τῶν πόνων, τὸ Δαυὶδ θεῖον πνεῦμα διδάσκει, *γεύσασθε*, λέγων, *καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος* (γ). Ἡ καὶ *θύρα ἀνεῳγμένη* νοεῖται, ἡ τοῦ διδασκαλικοῦ κηρύγματος εἴσοδος· ἥτις ἀνοιχθεῖσα, οὐ δύναται διὰ πειρασμῶν κλεισθῆναι, νικώσης τῆς προθυμίας τῶν εἰσιέναι ἑλομένων, διὰ τὸ κάλλιστον τῶν ἐναποκειμένων, τὸ τῶν πειρασμῶν ἐπίπονον. Ἐν οἷς, φησὶν, εἰ καί σοι σύμμετρος ἡ δύναμις, ἀλλ' οὖν παρ' ἐμοῦ ἡ ἀνεῳγμένη

(α) Λουκ. ΙΖ', 21. (β) Ματθ. ΙΑ, 12. (γ) Ψαλμ. ΛΓ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δίδοταί σοι θύρα· αὐτὸς δὲ καὶ ὑπὲρ δύναμιν τὴν ὑποῦσάν σοι ἐκαρτέρησας διὰ τὸ ὄνομά μου. Οὔκουν τῇ μικρᾷ δυνάμει σου παραμετρήσω τὴν ἀμοιβήν, ἀλλὰ μεγαλοδωρίᾳ, ὡς ἔθος ἐμοί, μετελεύσομαι τὴν ἀντίδοσιν.

9 Ἰδοὺ, δίδωμι ἐκ τῆς συναγωγῆς τοῦ σατανᾶ τῶν λεγόντων ἑαυτοὺς Ἰουδαίους εἶναι, καὶ οὐκ εἰσὶν, ἀλλὰ ψεύδονται· ἰδοὺ, ποιήσω αὐτοὺς, ἵνα ἥξωσι καὶ προσκυνήσωσιν ἐνώπιον τῶν ποδῶν σου, καὶ
10 γνῶσιν, ὅτι ἠγάπησά σε· ὅτι ἐτήρησας τὸν λόγον τῆς ὑπομονῆς μου, κἀγώ σε τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ, τῆς μελλούσης ἔρχεσθαι ἐπὶ τῆς οἰκουμένης ὅλης, πειράσαι τοὺς κατοικοῦντας ἐπὶ
11 τῆς γῆς. Ἔρχομαι ταχύ· κράτει ὃ ἔχεις, ἵνα μη-
12 δεὶς λάβῃ τὸν στέφανόν σου. Ὁ νικῶν, ποιήσω αὐτὸν στύλον ἐν τῷ ναῷ τοῦ θεοῦ μου, καὶ ἔξω οὐ μὴ ἐξέλθῃ ἔτι· καὶ γράψω ἐπ' αὐτὸν τὸ ὄνομα τοῦ θεοῦ μου, καὶ τὸ ὄνομα τῆς πόλεως τοῦ θεοῦ μου, τῆς καινῆς Ἱερουσαλὴμ, ἡ καταβαίνει ἀπὸ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ μου, καὶ τὸ ὄνομά μου τὸ καινόν.
13 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Τῆς ὁμολογίας, φησὶ, τῆς περὶ τοῦ ἐμοῦ ὀνόματος ἀντέκτισις ἔσται ἡ τῶν Ἰουδαίων ἐπιστροφὴ καὶ μετάνοια· οἳ τῆς πρὸς ἐμὲ αὐτῶν προσαγωγῆς τὸν ἐξ ἐμοῦ φωτισμὸν ἀνταλλάξονται τῶν ἐν τῷ κρυπτῷ τῆς καρδίας Ἰουδαίων, ἀλλ' οὐ τῶν ἐν τῷ φανερῷ, ὡς καὶ Παύλῳ δοκεῖ (α), ἑαυτοὺς ἐπιδεικνύντων. Θρόνον δὲ τοῦ σατανᾶ, τὴν τῶν Ἰουδαίων λέγει συναγωγὴν, ὡς τῷ ψεύδει συγκροτουμένην· ἐπεὶ καὶ τοῦ ψεύδους πατὴρ ἀπὸ καταβολῆς κόσμου ἐδείχθη (β). Τούτους οὖν προσδραμεῖσθαι φησὶν, οὐ κατὰ τὸ τυχὸν, ἀλλὰ μετὰ πολλῆς τῆς θερμότητος καὶ συντριβῆς· τοῦτο γὰρ αἰνίττεται τὸ πρὸς τοὺς πόδας προσ-

(α) Ῥωμ. Βι, 28. 29. (β) Ιωαν. Η, 44.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κινῆσαι, καὶ ἐν ἐσχάτοις ἑλέσθαι ταχθῆναι τῆς ἐκκλησίας. *Τὸν λόγον τῆς ὑπομονῆς μου.*] Οὐχ ὅτι αὐτὸς ὁ χρηματίζων ὑπέμεινέ τι, ἀλλὰ *ὑπομονὴν ἑαυτοῦ* τὴν δι' αὐτὸν καὶ τὴν πρὸς αὐτὸν καρτερίαν τῆς πίστεώς φησιν· ὥσπερ καὶ ὅταν Δαυὶδ αἰτῇ τὸν θεόν· *Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι* (α)· ἀντὶ τοῦ, ἡ δί ἐμέ σου δικαιοσύνη. *Κἀγώ σε τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ.*] *Ὥραν πειρασμοῦ*, ἢ τὸν ἐπὶ Δομετιανοῦ διωγμόν λέγει, δεύτερον ὄντα μετὰ Νέρωνα, ὡς Εὐσέβιος ἱστορεῖ ὁ Παμφίλου (1)· ὅτε καὶ αὐτὸς ὁ εὐαγγελιστὴς εἰς τὴν Πάτμον ὑπ' αὐτοῦ τοῦ Δομετιανοῦ κατεκρίθη· ἢ τὴν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος ὑπὸ τοῦ Ἀντιχρίστου κατὰ τῶν χριστιανῶν ἐσομένην παγκόσμιον κίνησιν, ἀναιροῦντος τοὺς χριστιανούς. Τούτων οὖν ἀμφοτέρων ἐλευθεροῦν τοὺς ζηλωτὰς αὐτοῦ ὑπισχνεῖται, προαναρπαζομένους διὰ τῆς ἐκ τῶν ἐντεῦθεν ἀναλύσεως, ἵνα μὴ ὑπὲρ τὴν δύναμιν πειρασθῶσι. Διὸ φησὶ καὶ ὁ Κύριος, *Ἔρχομαι ταχύ*. Μετὰ γὰρ τὴν θλῖψιν ἐκείνην, *ἔρχομαι ταχύ*, ἀντὶ τοῦ, ἀνυπερθέτως· τοῦτο γὰρ τὸ *ταχὺ* σημαίνει, οἱονεί, Καταπόδας τῶν πειρασμῶν ἐνεργουμένων ἐλεύσομαι· διὸ καὶ παρεγγυῶ, κρατῆσαι τὸν θησαυρὸν τῆς πίστεως ἄσυλον, ἵνα μὴ ὁ τῆς ὑπομονῆς ἡμῶν ἀπόληται στέφανος: *Ἐν τῷ ναῷ τοῦ θεοῦ μου.*] Προείρηται, ὅτι τό, *θεοῦ μου*, οὐχὶ τῆς ἐν τῷ Χριστῷ ἐνθεωρουμένης θείας φύσεως ἀναιρετικόν, ἀλλὰ τῆς συνουσιώσεως παραστατικόν· τὸ γὰρ ἀδιάσπαστον εἶναι τὴν τῶν δύο φύσεων ἕνωσιν, θεότητός, φημι, καὶ ἀνθρωπότητος, ἐν τῇ κατὰ τὸν Κύριον Ἰησοῦν ὑποστάσει, κἂν μέχρις ἐννοίας ψιλῆς εἰ καὶ ἀσυγχύτως, παριστᾷ· ἀντιδιδόασι γὰρ ἀλλήλοις ὑπὲρ κατάληψιν ἀνθρωπίνην οἰκειωτικῶς τὰ θεῖα τοῖς ἀνθρωπίνοις, καὶ τὰ ἀνθρώπινα, τοῖς θείοις ἰδιώμασι. *Στύλος δὲ ἐν τῷ ναῷ τοῦ θεοῦ* οὗτος καθίσταται,

(α) Ψαλμ. Ιϛ', 1. (1) Εὐσεβ. ἐκκλ. ἱστ. Βιβλ. Γ'. Κεφ. ΙΖ', ΙΗ', καὶ ΚΓ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπερείδων τῇ περὶ αὐτὸν τοῦ θεοῦ ἀγαθοδωρίᾳ καὶ τοὺς πρὸς συντέλειαν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ πίστεως ἀσθενέστερον διακειμένους, ἐφ' ὁμοίῳ προκόψαι καὶ αὐτοὺς διδασκαλικῷ χαρίσματι προτρεπόμενος. *Ἐν τῷ ναῷ δὲ τοῦ θεοῦ*, τοῦ διὰ παντὸς εὐφραίνεσθαι χάριν· τοῦτο γὰρ τὸ *στύλον* γενέσθαι ἐν τῷ ναῷ τοῦ θεοῦ. Ὁ γὰρ νικητὴς τῶν ἐναντίων δυνάμεων, στύλος καὶ ἑδραίωμα καθίσταται τῆς ἀληθείας (α), αὐτός τε εὐφραινόμενος ἀμετατρέπτως, καὶ τοὺς ἄλλους ἐρείδων τοῦ μὴ ἐπ' ἀγαθῷ τῆς οἰκείας ἐκστῆναι ἕδρας. *Καὶ γράψω ἐπ' αὐτὸν τὸ ὄνομα τοῦ θεοῦ μου.*] Ἐπὶ τὸν νοητὸν στύλον, ὅς ἐστιν ὁ τοῖς θείοις προστάγμασιν εἰς ἔρεισμα τῶν ἀσθενεστέρων κατηρτισμένος, γραφῆναί φησι *τὸ ὄνομα τοῦ θεοῦ, καὶ τὸ ὄνομα τῆς πόλεως Ἰερουσαλὴμ τῆς καινῆς· καινὴν Ἰερουσαλήμ, καὶ τὸ ὄνομα αὐτῆς, καὶ τοῦ θεοῦ τὸ ὄνομα* οὐκ ἄλλό τι λέγων, ἢ τὴν δόξαν, ἤτοι τὴν γνῶσιν, καθὼς καὶ ὁ Δαυίδ· *Ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ* (β), ἀντὶ τοῦ, ἡ τιμὴ, ἡ περὶ σοῦ γνῶσις. Ἐν ταῖς πλαξὶ τοιγαροῦν τῆς καρδίας τοῦ νοητοῦ στύλου γραφέντος τοῦ ὀνόματος τοῦ θεοῦ, ἤγουν, τῆς γνώσεώς, τῆς δόξης, ὡσαύτως καὶ τῆς Ἱερουσαλήμ· τοῦ μὲν τοῦ θεοῦ, ὡς ἅγιος, ὡς δίκαιος, καὶ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα, ὡς πάσης ἀγαθότητος πλήρης, καὶ τοιούτοις χαίρων θεράπουσι· τῆς Ἱερουσαλὴμ δὲ, ὡς θεοῦ σκήνωμα ἀγαπητὸν καὶ τοὺς αὐτῆς πολίτας πρὸς τὴν ἄνω παραπέμπουσα μητρόπολιν, ἥ τις κάτω Ἱερουσαλὴμ ὥσπερ μετοίκιον τῆς ἄνω καθίσταται, τοὺς τέως ἐνδιαιτωμένους ἐν αὐτῇ, οἱονεὶ γράμμασι χρωμένους, τῇ ἄνω ἐμβιώσει τὰ κάτω ῥυθμίζοντας κατέχουσα. Τῇ καταλλήλῳ τοιγαροῦν ταύτῃ γραφῇ, τουτέστι, τῇ ἀνεπιλήστῳ μνήμῃ (τοιοῦτον γὰρ ἡ γραφὴ, ὡς μονιμώτερον τῶν γενομένων ἐκτελουμένη), τῆς τε τοῦ θεοῦ καὶ

(α) Α' Τιμ. Γ', 15. (β) Ψαλμ. Η', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς ἄνω Ἱερουσαλὴμ τῆς δόξης τὸ παράστημον κομιζόμενοι, πῶς οὐ θεῖοί τινες χρηματίζοιεν; Τὸ δὲ καινὸν ὄνομα νοοῦμεν, τὸ ἐπιτιθέμενον τοῖς ἁγίοις, ὃ καὶ, πρὸς τῇ εὐφροσύνῃ τῆς θείας δωρεᾶς καὶ ἀπολαύσει τοῦ κάλλους τῶν ἀκηράτων ἀγαθῶν, ἐν τῷ μέλλοντι αἰῶνι αὐτοῖς ἂν γνώριμον, καὶ τοῖς καταληψομένοις νῦν ἀδελφοῖς Χριστοῦ καὶ φίλοις καὶ θεράπουσι πρόσεστι.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Τὰ δηλωθέντα πρὸς τὸν τῆς Λαοδικέων ἐκκλησίας ἄγγελον.

14 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Λαοδικείᾳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ Ἀμὴν, ὁ μάρτυς ὁ πιστὸς καὶ
15 ἀληθινὸς, ἡ ἀρχὴ τῆς κτίσεως τοῦ θεοῦ· Οἶδά σου τὰ ἔργα, ὅτι οὔτε ψυχρὸς εἶ, οὔτε ζεστός· ὄφελον
16 ψυχρὸς ἦς, ἢ ζεστός! Οὕτως, ὅτι χλιαρὸς εἶ, καὶ οὐ ζεστὸς, οὔτε ψυχρὸς, μέλλω σε ἐμέσαι ἐκ τοῦ
17 στόματός μου· ὅτι λέγεις· Ὅτι πλούσιός εἰμι, καὶ πεπλούτηκα, καὶ οὐδενὸς χρείαν ἔχω· καὶ οὐκ οἶδας, ὅτι σὺ εἶ ὁ ταλαίπωρος καὶ ὁ ἐλεεινὸς, καὶ πτωχὸς καὶ τυφλὸς καὶ γυμνός.

Τάδε *λέγει ὁ Ἀμήν.*] *Ἀμήν* ἐστι τὸ Ναί. Ναὶ οὖν ἐστιν ἐν πᾶσι τοῖς περὶ αὐτοῦ λεγομένοις, ἤτοι, ἀλήθεια, καὶ οὐδὲν ψεῦδος ἐν αὐτοῖς. *Ἡ ἀρχὴ τῆς κτίσεως τοῦ θεοῦ.*] Ἀντὶ τοῦ, ἡ Βασιλεία καὶ ἡ ἀρχὴ πάντων, ὡς κτισμάτων δεσπόζουσα. *Ἀρχὴ* γὰρ *τῆς κτίσεως*, ἡ προκαταρκτικὴ αἰτία καὶ ἄκτιστος. Ἐπηρέασε δ' ἂν ἴσως τῷ ῥητῷ τὸ θεομάχον τῶν Ἀρειανῶν ἐργαστήριον, ὡς τοῦ Κυρίου Ἰησοῦ κτίσματος διὰ τούτων γνωριζομένου. Οὐ χρὴ δὲ ταῖς τούτων παράγεσθαι κακουργίαις, σκοποῦντας

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

εἴτι τοιοῦτο καὶ ἐν ἑτέρᾳ κεῖται γραφῇ περὶ τούτου, ἵν' ἔχῃ τις ἐκ τῶν ὁμοίων κανονίζειν τὰ ὅμοια. Φησὶν οὖν Παῦλος, Κολοσσαεῦσι γράφων, περὶ τοῦ Χριστοῦ· *Ὅς ἐστιν ἀπαρχὴ, πρωτότοκος πάσης κτίσεως* (α)· *κτίσεως πρωτότοκος*, οὐ μὴν πρωτόκτιστος. Καὶ Δαυΐδ· *Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε* (β), ἀλλ' οὐκ ἔκτισά σε. Καὶ Σολομών· *Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με* (γ). Ἐν δὲ τῷ, *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ* (δ), τὸ, *ἔκτισεν*, ἀντὶ τοῦ, κατέταξεν, εἴληπται, ὡς καὶ ἐπὶ τοῦ, *Ἵνα κτίσῃ τοὺς δύο εἰς ἕνα καινὸν ἄνθρωπον* (ε)· καὶ ἐπὶ τοῦ· *Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός* (ζ). Ὁ δέ γε Θεολόγος Γρηγόριος ἐν τῷ Περὶ τοῦ υἱοῦ λόγῳ τὸ μὲν, *ἔκτισεν*, ἐπὶ τοῦ ναερῶς ἐμψυχωμένου κυριακοῦ σώματος ἀκούει· τὸ δὲ, *γεννᾷ*, ἐπὶ τῆς θεότητος. Τοσούτοις οὖν μαρτυρίοις τῆς κτίσεως συγκροτουμένης, ἡ *ἀρχὴ τῆς κτίσεως*, ὡς ἔρθημεν εἰρηκότες, οὐκ ἄλλο, ἢ τὸ ἄρχον τῆς κτίσεως τοῦ θεοῦ δηλοῦν βούλεται, καθότι καὶ *πάντα δι' αὐτοῦ ἐγένετο* (η)· τούτῳ καὶ ἄρχειν τῶν ὑπ' αὐτοῦ δίδοται κτισμάτων, ἤγουν κατέστη, τοῦ εἰληφέναι καὶ τοῦ καταστῆναι οὐκ ἐλάττωσιν εἰσηγουμένων οὐσίας καὶ δόξης. *Ὅτι οὔτε ψυχρὸς εἶ, οὔτε ζεστός.*] *Ψυχρὸς*, ὁ ἐστερημένος τῆς τοῦ ἁγίου Πνεύματος ἐνεργείας καὶ ἐπιφοιτήσεως· *ζεστὸς* δὲ, ὁ ζέων τῷ πνεύματι, ὡς καὶ Παῦλός φησι (θ)· *χλιαρὸς* δὲ, ὁ ἐν ἀμφοῖν ἀβέβαιος καὶ ἐπαμφοτερίζων· ὃς μετουσίας μὲν ἔλαβε πνεύματος ἁγίου διὰ τοῦ βαπτίσματος· ἔσβεσε δὲ τὸ χάρισμα τὸ ζωοποιοῦν τὴν ψυχὴν, τῇ τῶν παρόντων φροντίδι καταῤῥαθυμίσας. Διὸ καὶ περὶ τοῦ θείου Πνεύματος Παῦλος φησί· *Τὸ πνεῦμα μὴ σβέννυτε* (ι). Ἐπεὶ οὖν σὺ τοιοῦτος, καὶ ζέσας τῷ πνεύματι διὰ τοῦ βαπτίσματος, ἀπεψύχθης διὰ ῥαθυμίαν ὕστερον, σεαυτῷ τὰς τῆς σωτηρίας ἐλπίδας

(α) Κολοσ. Α', 15. (β) Ψαλμ. ΡΘ', 3. (γ) Παροιμ. Η', 25.
(δ) Παροιμ. Η', 22. (ε) Ἐφεσ. Β', 15. (ζ) Ψαλμ. Ν', 11.
(η) Ἰωαν. Α', 3. (θ) Ῥωμ. ΙΒ', 11. (ι) Α' Θεσ. Ε', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξέκοψας, καταγνοὺς τῆς αἱρεθείσης σοι πίστεως. Ἐν ἔργοις μὲν γὰρ οὐκ ἀπογνωστέα ἡ μεσότης· ὡς ὁ νόμιμος γάμος, μέσος ὢν παρθενίας καὶ πορνείας, οὐκ ἀπόβλητος· ἐν δὲ τῇ πίστει, τὸ μέσον καὶ χλιαρὸν ἀδόκιμον καὶ ἀσύστατον. Διόπερ *ὄφελον ψυχρὸς ἦς*, τουτέστιν, ἀμέτοχος καθάπαξ χάριτος θείου βαπτίσματος, καὶ ἀβάπτιστος, καὶ μὴ χλιαρός. Ὁ μὲν γὰρ μήπω δεξάμενος τὴν τοῦ πνεύματος διὰ βαπτίσματος χάριν, ἐν ἐλπίσιν ἐνστρέφεται τοῦ ποτὲ δέξασθαι τὰ σωτήρια ἑαυτῷ· ὁ δὲ χλιαρὸς, ὡς ἤδη παρεθέμεθα, μικρὸν πρὸς τῇ ζέσει καὶ τὸ ποτὲ βαπτισθῆναι ἀφῄρηται. *Μέλλω σε ἐμέσαι.*] Τῇ μεταφορᾷ τοῦ χλιαροῦ δεόντως ἐχρήσατο, ὃ καὶ ἰατρῶν παῖδες εἰς ἔμετον ἐρεθίζειν παραλαμβάνουσιν· ὅθεν καὶ τοῖς δυσεμετοῦσιν, ὕδατος χλιαροῦ ἀποφορήσει τὸν ἔμετον ἀνασοβοῦσι. Τοῦτο καὶ νῦν φησὶν, ὅτι *μέλλω σε* ὡς βδελυκτὸν *βρῶμα ἐμέσαι*, τουτέστι, διὰ λόγου στόματός μου ἀπόβλητον τῆς ἐμῆς οἰκειότητος καταστῆσαι. Καὶ τίς ἡ τούτου αἰτία; Ὅτι ἐπὶ πλούτου ἀδηλίᾳ ἐλπίσας, καὶ τὸν σπόρον τοῦ θείου λόγου ἀποπνίξας ταῖς ἀκάνθαις (α), οἱονεὶ τοῖς πειρασμοῖς τοῦ προσκαίρου τούτου πλούτου καὶ βίου (β), τὴν πατρικήν σου καὶ διαιωνίζουσαν ἠγνόησας πτωχείαν. *Ὅτι πλούσιός εἰμι, καὶ πεπλούτηκα.*] *Πλοῦτόν* φησι τὸν γήϊνον πλοῦτον. *Καὶ οὐκ οἶδας.*] Ἀγνοεῖς, ὅτι σὺ εἶ ὁ ταλαιπωρῶν ἐν τοῖς ἀπολλυμένοις· διὸ καὶ ἐλέους ἄξιος εἶ, ὡς ἐξ ὕψους τῶν ἀρετῶν ἐκπεσών, σκοτοδινίᾳ περὶ τὴν ἐκλογὴν τῶν κρειττόνων ἁλοὺς, καὶ γυμνωθεὶς τῆς τέως περιστελλούσης σε θείας δόξης.

18 Συμβουλεύω σοι ἀγοράσαι χρυσίον παρ' ἐμοῦ πεπυρωμένον ἐκ πυρὸς, ἵνα πλουτήσῃς· καὶ ἱμάτια λευκὰ, ἵνα περιβάλῃ, καὶ μὴ φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνότητός σου· καὶ κολλύριον, ἵνα ἐγχρίσῃ
19 τοὺς ὀφθαλμούς σου, ἵνα βλέπῃς. Καὶ ὅσους (1)

(α) Ματθ. ΙΓ', 7. 22. (β) Α' Τιμ. ϛ', 9.
(1) Παρ' ἄλλοις, Ἐγὼ ὅσους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω· ζήλωσον οὖν, καὶ
20 μετανόησον. Ἰδοὺ, ἕστηκα ἐπὶ τὴν θύραν, καὶ κρούω·
ἐάν τις ἀκούσῃ τῆς φωνῆς μου, καὶ ἀνοίξῃ τὴν
θύραν, εἰσελεύσομαι πρὸς αὐτὸν, καὶ δειπνήσω μετ'
21 αὐτοῦ, καὶ αὐτὸς μετ' ἐμοῦ. Ὁ νικῶν, δώσω αὐ-
τῷ καθίσαι μετ' ἐμοῦ ἐν τῷ θρόνῳ μου, ὡς κἀγὼ
ἐνίκησα, καὶ ἐκάθισα μετὰ τοῦ πατρός μου ἐν τῷ
22 θρόνῳ αὐτοῦ. Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα
λέγει ταῖς ἐκκλησίαις.

Εἰ πλουτῆσαί, φησι, βούλει, τὸν ὄντως πλοῦτον κτῆσαι παρ' ἐμοῦ, τοῦ πλουτίζειν εἰδότος τὰ μέλοντα. Κτήσῃ δὲ διαπύρῳ προθέσει τὰ λόγια Κυρίου τὰ ἁγνὰ, τὰ πεπυρωμένα ἑπταπλασίως (α). Τίνα δὲ ταῦτα; Ὁ διδασκαλικὸς καὶ θεῖος λόγος, ὃς οὐ μάτην, οὐδὲ διακένως πρόεισιν εἰς τοὺς διδασκομένους, ἀλλ' ἐκ τοῦ πρότερον διαπύρῳ σπουδῇ τὸν διδάσκοντα εὑπορῆσαι. Ἐπιδεικνυμένην γὰρ πίστιν ἀπαγγελεῖ δίκαιος (β)· καὶ ὁ ἀγαθὸς ἔμπορος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκφέρει παλαιὰ καὶ νέα (γ)· ἐκ μὲν τῶν παλαιῶν ἀνδρῶν τῶν κατορθωμάτων κομίζων τὰ μείζονα ὑποδείγματα· ἐκ δὲ τῶν νέων καὶ τῶν αὐτῷ πεπονημένων διαπύρῳ ζέσει, τὰ κατορθώματα. Ἀλλ' ἐπειδὴ τὰ τοιαῦτα πλουτεῖν οὐκ ἄνευ τῆς ἄνωθέν τινι περιγίνεται ῥοπῆς, διὰ τοῦτό, φησιν ὁ χρηματίζων, *παρ' ἐμοῦ*. Ὁ πλοῦτος δὲ, ἱματίων περιβολὴ, περιστέλλειν ἔχουσα τὴν ἀσχήμονα τῶν ἀρετῶν γύμνωσιν· καὶ οὐχ ἁπλῶς περιέλλουσα, ἀλλὰ μετὰ δόξης πομπικῆς τὸν ἐπὶ τῇ νίκῃ τῇ κατὰ τῶν ἀντιπάλων δαιμόνων θρίαμβον ἐξανύουσα. Καὶ *κολλύριον*.] Πρὸς τὸν ἀμβλυώττοντα περὶ τὸ τοῦ Κυρίου νοητὸν φῶς, τοὺς καταλλήλους ὀφθαλμοὺς περιχρίσαι, τὸ πρόσταγμα. Ἔστι δὲ τοῦτο ἡ διὰ μετανοίας πρόοδος συμβουλευομένη. Ἡ τὸ *κολλύριον* τὴν ἀκτημοσύνην παρίστησιν· εἰ γὰρ τὰ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόν-

(α) Ψαλμ. ΙΑ', 7. ΙΖ', 31. (β) Παροιμ. ΙΒ', 17. (γ) Ματθ. ΙΓ'. 52.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των (α), τούτους πάντως ἀνοίξει τὸ ἀδωροδόκητον. *Καὶ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω.*] Καὶ εἰκότως· ὁ γὰρ ἀγαπῶν, ἐπιμελῶς παιδεύει· ὃ καὶ τῆς ὑπερβαλλούσης χρηστότητος τοῦ Κυρίου περὶ τοὺς ἀπειθεῖς τεκμήριον. Τούτου δὲ τοῦ πλούτου ἐνέχυρον ἡ ἀγάπη τοῦ μετιόντος τοὺς τιμωρίας ἀξίους. Καὶ τίς ἡ παιδεία; Ζηλοῦν τὰ κρείττονα τῶν ἐπιτηδευμάτων, καὶ μετανοίᾳ καὶ μεταγνώσει, οἱονεὶ μεταθέσει, τῶν ἔμπροσθεν ἁμαρτημάτων, τὸν ζῆλον, ἤτοι τὴν μίμησιν, ἐπαναλαμβάνεσθαι τοὺς πρὸς παιδείαν ἐξ ἀμαθίας ἀποκλίναντας. Καὶ τίς ἡ ἐκ φιλανθρωπίας ἀντίδοσις; Ἡ ἐπὶ τὴν θύραν ἀπραγμάτευτος προσεδρεία. *Θύραν* δὲ ἐφεξῆς τὴν καρδίαν λέγει τῶν πρὸς μετάνοιαν προσκαλουμένων· οἷς ἀνοίξασι τῷ σωτηρίως αὐτὴν κρούοντι, καὶ τὰ ἑπόμενα, τοῦ πράου καὶ ἀγαθοῦ δαιτυμόνος εἰσόδῳ, ἐπιδαψιλευθήσεται. *Ἰδοὺ, ἕστηκα ἐπὶ τὴν θύραν, καὶ κρούω.*] Ἀβίαστός, φησιν, ἡ ἐμὴ παρουσία· τὴν θύραν τῆς καρδίας κρούω, καὶ τοῖς ἀνοίγουσιν ἐπὶ τῇ ἑαυτῶν σωτηρίᾳ συνευφραίνομαι. *Τροφὴν* γὰρ καὶ *δεῖπνον*, τὴν σωτηρίαν τῶν ἀνθρώπων ἥγημαι, τρεφόμενος ἐφ' οἷς αὐτοὶ τρέφονται, καὶ τὸν λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου, καὶ τὸν σκότον τῆς πλάνης ἀποφεύγουσιν. *Ὁ νικῶν, δώσω αὐτῷ.*] Εἴρηται ἤδη, ὅτι ἡ Ἑλληνικὴ παιδεία τὴν τοιαύτην σύνταξιν τοῦ λόγου, καὶ τὸν τοιοῦτον εἰρμὸν τῆς φράσεως, σολοικισμὸν καλεῖ, οὗ ἐπ' ἔλαττον τῇ ἐκκλησίᾳ φροντίς.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς ὁραθείσης αὐτῷ θύρας ἐν τῷ οὐ-

(α) Δευτ. Ις', 19. Ἐξοδ. ΚΓ', 8.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ρανῷ, καὶ τοῦ θρόνου, καὶ τῶν κδ' πρεσβυτέρων, καὶ τῶν ἑξῆς δειχθέντων.

ΚΕΦ. IV. 1, Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ, θύρα ἀνεῳγμένη ἐν τῷ οὐρανῷ, καὶ ἡ φωνὴ ἡ πρώτη, ἣν ἤκουσα ὡς σάλπιγγος λαλούσης μετ' ἐμοῦ, λέγουσα· Ἀνάβα ὧδε, καὶ δείξω σοι, ἃ δεῖ γενέσθαι μετὰ ταῦ-
2 τα. Καὶ εὐθέως ἐγενόμην ἐν πνεύματι·

Οὐκ ἐπειδὴ αἰσθητὴν θύραν ἑώρακεν ἐν οὐρανῷ ἀνεῳγμένην κατὰ καιρὸν καὶ κλειομένην, ταῦτα διέξεισιν· ἀλλ' οὕτως ὤφθη τῷ εὐαγγελιστῇ, ὡς ἂν διὰ θύρας ἀνεῳγμένης τὰ ἔνδον ἐπάναγκες καθορᾶσθαι. Καὶ φωνήν, φησιν, ἤκουσα· ἥτις ὡς σάλπιγξ ἠχήσασα, *Ἀνάβα*, φησὶν, *ὧδε*· τὸ δὲ, *Ἀνάβα ὧδε*, οὐ τὸ ἐν τῷ τόπῳ τούτῳ ἀνελθεῖν, ἀλλὰ τὴν διάνοιαν μετεωρίσαι ἀπὸ τῶν περιπεζίων καὶ ἀνθρωπίνων καὶ ἐν οὐρανῷ γενέσθαι. Ἀλλ' οἱ μάλιστα τὸ ἡγεμονικὸν τυποῦμενοι διὰ καθαρότητα τῶν ἀπὸ τοῦ ἑνύλου εἴου κηλίδων, τῶν ἀξιαθέων τούτων καὶ τῶν τοιούτων τυγχάνουσι θεαμάτων. *Καὶ ἡ φωνὴ ἡ πρώτη, ἣν ἤκουσα.*] Καὶ τοῦτο παρὰ τὴν τοῦ λόγου σύνταξιν· καὶ διὰ τί, εἴρηται ἤδη. Ἐχρῆν γὰρ οὕτω λέγειν· Καὶ ἡ φωνὴ τοῦ λαλοῦντος μετ' ἐμοῦ, *Ἀνάβα ὧδε*, ἔλεγεν. Οὕτω γὰρ ἂν προήχθη ἁρμοζόντως.

2 Καὶ ἰδοὺ, θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τὸν
3 θρόνον καθήμενος· καὶ ὁ καθήμενος ὅμοιος ὁράσει λίθῳ ἰάσπιδι καὶ σαρδίῳ· καὶ ἶρις κυκλόθεν τοῦ
4 θρόνου, ὁμοία ὁράσει σμαραγδίνῳ· καὶ κυκλόθεν τοῦ θρόνου, θρόνοι εἰκοσιτέσσαρες· καὶ ἐπὶ τοὺς θρόνους τοὺς εἰκοσιτέσσαρας πρεσβυτέρους (1) καθημένους, περιβεβλημένους ἐν ἱματίοις λευκοῖς· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν στεφάνους χρυ-
5 σοῦς. Καὶ ἐκ τοῦ θρόνου ἐκπορεύονται ἀστραπαὶ,

(1) Καὶ ἐπὶ τοὺς θρόνους εἶδον τοὺς εἰκοσιτέσσαρας πρεσβυτέρους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ φωναὶ, καὶ βρονταὶ· καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι ἐνώπιον τοῦ θρόνου, αἵ εἰσιν ἑπτὰ πνεύματα τοῦ θεοῦ.

Τῷ πνεύματι, φησὶ, τυπωθεὶς τὸ ἡγεμονικὸν, *θρόνον* ἐθεασάμην· δι' οὗ δηλοῦται ἡ ἐν τοῖς ἁγίοις ἀνάπαυσις τοῦ θεοῦ· αὐτοῖς γὰρ ἐνθρονίζεται, ὡς χωρητικοῖς οὖσι τῶν θείων ἐμφάσεων. *Ὁμοίως ὁράσει λίθῳ ἰάσπιδι καὶ σαρδίῳ.*] Ἐπειδὴ δὲ τὸν πατέρα τὸν ὁραθέντα ἐνταῦθα παρίστησι, σωματικὸν αὐτῷ χαρακτῆρα οὐ περιτίθησιν, ὥσπερ τῷ υἱῷ ἐν τῇ προτέρᾳ αὐτοῦ ὀπτασίᾳ· ἀλλὰ τιμίοις αὐτὸν λίθοις ἀπεικάζει· τῆς μὲν ἰάσπιδος, ὡς χλοερᾶς οὔσης, σημαινούσης τὸ ἀειθαλὲς ὁμοῦ καὶ φερέσβιον, καθὸ εἴρηται· *Καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων* (α)· πᾶν γὰρ σπέρμα χλοηφορεῖ πρὸς τροφὴν τοῖς ζῶσιν ὑπὸ θεοῦ τεταγμένον. Ἴασπις δὲ καλεῖται, ὅτι ὁμοία ἰῷ ἀσπίδος. *Σαρδίῳ* δὲ *ὅμοιος*, διὰ τὸ φοβερὸν τοῦ θεοῦ· πυροειδὲς γὰρ τὸ σάρδιον. Ἐπειδὴ γὰρ τὸ κατ' ἄκρας χρῆσθαι τῇ δικαιοκρισίᾳ τὸν θεὸν, οὐ φορητὸν, εἰκότως τοῦ ἀνεξικάκου καὶ ἀγαθοῦ τὸ σάρδιον δεῖγμα παρέχει, ὡς τοῦ φοβεροῦ καὶ τοῦ πυροειδοῦς, ὥς φασι, λίθου· ὃν οὐ μόνον φοβερόν φασιν εἶναι θηρίοις καὶ φάσμασιν, ἀλλὰ καὶ θεραπευτικὴν τῶν ἐπιφυομένων τῷ σώματι ἡμῶν ἀλγεινῶν ἔχειν δύναμιν. Λέγει γὰρ ὁ μέγας Ἐπιφάνιος (1), ἰατρεύειν αὐτὸν οἰδήματά τε καὶ τὰς ἀπὸ σιδήρου πληγὰς ἐπιχριόμενον. Ἐπισημαντέον δὲ, ὡς ἡ τῶν λίθων ἐνταῦθα παράληψις, οὐ τοῦ τιμίου χάριν, ἀλλὰ τὸ ἐκ τῆς χρόας σημαινόμενον ἔσχεν. *Καὶ ἶρις κυκλόθεν τοῦ θρόνου.*] Ἡ μὲν αἰσθητὴ ἶρις, ἣν ἡ θεία Γραφὴ *τόξον* καλεῖ, ἥνικα φάσκει, *Τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ* (β), ἐκ τῆς ἀντανακλάσεως τοῦ ἡλίου συνίσταται, ὅταν ἐν παχύτητι νέφους ὑδατώδους ἀπολιφθέντος, ἀντιφράσσηται μὲν αὐτὸ τὸ φῶς τὴν ἑαυτοῦ ἐκπομπὴν διὰ τοῦ

(α) Ψαλμ. ΡΓ', 14.
(1) Ἐν τῷ περὶ τῶν ΙΒ' λίθων. (β) Γεν. Θ', 13.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

νέφους, ποικίλην δὲ καὶ παντοειδῆ φαντασίαν χροιῶν ὑποβάλληται. Κἀκείνη μὲν τοιαύτη ἡ Ἶρις. Ἡ δέ γε τὸν θρόνον περικυκλοῦσα, μονοειδὴς σμαραγδίζουσα. *Ἶριν* δὲ κέκληκεν αὐτὴν, ἀπὸ τῆς παρ' ἡμῖν ἴριδος ποικιλοχρωμάτου, ὡς ἂν τὸ διάφορον τῶν θείων ἀγγέλων τῆς ἀγαθοεργοῦς ἐννοήσωμεν λειτουργίας· ὧν τὸ διάφορον εἰς μίαν ἐνεργητικὴν ἀποτελευτᾷ χρείαν, κατὰ μίμησιν τοῦ δεσπότου· ἐπεὶ καὶ τούτου τὸ πάντροφον καὶ εὐεργετικὸν, ἡ χλοάζουσα τῆς ἰάσπιδος λίθου χροιὰ παραδηλοῦν ἐβούλετο, τῷ πρασίῳ εἴδει τῆς σμαράγδου λίθου ὁμοιουμένη. *Θρόνοι εἰκοσιτέσσαρες.*] *Θρόνοι*, οὐκ ἄλλό τι ἐνταῦθα χρὴ νοεῖν, εἰ μὴ τὸ φιλότιμον πρὸς ἐργασίαν τῶν θείων προσταγμάτων. Μόνως γὰρ ἂν οὕτως παρασκευασθεῖσα ψυχὴ, ὄχημα θεῖόν ἐστιν ἐφάμιλλον τῶν Χερουβείμ. *Πρεσβυτέρους καθημένους.*] Περὶ τοῦ ἀριθμοῦ δὲ τῶν εἰκοσιτεσσάρων πρεσβυτέρων ὧδ' ἂν θεωροῖτο. Ἡ ὑπεράρχιος καὶ ὑπέρθεος παναγία Τριὰς, τὸν ἑβδοματικὸν ἀριθμὸν, ὃν καὶ σύστοιχον τῷ ὁρατῷ αὐτῆς συστήματι τούτῳ ἔθετο, κατ' ἀρχὰς κατὰ τὸ ἀνεξερεύνητον τῆς ἑαυτῆς σοφίας βάθος ἰσαρίθμως ἑαυτῇ ἀνελίξασα, τὸν εἰκοσιτέσσαρα ἀριθμὸν ὑπέφηνε. Τριάκις γὰρ ἑπτὰ, εἴκοσι καὶ ἓν ἀποσωρεύει, τοῦ ἀπολειπομένου ποσοῦ τοῦ εἴκοσι καὶ τέσσαρα ἀριθμοῦ, ὅς ἐστιν ὁ τρία, τῇ παντουργῷ θείᾳ Τριάδι ἀνατεθέντος· διὸ καὶ ὁ ἕβδομος ἀριθμὸς, τριαδικῶς ἀνελιχθείς, μετὰ τοῦ ἀνελιχθῆναι τριαδικοῦ τὸν εἰκοσιτέσσαρα ἀπετέλεσεν. Ἰσάριθμοι δὲ τοῖς θρόνοις οἱ καθήμενοι, καὶ πρεσβύτεροι, οὐ νεώτεροι· ἐπεὶ καὶ ἡ ἐπαγγελία τῆς κληρονομίας πρεσβυτάτη, ὡς πρὸ καταβολῆς κόσμου προητοιμασμένης ἡμῖν βασιλείας (α)· Πάντως δὲ τοῖς πρὸ καταβολῆς κόσμου τὸ ἔπαθλον ἔχουσιν ἑτοιμασθὲν, οὐχ ὡς νεωτέροις, ἀλλ' ὡς ἐγγράσασι τοῖς θείοις προστάγμασι δίδοται ἡ αἰώνιος βασιλεία. *Χρυ-*

(α) Ματθ. ΚΕ, 34.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοῦς δέ φησι τοὺς στεφάνους· οὐδὲ γὰρ εἶχέ τι χρυσοῦ τιμαλφέστερον τοῖς ἐν τῷ παρόντι βίῳ ἐνστρεφομένοις ὑποτίθεσθαι πρὸς ἐναργῆ γνῶσιν. *Καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι.*] *Τὰς ἑπτὰ λαμπάδας*, αὐτὸς ἡρμήνευσεν *ἑπτὰ πνεύματα*· ἅ τινα, ἤτοι ὡς Ἡσαΐας, τὰ θεῖα τοῦ πνεύματος χαρίσματα, οἷον, σοφίας, ἰσχύος, βουλῆς, καὶ τὰ τούτοις ἑξῆς (α), δεῖ νοεῖν· ἢ, ὡς Εἰρηναῖος καὶ Κλήμης ὁ στρωματεύς, τὰ λειτουργικὰ καὶ τῶν ἄλλων ἐξέχοντα ταγμάτων. *Ἑπτὰ* μὲν, διὰ τὴν ἐφορείαν τοῦδε τοῦ κόσμου, τοῦ τῷ ἑβδόμῳ συστοίχου ἀριθμῷ· *καιόμεναι* δὲ, διὰ τὸ ἀνένδοτον καὶ διηνεκὲς τῆς περὶ τὸ θεῖον ἁγιαστίας· τοιοῦτον γὰρ καὶ τὸ πῦρ τοῦτο τὸ ἔνυλον, ἀδιαλείπτως φωτίζον καὶ φλέγον· διὸ καὶ ὁ προφήτης φησίν· *Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ, πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ, πυρὸς φλόγα* (β).

6 Καὶ ἐνώπιον τοῦ θρόνου ὡς θάλασσα ὑαλίνη, ὁμοία κρυστάλλῳ· καὶ ἐν μέσῳ τοῦ θρόνου καὶ κύκλῳ τοῦ θρόνου τέσσαρα ζῶα, γέμοντα ὀφθαλμῶν ἔμ-
7 προσθεν καὶ ὄπισθεν. Καὶ τὸ ζῶον τὸ πρῶτον, ὅμοιον λέοντι, καὶ τὸ δεύτερον ζῶον, ὅμοιον μόσχῳ, καὶ τὸ τρίτον ζῶον, ἔχον πρόσωπον ἀνθρώπου, καὶ τὸ τέταρτον, ὅμοιον ἀετῷ πετομένῳ.

Θ*αλάσσῃ* ἀπεικάζει τὸ κατενώπιον τοῦ θρόνου, τὸ ἄπειρον καὶ ἀνείκαστον πλῆθος τῶν κυκλουσῶν τὸν θρόνον τοῦ θεοῦ θείων δυνάμεων σημαίνων· ὃ καὶ Δανιὴλ διὰ τοῦ χιλιακοῦ καὶ μυριαδικοῦ ἀριθμοῦ παριστᾷν βούλεται (γ). Ἡ δὲ *ὑαλίνη* καὶ *κρυσταλλοειδὴς θάλασσα*, τὴν διαύγειαν τῶν ἀσωμάτων φύσεων σημαίνει, καὶ τὸ τῆς ἀγγελικῆς ζωῆς χαρακτηρίζει

(α) Ἡσ. ΙΑ', 2.
(β) Ψαλμ. ΡΓ', 4.
(γ) Δανιὴλ. Ζ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀτάραχον, ἅτε ἀκινήτως ὡς ὕαλος πεπηγυῖα καὶ κρύσταλλος, τῷ μηδὲ μιᾷ κηλίδι σκοτουμένη πρὸς ἀνοήτους περισπᾶσθαι κλονήσεις. *Τέσσαρα ζῶα γέμοντα ὀφθαλμῶν.* | Ταῦτα τὰ *τέσσαρα ζῶα* τινὲς, καὶ τὰ τέσσαρα εὐαγγέλια καὶ τὰς τέσσαρας γενικὰς ἀρετὰς ἐξέλαβον· τοῦ μὲν *λέοντος* δηλοῦντος τὴν ἀνδρείαν, καὶ τὸ κατὰ Ἰωάννην εὐαγγέλιον, ὃ καὶ Εἰρηναῖος ὁ Λουγδούνου ἅγιός φησι τῆς προαιωνίου βασιλείας εἶναι δηλωτικὸν διὰ τοῦ, *Ἐν ἀρχῇ ἦν ὁ λόγος*· τοῦ δὲ *μόσχου*, τὴν δικαιοσύνην, ἅτε τοῖς οἰκείοις ἀρκουμένου πόνοις, καὶ τὸ κατὰ Λουκᾶν εὐαγγέλιον, ὡς νομικῶς καὶ ἱερατικῶς τὸν Χριστὸν γενεαλογῆσαν· τοῦ δὲ *ἀετοῦ*, τὴν σωφροσύνην· ταύτην γὰρ φιλεῖν μαρτυρεῖται τοῦτο τὸ ζῶον· καὶ τὸ κατὰ Μάρκον εὐαγγέλιον, σύντομον ὄν, καὶ ἀπὸ τοῦ προφητικοῦ πνεύματος ἀρξάμενον· τοῦ δὲ *ἀνθρώπου*, τὴν φρόνησιν, καὶ τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, ὡς φύσει καὶ οὐ νόμῳ κηρύξαν τὴν τοῦ Χριστοῦ γέννησιν. Ἴσως δὲ διὰ τούτων καὶ ἡ οἰκονομία τοῦ Χριστοῦ δηλοῦται· διὰ τοῦ λέοντος, ὡς βασιλέως· διὰ τοῦ μόσχου, ὡς ἱερέως, μᾶλλον δὲ καὶ ἱερείου· διὰ τοῦ ἀνθρώπου, ὡς δι' ἡμᾶς ἀνδρωθέντος· διὰ δὲ τοῦ ἀετοῦ, ὡς χορηγοῦ τοῦ ζωοποιοῦ Πνεύματος, τοῦ ἐπὶ πάντας ἡμᾶς ἄνωθεν καταπτάντος. Ἢ ὅτι διὰ τῶν τεσσάρων τούτων ζώων, ἡ ἐκ τῶν τεσσάρων στοιχείων, πυρὸς, ὕδατος, γῆς, ἀέρος, σύγκρατος κτίσις τῆς ἐποψίας τοῦ θεοῦ τυγχάνει, ὡς τούτων τῶν ὁραθέντων ζώων εἰς ὑποτύπωσιν ἀναφερομένων τῶν κοσμικῶν στοιχείων, λέοντος μὲν, διὰ τὸ θυμικὸν καὶ θερμὸν, εἰς τὸ πῦρ· μόσχου δὲ, διὰ τὰ περὶ τὴν γῆν ἔργα, εἰς τὴν γῆν· ἀνθρώπου δὲ, εἰς τὸν ἀέρα· οὐράνιον γὰρ καὶ μετάρσιον κτίσμα ὁ ἄνθρωπος διὰ τὴν τοῦ νοῦ λεπτότητα· ἀετοῦ δὲ, εἰς τὸ ὕδωρ· ἐξ ὑδάτων γὰρ ἡ γέννησις τοῖς πτηνοῖς.

8 Καὶ τὰ τέσσαρα ζῶα, ἓν καθ' ἓν αὐτῶν ἔχον ἀνὰ πτέρυγας ἓξ κυκλόθεν, καὶ ἔσωθεν γέμοντα ὀφθαλμῶν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἀνάπαυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτὸς, λέγοντες (1)· Ἅγιος, ἅγιος, ἅγιος Κύριος ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ἦν καὶ ὁ ὢν καὶ ὁ ἐρχόμενος.
9 Καὶ ὅταν δῶσι (2) τὰ ζῶα δόξαν καὶ τιμὴν καὶ εὐχαριστίαν τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, τῷ ζῶντι
10 εἰς τοὺς αἰῶνας τῶν αἰώνων, πεσοῦνται οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ προσκυνήσουσι τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ βαλοῦσι τοὺς στεφάνους
11 αὐτῶν ἐνώπιον τοῦ θρόνου, λέγοντες· Ἄξιος εἶ, ὁ Κύριος καὶ ὁ θεὸς ἡμῶν, ὁ ἅγιος, λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν δύναμιν· ὅτι σὺ ἔκτισας τὰ πάντα, καὶ διὰ τὸ θέλημά σου ἦσαν καὶ ἐκτίσθησαν.

Εἰπὼν τὰ τέσσαρα ζῶα, τὰ τὸν θρόνον κυκλοῦντα, καὶ τὸ εἶδος ἑκάστου διεξελθὼν, ὃ καὶ ἡμεῖς, ὡς ἐφικτὸν ἡμῖν, κατὰ τὸ κατ' ἀξίαν δοθὲν χάρισμα, παρεθέμεθα, ὅτι τὸ προνοητικὸν περὶ πᾶσαν τὴν περίγειον αὐτοῦ κτίσιν παριστῶντός ἐστι τοῦ θεοῦ· διὸ καὶ τέσσαρα ζῶα ἰσάριθμα τῇ τετρακτύϊ τῶν ποιοτήτων, δι' ὧν τὰ στοιχειώδη σώματα ὑπέστη τοῦδε τοῦ ὑλικοῦ κόσμου· νῦν καὶ τὸ τῆς λειτουργίας αὐτῶν παρίστησιν, ὃ καὶ Δαυὶδ παρίστησι διὰ τοῦ· *Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ* (α)· οἱονεὶ, οὐκ ἔφθη τὸ πρόσταγμα τὴν συντέλειαν τοῦ προτεταγμένου, ἀλλ' ἐξ αὐτῆς τῆς ἐντολῆς ἠνύσθη τὸ βούλημα. Τὸ τάχος δὲ διὰ τῶν *ἓξ πτερύγων* κατανύεσθαι φησὶν ἑκάστῳ· τοῦτο γὰρ ἐνυποφαίνει, ἵνα μή τις, τὰς ἓξ πτέρυγας ἀκούσας, κοινῇ ταύτας προσεῖναι νομίσῃ. Τὸ δὲ, *κυκλόθεν*, οὐ τῶν πτερύγων, ἀλλὰ τῶν τεσσάρων ζώων τὴν στάσιν ἐμφαίνει, ὅτι μὴ στοιχηδὸν, ἀλλὰ κυκλικὴ

(1) Παρ' ἄλλοις, λέγοντα.
(2) Παρ' ἄλλοις, δώσωσι, ἢ, δώσουσι.
(α) Ψαλμ. ΡΒ', 20.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἓν. Τῶν δὲ πτερύγων ὁ ἀριθμὸς, τὸ τέλος αἰνίττεται τῆς λειτουργίας, καὶ τὸ πρὸς ϐ ἡ λειτουργία πέλει· καὶ γὰρ ὁ ἓξ ἀριθμὸς παρὰ τοῖς τὰ τοιαῦτα κομψοῖς ἀνυμνεῖται· οὐδὲν δὲ παρὰ τοῖς τὴν αἴσθησιν ἀναϐεϐηκόσιν ἀτελὲς, οὐδὲ τὴν ἐκ μεταμελείας συμπλήρωσιν ἐκδεχόμενον. Ἓξ δὲ πτέρυξιν ὁ θεῖος Διονύσιος τὰ νοερὰ ζῶα διηρτῆσθαί φησι, δυσὶ τὰ πρόσωπα καλύπτοντα, ταῖς δὲ δυσὶ τοὺς πόδας, ταῖς μέσαις δὲ πέτεσθαι, ἵνα περὶ τὰ ὑψηλότερα καὶ ϐαθύτερα τῆς οἰκείας καταληψεως φανῇ αὐτῶν ἡ εὐλάϐεια· δι' ἣν τοῖς μέσοις προστάσσεσθαι τὰς θεαρχικὰς αὐγὰς θείοις ζυγοῖς ἀνατείνειν. Τὸ δὲ, *κυκλόθεν*, διὰ τὸ παντεπίσκοπον παρειλῆφθαι· τὸ δὲ, *ἔσωθεν*, ὅτι οὐδὲν τὰ θεῖα λανθάνειν δύναται, οὐδὲ τῶν ἐν παραϐύστῳ τισὶ τελουμένων. Τὸ δὲ, *ἀνάπαυσιν οὐκ ἔχουσιν*, οὐχ ὅτι ἔγκοπόν τι ὑφίστανται, τῇ ἀνενδότῳ λειτουργοῦντα ὑμνῳδίᾳ· περὶ τὴν αἰσθητὴν γὰρ κτίσιν ὁ κόπος· ἀκάματα δὲ πάντα ὅσα ὑπὲρ τὴν ὕλην· ἐκεῖ δὲ, κατὰ τὸν εἰπόντα, *ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμὸς* (α). Οὐ τὸ ἔγκοπον οὖν τὸ, *ἀνάπαυσιν οὐκ ἔχουσι*, παριστᾷ, ἀλλὰ τὸ περὶ τὴν θείαν ὑμνῳδίαν ἀνένδοτον, ὡσπερεὶ κατεντρυφώντων πρὸς δόξαν καὶ αἶνον τοῦ θείου καὶ συντελουμένων. Τὸ δὲ τρισυπόστατον τῷ τριπλασιασμῷ τῆς δόξης καὶ τοῦ ἁγιασμοῦ ἔχομεν νοεῖν. *Πεσοῦνται οἱ εἰκοσιτέσσαρες πρεσϐύτεροι.*] Διὰ τούτων δηλοῦται καὶ τοὺς νοηθέντας ἡμῖν πρεσϐυτέρους κοινωνοὺς εἶναι τῆς ὑμνῳδίας τῶν οὐρανίων δυνάμεων, ὁμολογοῦντας ἐκ θεοῦ κεκομίσθαι τῆς τῶν νοητῶν ἐχθρῶν νίκης τὴν δύναμιν. Ἐπισκοπητέον δὲ τὴν τῶν χρονικῶν διαστημάτων ἐν τῇ ἀφηγήσει ἀκρίϐειαν. Ἀπὸ γὰρ τῆς τῶν ἐνεστώτων ἐπαγγελίας ἐπὶ τὰ μέλλοντα χωρεῖ, οὐκ ἀσυνεσίᾳ τοῦτο ποιῶν, ἐνδεικνύμενος δὲ, ὡς καὶ τῆς πρὸ τῆς τελευταίας τῶν κατορθούντων ἀναῤῥήσεως ἔστί τις τοῖς ἀνύττουσι τὸ

(α) Ἡσ. ΛΕ', 10. ΝΑ', 11. Ἀποκ. ΚΑ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

παρὸν ἐναγώνιον στάδιον, τῷ τεθειμένῳ ὑπείκουσιν ὅρῳ, τοῦ συμφέροντος ἑκάστῳ ὡροθετηκότος, εὐχαριστία, ἅτε καὶ ἀντιλαμβάνουσι συμμέτρους πρὸς τὸν μέλλοντα καὶ ἀκατάλυτον αἰῶνα τὰς ἀντιδόσεις, ἤτοι θαυμάτων περιουσίαν, ἢ καί τινας ἑτέρας εὐεργεσίας. Οὐκ οὖν ἐπὶ τῆς τελευταίας μόνον τεθησαύρισται ἡμέρας ἡ ἀπὸ τῶν λειτουργικῶν πνευμάτων καὶ τῶν ἐκείνοις ἐναμίλλων ἀνθρώπων ἐξαιρέτως τῷ ἔργῳ δειχθέντων πρὸς τὸν σαρκωθέντα Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ θεοῦ, ὑποτύπωσις καὶ εὐφημία καὶ αἶνος, ἀλλ' ἤδη καὶ ἐπὶ τοῦ ἑνεστῶτος, ὡς ἡ δοκοῦσα τῶν χρονικῶν διαστημάτων παράβασις τοῖς ὀξυωπεῖν δυναμένοις ὑπέστησε. *Καὶ βαλοῦσι τοὺς στεφάνους αὐτῶν.*] *Τὸ βαλεῖν τοὺς στεφάνους ἐνώπιον τοῦ θρόνου*, τὴν νίκην δηλοῖ, ὡς καὶ νῦν ἐπὶ τῶν νικώντων ἀγῶνάς ἐστιν ἰδεῖν· ὁ δὲ *θρόνος*, τὴν κυριότητα καὶ ἐξουσίαν. Ἔστι καὶ βασιλείας σύμβολον ὁ στέφανος. Βάλλοντες οὖν ἐνώπιον τοῦ θρόνου τοὺς στεφάνους, τί ἂν ἄλλο, ἢ τὴν ὄντως καὶ ἀληθῆ βασιλείαν, καὶ τὴν κατὰ πάντων νίκην, τῷ ἐπὶ πάντων ἀνατιθέασι θεῷ, λέγοντες· Σοὶ, δέσποτα, παρὰ πάντων ἐποφείλεται δόξα, ὡς κτίστῃ καὶ δημιουργῷ, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγῷ, καὶ συντηρητῇ τε καὶ συνοχεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς βίβλου τῆς ἐσφραγισμένης σφραγῖσιν ἑπτὰ, τῆς ἐν τῇ χειρὶ τοῦ θεοῦ, ἣν οὐδεὶς ἀνοῖξαι δύναται τῆς κτιστῆς φύσεως.

ΚΕΦ. V. 1 Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ θρόνου βιβλίον γεγραμμένον ἔσωθεν καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

2 ἔξωθεν, κατεσφραγισμένον σφραγῖσιν ἑπτά. Καὶ εἶ-
δον ἄγγελον ἰσχυρὸν, κηρύσσοντα ἐν φωνῇ μεγά-
λῃ· Τίς ἄξιός ἐστιν ἀνοῖξαι τὸ βιβλίον, καὶ λῦσαι
3 τὰς σφραγῖδας αὐτοῦ; Καὶ οὐδεὶς ἐδύνατο ἐν τῷ
οὐρανῷ, οὔτε ἐπὶ τῆς γῆς, οὔτε ὑποκάτω τῆς γῆς,
4 ἀνοῖξαι τὸ βιβλίον, οὔτε βλέπειν αὐτό. Καὶ ἐγὼ
ἔκλαιον πολύ· ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι τὸ
5 βιβλίον, οὐδὲ βλέπειν αὐτό. Καὶ εἷς ἐκ τῶν πρε-
σβυτέρων λέγει μοι· Μὴ κλαῖε.

Τὰ ἐκ δεξιῶν τοῦ θεοῦ, τὰ κατὰ ψυχὴν αἰνίττεται ἀγαθὰ, ἅπερ καὶ ὁ Παροιμιαστὴς Σολομὼν ἐν τῇ δεξιᾷ ἀποκεῖσθαι δηλοῖ τῆς σοφίας, ἃ διὰ τῆς ζωῆς ὑπέφηνεν εἰπών, *Ἐν τῇ δεξιᾷ αὐτῆς ζωή· τὰ δὲ ἐξ ἀριστερῶν*, τὰ κατὰ σῶμα καὶ τὴν θνητὴν ταύτην ζωὴν, ἅπερ διὰ τῆς δόξης καὶ τοῦ πλούτου ἠνίξατο, φήσας· *Ἐν τῇ ἀριστερᾷ πλοῦτος καὶ δόξα* (α). Ὁ δὲ *θρόνος*, ὅτι τὴν ἐξουσίαν καὶ τὸ ὑπερβάλλον τοῦ ἐπ' αὐτοῦ ἐπόχου σημαίνει, εἴρηται. Τί δὲ *τὸ βιβλίον*; Ἡ πάνσοφος τοῦ θεοῦ καὶ ἀνεπίληπτος μνήμη· ἣν καὶ ὁ προφήτης Δαυὶδ καὶ ὁ Μωϋσῆς παρεδήλου, ὁ μὲν, διὰ τοῦ· *Ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται* (β)· ὁ δὲ, διὰ τοῦ· *Κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου, ἧς ἔγραψας* (γ). Τὸ δὲ *ἔσωθεν* γεγράφθαι καὶ *ἔξωθεν*, καὶ σφραγῖσι κατησφαλίσθαι ἑπτὰ, τὸ *ἔσωθεν* μὲν, οἱ ἐξ Ἱερουσαλὴμ ἂν εἶησαν γεγραμμένοι, ὡς θεοσεβεῖς τῇ ὁδηγίᾳ τοῦ νόμου· τὸ *ἔξωθεν* δὲ καὶ τῇ χείρονι μοίρᾳ, οἱ ἐξ ἐθνῶν. Αἱ δὲ ἑπτὰ σφραγῖδες, τῷ ἑπτὰ ἀριθμῷ τὸ ἐπίσημον ἔχουσαι, τὰς κατὰ τὸν θνητὸν τοῦτον κόσμον τῶν ἡμερῶν μεταβολάς τε καὶ διαδοχὰς σημαίνουσαι, τί ἂν ἄλλο συνιέναι παρέχοιεν, ἢ τὸ μηδένα πλὴν μόνου θεοῦ τὰ κατὰ τὴν διέξοδον τοῦ βίου ἑκάστου ἡμῶν ἐξακριβοῦν ἔχειν εἰδέναι; Ἢ οὖν τοῦτο· ἢ τὸ κεκλεῖσθαι τὸ βιβλίον καὶ τοῦτο βούλεται παριστᾶν, τὸ

(α) Παροιμ. Γ', 16. (β) Ψαλμ. ΡΛΗ', 16. (γ) Ἔξοδ. ΛΒ', 32.

μηδένα ἠξιῶσθαι θείας ἐποψίας, πλὴν ὀλιγίστων. *Πάντες γὰρ ἐξέκλιναν, ἅμα ἠχρειώθησαν* (α), τὴν ἀπὸ τῆς ἁμαρτίας τοῦ Ἀδὰμ ἀχρείωσιν, καὶ ἀπολωλέκασι τὴν πρὸς θεὸν παῤῥησίαν. *Καὶ οὐδεὶς ἐδύνατο.*] Ἀνθρώπων μὲν οὐδεὶς ἠδύνατο· ὁ δὲ ὡς ἀρνίον, καὶ μάλα, ὡς ἤδη εἴρηται καὶ διὰ τοῦ Δαυὶδ κατὰ τύ· *Πρωΐ εἰσακούσῃ τῆς φωνῆς μου* (β)· πρωΐαν τὴν διὰ σαρκὸς ἐπιδημίαν τοῦ Κυρίου, λέγοντος, δι' ἧς ἐπιδημίας οἱ ἄνθρωποι καὶ θείας ἐποψίας ἠξιώθημεν παραστάντες, ἤγουν παραστῆναι ἀξιωθέντες παρὰ τοῦ τὰ κατερῤῥαγμένα ἀνορθοῦντος (γ), καὶ τὰ συντετριμμένα συσφίγγοντος· δι' ἃ καὶ ἡ πρὸς ἡμᾶς αὐτοῦ εὔσπλαγχνος ᾠκονομήθη ἐπιδημία, καὶ διὰ ταύτην τῶν προφητῶν αἱ δεήσεις εἰσηκούσθησαν, ὧν ἐστι καὶ ἡ· *Κλῖνον τοὺς οὐρανοὺς, καὶ κατάβηθι* (δ). *Καὶ ἐγὼ ἔκλαιον, ὅτι οὐδεὶς ἄξιος εὑρέθη.*] Οὐ γὰρ ἄγγελος, οὐδὲ ἄνθρωπος ταῦτα κατώρθωσεν, ὥς φησιν Ἡσαΐας· *Οὐ πρέσβυς, οὐκ ἄγγελος· ἀλλ' αὐτὸς ἔσωσεν αὐτοὺς* (ε). Οὔτε οὖν τῶν ἀσάρκων τις, οὔτε τῶν ἐν σαρκὶ ὄντων, οὔτε τῶν ἐκ σαρκὸς ἀποδεδημηκότων, τὴν ἀκριβῆ τῶν θείων εἴληφε γνῶσιν· τοῦτο γὰρ τὸ συνεπτύχθαι δηλοῖ τὸ βιβλίον, οἱονεὶ, τὸ πάσῃ κτιστῇ φύσει ἀνεπινόητα εἶναι τὰ κρίματα τοῦ θεοῦ. Κτιστῇ μὲν οὖν φύσει συνέπτυκται τὸ βιβλίον· καὶ οὐ μόνον ἀνοῖξαί τις αὐτὸ ἀδυνάτως ἔχει, ἀλλ' οὐδὲ *βλέπειν αὐτὸ*, τουτέστιν, οὐδὲ ἀτενῶς πρὸς τὰ θεῖα κρίματα ἴσχυσεν ὁρᾶν. Ἀλλ' οἱ τοσούτου ἀναπεπλησμένοι τοῦ ἀναξίου, ἐπειδὴ αὐτοῖς ἡ τοῦ ἀρνίου ἐπιδημία παρέστη, τὰ πρὶν ἄπορα, εὔπορα κατέστη, καὶ τὰ δυσχερῆ, ῥᾴδιά τε καὶ εὐχερῆ. *Καὶ εἷς ἐκ τῶν πρεσβυτέρων.*] *Εἷς τῶν πρεσβυτέρων*, ἤγουν, τῶν θειοτέρων δυνάμεων· οἳ καὶ αὐτοὶ τῇ πρὸς ἡμᾶς σχέσει χαρᾶς πληροῦνται, ὡς καὶ ὁ Κύριός φησι· *Χαρὰ γίνεται ἐν οὐ-*

(α) Ψαλμ. ΙΓ', 3. ΝΒ', 3. Ῥωμ. Γ', 12. (β) Ψαλμ. Ε', 4.
(γ) Ψαλμ. ΡΜΔ', 15. ΡΜΕ', 7. (δ) Ψαλμ. ΡΜΓ', 5. (ε) Ἡσ. ΞΓ', 9.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

φανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι (α). Εἰ δὲ ἐπὶ ἑνὶ ἁμαρτωλῷ τοῦτο, πόση καὶ τίς ἡ χαρὰ συσαίη ἐπὶ πολλοῖς; δι' ἣν καὶ ἡ παῤῥησία τοῦ ἀρνίου, ὃ ἤνοιξε τὸ βιβλίον εἰς τὸ γνῶσθῆναι τὸν ἐπὶ σωτηρίᾳ ἡμῶν παραγεγονότα. Καὶ ὅτι τοῦτο, αὐτὸς ἡμᾶς διδάσκει ὁ Κύριος λέγων· *Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν* (ε).

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'..

Περὶ τοῦ ἀρνίου, τοῦ τὰ ἑπτὰ κέρατα ἔχοντος, ὅπως τὴν βίβλον ἀνέῳξεν

5 Ἰδοὺ, ἐνίκησεν ὁ λέων, ὁ ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα Δαυὶδ, ἀνοῖξαι τὸ βιβλίον (1) καὶ τὰς
6 ἑπτὰ σφραγῖδας αὐτοῦ. Καὶ εἶδον ἐν μέσῳ τοῦ θρόνου καὶ τῶν τεσσάρων ζώων, καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων, ἀρνίον ἑστηκὸς, ὡς ἐσφαγμένον, ἔχον κέρατα ἑπτὰ, καὶ ὀφθαλμοὺς ἑπτά· ἃ εἰσι (2) τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ, ἀποστελλόμενα εἰς πᾶ-
7 σαν τὴν γῆν. Καὶ ἦλθε καὶ εἴληφεν ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου τὸ βιβλίον.

Ἰδοὺ, *ἐνίκησεν ὁ λέων.*] Ἐνίκησε τὸν ἡμέτερον νικητὴν, τὸν διάβολον. Τίς δὲ ὁ νικήσας; *Ὁ λέων*, ὁ ἐκ τῆς φυλῆς Ἰούδα· περὶ οὗ καὶ ὁ πατριάρχης Ἰακὼβ κατακλιθεὶς, ἐχρησμοδότησε (γ). *Λέων* δὲ ὁ Χριστὸς, ὡς θεός. *Ἡ ῥίζα Δαυὶδ.*] *Ῥίζα* μὲν *τοῦ Δαυὶδ*, ὡς κτίστης, διὰ τὴν θεότητα· *ἐκ ῥίζης* δὲ *Δαυὶδ*, διὰ τὴν ἀνθρωπότητα, διὰ τὸ εἰρῆσθαι ἐκ ῥίζης Δαυὶδ ῥάβδον ἄνθος βλαστῆσαι (δ). *Ἀρνίον ἑστηκὸς, ὡς ἐσφαγμένον.*]

(α) Λουκ. ΙΕι, 7. 10. (ε) Μαρκ. Βι, 17. Λουκ. ε, 32.
(1) Παρ' ἄλλοις, ὁ ἀνοίγων τὸ βιβλίον. καὶ Παρ' ἄλλοις, οἵ εἰσι.
(γ) Γεν. ΜΘ', 9. (δ) Ἡσ. ΙΑ, ι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀρνίον, ὁ Χριστὸς, ὃς καὶ διὰ τοῦ ἐπὶ τοῦ νομικοῦ πάσχα θυομένου ἀμνοῦ προετυποῦτο· ὡς καὶ παρὰ Ἱερεμίᾳ, ὡς ἐκ προσώπου φάσκοντι τοῦ Χριστοῦ· *Ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων* (α)· καὶ παρὰ τῷ Ἡσαΐᾳ· *Ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος* (β)· καὶ εἶτι τούτῳ ἑξῆς τῷ ῥητῷ. Τὸ δὲ μὴ, *ἐσφαγμένον*, εἰρῆσθαι, ἀλλ', ὡς *ἐσφαγμένον*, τὸ μὴ ἐναπομεῖναι δηλοῦντός ἐστι τῷ θανάτῳ· ἀνεβίω γὰρ ὁ Χριστός· τοῦτο γὰρ τό· *Μὴ δώσῃς τὸν ὅσιόν σου ἰδεῖν*, οὐχὶ φθορὰν, ἀλλὰ *διαφθοράν* (γ)· ὡς τῆς μὲν φθορᾶς, τὴν διάζευξιν τῆς ψυχῆς τὴν ἀπὸ τοῦ σώματος δηλούσης, ὃ καὶ πεπονθέναι τὸν Χριστὸν κατὰ ἀλήθειαν καὶ ὑποστῆναι, οὐδεὶς τῶν εὐσεβούντων ἀθετεῖ· διαφθορὰν δὲ, οὗ οὐ γὰρ τῇ τελείᾳ διαλύσει τῶν ἀνθρωπίνων μερῶν ὑπεβλήθη· ἀλλὰ, καθ' ὃν καιρὸν τὴν διαφθορὰν ὑπεισιέναι ἐχρῆν, κατὰ τοῦτον ἡ ἀνάστασις ἐνεργηθεῖσα, τὴν διαφθορὰν ἤμβλυνεν. *Ἔχον κέρατα ἑπτά.*] Τὸ, *Κέρατα*, τὴν δύναμιν σημαίνει, καὶ τὴν δόξαν, ὡς ὅταν περὶ μὲν τῆς δυνάμεως λέγῃ· *Πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω*· περὶ δὲ τῆς δόξης· *Καὶ ὑψωθήσεται τὸ κέρας τοῦ δικαίου* (δ). *Ἃ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ.*] *Τὰ ἑπτὰ πνεύματα*, αἱ τοῦ πνεύματος ἐνέργειαι, ἤτοι, τῆς σοφίας, τῆς συνέσεως, τῆς γνώσεως, τῆς βουλῆς, τῆς ἰσχύος, τῆς εὐσεβείας, καὶ τοῦ φόβου τοῦ θεοῦ (ε)· αἵπερ ἐνέργειαι ἐπὶ τοὺς εἰς πᾶσαν τὴν γῆν ὄντας ἁγίους ἐνήργησαν. *Καὶ εἴληφεν ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου τὸ βιβλίον.*] Τὸ *εἰληφέναι* τὸ ἀρνίον ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου τὸ βιβλίον, κατὰ τὸ ἀνθρώπινον νοητέον, ὥσπερ τὸ *ἐσφάχθαι*· κατὰ γὰρ τὸ θεῖον, οὐδὲν τῶν θεοπρεπῶν ἐξιδιαζόμενον ταῖς τρισὶν ὑποστάσεσι, πλὴν τοῦ τρόπου τῆς προαγωγῆς, τοῦ ἀγεννήτου, καὶ γεννητοῦ, καὶ ἐκπορευτοῦ.

(α) Ἱερ. ΙΑ', 19. (β) Ἡσ. ΝΓ', 7.
(γ) Ψαλμ. ΙΕ', 10. Πρακξ. Β', 27.
(δ) Ψαλμ. ΟΔ', 11. (ε) Ησ. ΙΑ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

8 Καὶ ὅτε ἔλαβε τὸ βιβλίον, τὰ τέσσαρα ζῶα καὶ
οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσον ἐνώπιον τοῦ
ἀρνίου, ἔχοντες ἕκαστος κιθάρας, καὶ φιάλας χρυ-
σᾶς, γεμούσας θυμιαμάτων, αἵ εἰσιν αἱ προσευχαὶ
9 τῶν ἁγίων· καὶ ᾄδουσιν ᾠδὴν καινὴν, λέγοντες·
Ἄξιος εἶ, λαβεῖν τὸ βιβλίον, καὶ ἀνοῖξαι τὰς
σφραγῖδας αὐτοῦ· ὅτι ἐσφάγης, καὶ ἠγόρασας τῷ
θεῷ ἡμᾶς ἐν τῷ αἵματί σου ἐκ πάσης φυλῆς καὶ
10 γλώσσης καὶ λαοῦ καὶ ἔθνους· καὶ ἐποίησας
ἡμᾶς (1) τῷ θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς· καὶ
βασιλεύσομεν (2) ἐπὶ τῆς γῆς.

Τὰ *τέσσαρα ζῶα.*] *Τὰ τέσσαρα ζῶα*, οἱ μὲν ὑπεροχικὰς θείας ἐξηγήσαντο δυνάμεις, τὸ παντοκρατορικὸν τοῦ θεοῦ περὶ τὸν ἐκ τεσσάρων στοιχείων δημιουργηθέντα κόσμον ἐμφαίνειν οἵαςτε οὔσας· οἱ δὲ, δυνάμεις μὲν, ἐφόρους δὲ τῶν ἐξ ὧν τόδε τὸ πᾶν ὑπέστη στοιχείων, τὸ διαρκὲς αὐτοῦ συντηρούσας. *Ἔπεσον ἐνώπιον τοῦ ἀρνίου.*] Λαβόντα τὸν Κύριον τὸ βιβλίον, προσεκύνησαν πάντες, προεγνωκότες ἣν μέλλει τοῖς ἀνθρώποις ἐπιτελεῖν σωτηρίαν, κόλασιν δὲ τοῖς ἀκαθάρτοις δαίμοσι. Τὸ δὲ ἔχειν τοὺς πρεσβυτέρους κιθάρας, τὸ ἐναρμόνιον δηλοῖ καὶ εὔηχον τῆς εἰς θεὸν δοξολογίας· αἱ δὲ χρυσαῖ φιάλαι, αἱ διάνοιαί εἰσι τῶν ἐργαζομένων τὰ θεοφελῆ· (διὸ καὶ χρυσῷ ὑπεσημάνθησαν, ἀπὸ τῆς παρ' ἡμῖν τιμίας ὕλης·) τῷ ἐνδελεχισμῷ τῆς πρὸς τὸ θεῖον ἀναστάσεως τὸ κατὰ προκοπὴν τίμιον εὑρηκότων. Ἐκ τούτων καὶ τὰ ἑξατμίζοντα τὸ ἴαμα τῆς καθ' ἡμῶν δικαίας τοῦ θεοῦ ὀργῆς ἐναμιλλον τῶν πονηρῶν ἐπιτηδευμάτων ἀναδίδοται θυμιάματα· διὸ καὶ *θυμιάματα*, οὐχὶ ἀρώματα εἴρηται· *ἴαμα* γὰρ, κατὰ τὸν εἰρηκότα, *καταπαύσει ἁμαρτίας μεγάλας* (α). Καὶ ὅτι εἰς θυμοῦ ἴαμα αἱ προσευχαὶ τῶν ἁγίων θεῷ ἐντυγχάνουσι, δῆλον, ἐκ μὲν τῆς Παλαιᾶς δι' ὧν φησὶ Σα-

(1) Παρ' ἄλλοις, αὐτούς. (2) Παρ' ἄλλοις, βασιλεύσουσιν.
(α) Εκκλ. Ι', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μουήλ· *Ἐὰν εἰς τὸν θεὸν ἁμάρτῃ τις, τίς προσεύξεται περὶ αὐτοῦ* (α); ἐκ δὲ τῆς Νέας, δι' ὧν οἱ θεῖοι τοῦ Κυρίου μαθηταὶ λύειν καὶ δεσμεῖν ἁμαρτίας ἐξουσίαν ἔλαβον (β). Τὸ δὲ *καινὴν ᾄδειν ᾠδὴν*, διὰ τὸ εἶναι καινὸν καὶ τὸ ἱλαστήριον τοῦ θυμοῦ, ὡς ἀρνίου ἐσφαγμένου τοῦ Χριστοῦ εἰς κάθαρσιν καὶ σωτηρίαν τοῦ κόσμου παντός· ὑπὲρ οὗ καὶ ἀνοῖξαι τὸ βιβλίον ἐδόθη αὐτῷ καὶ λῦσαι τὰς σφραγῖδας, ὡς διὰ τοῦ αἵματος αὐτοῦ ἀγοράσαντι ἡμᾶς ἐκ παντὸς ἔθνους καὶ γλώσσης ἁπάσης· τοῦτο γὰρ ἡ *καινὴ ᾠδὴ*, δι' ἣν τῆς παλαιότητος τοῦ γραπτοῦ νόμου ἀπαλλαγέντες, ἐν καινότητι δὲ ζωῆς περιπατοῦντες, οἱ ἐκ πάσης τῆς γῆς καταυγασθέντες, ᾄδειν χαριστήρια διὰ τοῦ θείου Πνεύματος ἐδιδάχθημεν. *Ἐκ πάσης φυλῆς καὶ γλώσσης.*] Τὸ, *Ἐκ πάσης φυλῆς καὶ γλώσσης*, εἰπεῖν, ἀλλὰ μὴ, *Πᾶσαν φυλὴν καὶ γλῶσσαν*, διαστολὴν εἰσηγεῖται τοῦ μὴ πάντας, ἀλλά τινας ἠξιῶσθαι ἐξ οἰκείων πόνων τῆς ἀπὸ τοῦ ἀρνίου σφαγῆς τῷ αἵματι τούτου ἀγορασθῆναι. *Καὶ ἐποίησας ἡμᾶς τῷ θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς.*] Τοῦτο καὶ ἀπ' ἐντεῦθεν ἤδη κατὰ τὸ γράμμα λαμβάνουσι τέλος, καθ' ὅτι καὶ βασιλεῖς καὶ ἱερεῖς οἱ θεράποντες θεοῦ καὶ πιστοὶ διατελοῦσιν. Ἔστι δὲ νοῆσαι καὶ θεωρητικώτερον, *βασιλεῖς* μὲν, τοὺς κατὰ τῶν παθῶν τῆς νίκης τὸν βασίλειον στέφανον ἀναδησαμένους· *ἱερεῖς* δὲ, τοὺς θυσίαν ζῶσαν, εὐάρεστον τῷ θεῷ, ἑαυτοὺς καθαρτικότας. Κατὰ τὴν ἐκδοχὴν ταύτην, καὶ ὁ τὴν γῆν, τὴν τοῖς πραέσιν ὑπὸ τοῦ Κυρίου ἐπηγγελμένην κατακληρονομεῖσθαι (γ), στοιχῶν, οὐ τοῖς ἀστόχοις προσλογισθείη. *Καὶ βασιλεύσομεν ἐπὶ τῆς γῆς.*] Τὸ, *Καὶ βασιλεύσομεν ἐπὶ τῆς γῆς*, κατὰ μὲν τὸ πρόχειρον καὶ θεωρητὸν τοῖς πολλοῖς, τὴν κατὰ νόμον αἰ-

(α) Αι, Βασιλ. Β', 25.
(β) Ματ. ΙϚ', 19. Ἰωάν. Κ', 23.
(γ) Ματθ. Ε', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νίττεται πολιτείαν, εἰσαγωγικωτέραν οὖσαν καὶ στοιχειώδη τοῦ κατὰ Χριστὸν τελεωτάτου πολιτεύματος, παρ' ὅτον οὐδὲν ἐτελείωσεν ὁ νόμος· κατὰ δὲ τὸ ὄντως ὄν, τὴν κατὰ τὸ μέλλον μακαρίαν βιοτὴν, αἰωνίαν τε οὖσαν καὶ ἀκατάλυτον· διὸ καὶ τῷ τέλει ἐγκολπίζεται.

11 Καὶ εἶδον, καὶ ἤκουσα ὡς φωνὴν ἀγγέλων πολλῶν κύκλῳ τοῦ θρόνου καὶ τῶν ζώων καὶ τῶν πρεσβυτέρων· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν μυριάδες μυριάδων,
12 καὶ χιλιάδες χιλιάδων· λέγοντες φωνῇ μεγάλῃ· Ἄξιόν ἐστι τὸ ἀρνίον τὸ ἐσφαγμένον, λαβεῖν τὴν δύναμιν καὶ πλοῦτον καὶ σοφίαν καὶ ἰσχὺν καὶ τι-
13 μὴν, καὶ δόξαν, καὶ εὐλογίαν. Καὶ πᾶν κτίσμα, ὅ ἐστιν ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, καὶ ὑποκάτω τῆς γῆς, καὶ ἐπὶ τῆς θαλάσσης ἃ ἐστὶ, καὶ τὰ ἐν αὐτοῖς, πάντας ἤκουσα λέγοντας· Τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου καὶ τῷ ἀρνίῳ ἡ εὐλογία καὶ ἡ τιμὴ καὶ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς
14 αἰῶνας τῶν αἰώνων. Καὶ τὰ τέσσαρα ζῶα λέγοντα τό· Ἀμήν (1)· καὶ οἱ πρεσβύτεροι ἔπεσον, καὶ προσεκύνησαν.

Πνευματικῶς ἡ φωνὴ, ἀλλ' οὐκ αἰσθητῶς καὶ τῷ ἀέρι διηχητικῶς ἀπηχουμένη· διὸ κατὰ τὸ μέλλον τοῦ χρόνου ἡ ψῆφος τῆς ἀναῤῥήσεως τοῦ ἀρνίου ἱστορεῖται, οὐ κατὰ τὸ ἤδη συντετελεσμένον· παρ' ὅσον ἅπας ὁ θεῷ προσανατιθέμενος, καὶ μέχρι τῆς συντελείας τῇ μνήμῃ τῶν ὑπὲρ ἡμῶν τοῦ ἀρνίου φιλανθρώπων παθῶν σώφρονι μανίᾳ κατεπειγόμενος, πρὸς ἀντίδοσιν, κἂν οἰκέτης, τοῦ δεσπότου κατασπεῦσαι εἴωθε. Τὸ γὰρ ἐξ ὁμοτίμου, περιττὸν καὶ ἐρεῖν. Τί γὰρ μέγα δούλῳ παθεῖν τὰ τοῦ δεσπότου; Τὸ δὲ διὰ ψηφίσματος ἐν τάξει τινὶ πλοῦτον, καὶ δύναμιν, καὶ σοφίαν, καὶ τὰ τοιαῦτα, ὡς καθ' ὑπεροχὴν τοῦ

(1) Παρ' ἄλλοις, ἔλεγον· Ἀμήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λαμβάνοντος ἀφορίσθαι ὡς οὐκ ἔχοντος, ἀνθρωπίνῃ ὑπολήψει παρείληπται· τὸ θεῖον γὰρ τούτων ἀπροσδεές, ὡς πάσης τιμῆς ὑπέρτερον, καὶ ὡς τῶν πάντων ὑπ' αὐτοῦ τὸ εἶναι λαβόντων, καὶ κατόπιν τοῦ πρὸς ἀξίαν τιμὴν παραγαγόντος αὐτὰ χωρούντων. *Καὶ πᾶν κτίσμα, καὶ ἐξῆς.*] Ἐκ τούτων ἁπάντων, τῶν τε νοητῶν, φημι, καὶ τῶν αἰσθητῶν, τῶν τε ζώντων, τῶν τε ἁπλῶς ὄντων, φυσικοῖς λόγοις ὁ θεὸς δοξάζεται, ὡς πάντων γενεσιάρχης, καὶ ὁ τούτου μονογενὴς καὶ ὁμοούσιος υἱός, καὶ τὸ πανάγιον καὶ ζωοποιὸν Πνεῦμα. *Καὶ τὰ τέσσαρα ζῶα.*] Καὶ διὰ τούτου δείκνυται μία ποίμνη ἀγγέλων καὶ ἀνθρώπων, διὰ Χριστοῦ τελουμένη, καὶ ὑφ' ἑνὶ ποιμένι τελοῦσα, τῷ Χριστῷ, καὶ μία ἐκκλησία διὰ Χριστοῦ, τοῦ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσαντος (α), ὃ ἡ τοῦ γενάρχου Ἀδὰμ παρακοὴ περιετείχισε. Τὸ δὲ, *Ἀμήν*, ἀπὸ τῆς Ἑβραΐδος εἴληπται φωνῆς, ἐπὶ βεβαίᾳ συγκαταθέσει προφερόμενον, ἰσοδυναμοῦν τῷ, *Ναὶ*, τῷ, ἀληθῶς καὶ ἀμετακινήτως. *Καὶ οἱ πρεσβύτεροι.*] Καὶ ἡ τῶν πρεσβυτέρων ὑπόπτωσις μετὰ τῶν τεσσάρων ζώων, (ἅ τινα ζῶα τίνων ἐστὶν ἀπεικάσματα εἴρηται,) καὶ οἱ χαρακτηριστικοὶ τοῦ τῶν σωζομένων ἀνθρώπων πληρώματος, διὰ τῆς προσκυνήσεως ἔδειξαν, ὅτι τῷ ἀρνίῳ ἡ ἐξουσία τῶν ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων ὑπὲρ τοῦ ἐσφάχθαι δίδοται, ὅσόν ἐστιν αὐτοῦ ἀκοῦσαι ἀπὸ τῆς ἐκ νεκρῶν ἀναστάσεως, λέγοντος· *Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς* (β).

(α) Ἐφεσ. Β', 14.
(β) Ματθ. ΚΗ', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Λύσις τῆς πρώτης σφραγῖδος, τὴν ἀποστολικὴν διδαχὴν σημαίνουσα.

ΚΕΦ. VI, 1 Καὶ εἶδον, ὅτι ἤνοιξε τὸ ἀρνίον μίαν ἐκ τῶν ἑπτὰ σφραγίδων, καὶ ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων, λέγοντος, ὡς φωνὴ βροντῆς· Ἔρχου
2 καὶ ἴδε. Καὶ ἰδοὺ (1) ἵππος λευκός· καὶ ὁ καθήμενος ἐπ' αὐτὸν ἔχων τόξον· καὶ ἐδόθη αὐτῷ στέφανος, καὶ ἐξῆλθε νικῶν, καὶ ἵνα νικήσῃ.

Εἰ τὸ *ἐσφραγῖσθαι* τὸ βιβλίον τὸ ἀπαρρησίαστον τῶν ἐν αὐτῷ γεγραμμένων δηλοῖ, καὶ τὸ πεφράχθαι πάντων τὸ στόμα ἐνώπιον τοῦ θεοῦ πρὸς πᾶσαν δικαιολογίαν κατὰ τὸ εἰρημένον ἐν τοῖς ἔμπροσθεν, τὸ περιαιρεῖσθαι κατὰ μικρὸν τὰς σφραγῖδας, καταμέρος ἐπανάληψιν σημαίνοιεν ἂν τῆς πρὸς θεὸν παῤῥησίας καὶ οἰκειότητος, ἣν προεξένησεν ἡμῖν ἐνανθρωπήσας ὁ μονογενὴς, τοῖς οἰκείοις κατορθώμασι τὰς ἡμετέρας ἐπανορθώσας πλημμελείας. Κἀντεῦθεν δὲ ἡ τῶν ἐν οὐρανοῖς εὐταξία σημαίνεται, ἐκ τῶν πρώτων τάξεων εἰς τὰ δεύτερα καταβαίνουσα. Διὸ καὶ ἐκ τοῦ ἑνὸς προσώπου τῶν τεσσάρων ζώων, τοῦ *λέοντος* δηλαδὴ, τὴν πρώτην γεγενῆσθαι φωνὴν ἤκουσεν, ἐγκελευομένην τὸ, *Ἔρχου καὶ ἴδε*· Τὸ δὲ, *Ἔρχου καὶ ἴδε*, ἀναθετέον τῷ τὴν ὀπτασίαν διατυποῦντι ἀγγέλῳ, οὕτω θεωμένου τοῦ Ἀποστόλου τὴν ὀπτασίαν. Τὸ δὲ πρῶτον ζῶον, ὁ *λέων*, ἐμφαίνειν μοι δοκεῖ τὸ βασιλικὸν τῶν ἀποςόλων κατὰ δαιμόνων φρόνημα· δι' οὓς καὶ εἴρηται· *Οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν* (α)· καὶ τό· *Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν* (β). Εἰσὶ δέ τινες, οἳ ἑκάστης σφραγῖδος τὴν λύσιν εἰς τὴν τοῦ θεοῦ λόγου

(1) Παρ' ἄλλοις, Καὶ εἶδον, καὶ ἰδού.
(α) Ψαλμ. ΜΖ', 3. (β) Ψαλμ. ΜΔ', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δι' ἡμᾶς σωτήριον ἐνανθρώπησιν ἐξειλήφασι· τὴν πρώτην, εἰς τὴν γέννησιν, ἥτις ἔλυσεν ἡμᾶς τῶν δεσμῶν τῆς σαρκικῆς γενέσεως, ὡς καὶ Παύλῳ δοκεῖ, δι' ὧν γράφει· *Ἐπεὶ τὰ τέκνα ὑμῶν ἀκάθαρτα· νῦν δὲ ἅγια* (α)· ἀκάθαρτα μέν, ὡς ἀπὸ τῆς κατὰ σάρκα φθορᾶς ἐσχηκότα τὴν ὕπαρξιν· ἅγια δέ, ὡς συμμορφούμενα τῇ ἀφθάρτῳ γεννήσει τοῦ ἐκ παρθένου ἡμῖν ἐπιδεδημηκότος. Τὴν δευτέραν δέ, εἰς τὴν τοῦ θείου βαπτίσματος ἀναγέννησιν, τοῦ αἴσχους ἡμᾶς ἀπολούσασαν τῆς κατὰ σάρκα γενέσεως. Ταῦτα περὶ τῆς πρώτης καὶ δευτέρας, τῆς τε ἐκ παρθένου γεννήσεως, καὶ τῆς διὰ τοῦ ἁγίου βαπτίσματος, ἥτις, ὡς φωτεινὴ καὶ αὐτὴ, τῇ ἐκ παρθένου ἐφάμιλλος συνέζευκται. Τῆς δὲ τρίτης σφραγῖδος τὴν λύσιν, εἰς τὴν μετὰ ταῦτα τῶν θεοσημείων τοῦ Κυρίου ἐνέργειαν. Τῆς τετάρτης, εἰς τὴν ἐπὶ τοῦ Πιλάτου παράστασιν. Τῆς πέμπτης, εἰς τὴν ἐπὶ τοῦ σταυροῦ καθήλωσιν. Τῆς ἕκτης, εἰς τὴν ἐν τῷ τάφῳ κατάθεσιν. Καὶ τῆς ἑβδόμης, εἰς τὴν ἐν τῷ ᾅδῃ σκύλευσιν. *Καὶ ἰδοὺ, ἵππος λευκός.*] Ὁ μὲν *λευκὸς ἵππος*, σύμβολον ὑπάρχει τοῦ ἀποστολικοῦ εὐαγγελισμοῦ, ὡς δι' αὐτοῦ καὶ τῆς αὐτῶν γενεᾶς μεγίστης εὐεργεσίας ἀνθρώποις γεγενημένης. Ὁ *δέ γε* τῷ ἵππῳ ἔποχος, ὁ πρὸς ὃν Ἀββακοὺμ αὐτὸς ὁ θειότατος τό, *Ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου* (β), θεσμῳδεῖ, καὶ τὸ *τόξον*, ὃ καὶ αὐτὸ ὁ αὐτὸς Ἀββακοὺμ χρησμῳδεῖ, *Ἐντείνων*, φάσκων, *ἐντενεῖς τὸ τόξον σου* (γ). Τὸν δὲ *στέφανον* εἰλήφασιν οἱ αὐτοὶ μακαριστοὶ ἀπόστολοι, ἀνθ' ὧν διὰ τῆς ἀληθείας τὸν τῆς πλάνης ἀρχηγὸν νενικήκασιν ἐπ' ἐλπίδι δευτέρας νίκης, τῆς μέχρι θανάτου ὁμολογίας τοῦ δεσποτικοῦ ὀνόματος. *Καὶ ἐξῆλθε νικῶν, καὶ ἵνα νικήσῃ.*] Χριστὸς ἦν ὁ νικῶν, ἵνα νικήσῃ· ὃς τὴν πρώτην νίκην νικήσας, τὴν τῶν ἐθνῶν ἀπὸ τῶν εἰδώλων ἐπιστροφὴν, ἀφ' ἧς καὶ *νικῶν* κατωνόμασται,

(α) Α' Κορ. Ζ', 14. (β) Ἀββ. Γ', 15. (γ) Ὁ αὐτ. αὐτόθι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς δευτέραν νίκην ἠτρέπισται, τὴν ἀπὸ τοῦ θνητοῦ σώματος, ὑπαλείφουσαν διὰ κολάσεων τοὺς ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ τῆς ὁμολογίας ἀντεχομένους, καὶ τὸ σύμβολον αὐτῶν, τῆς νίκης τὸν στέφανον, ἐστεφανωμένους.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Λύσις τῆς δευτέρας σφραγῖδος, δηλοῦσα τὸν τῶν ἀπίστων κατὰ τῶν πιστῶν πόλεμον

3 Καὶ ὅτε ἤνοιξε τὴν δευτέραν σφραγῖδα, ἤκουσα
4 τοῦ δευτέρου ζώου, λέγοντος· Ἔρχου. Καὶ ἐξῆλθεν ἄλλος ἵππος πυρρός· καὶ τῷ καθημένῳ ἐπ' αὐτὸν ἐδόθη αὐτῷ λαβεῖν τὴν εἰρήνην ἐκ τῆς γῆς, ἵνα ἀλλήλους σφάξωσι· καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη.

Δεύτερον ζῶον, ὁ *μόσχος*· ὃς τῶν ἁγίων μαρτύρων τὰς ἱερὰς καὶ λογικὰς θυσίας χαρακτηρίζει, τοῦ προτέρου ζώου τὴν ἀποστολικὴν ἐξουσίαν διαγράφοντος, ὡς ἤδη εἴρηται. *Τὴν εἰρήνην ἐκ τῆς γῆς.*] Ταύτην ἡμεῖς στοχαζόμεθα τὴν δευτέραν τῶν ἀποστόλων νοεῖσθαι διαδοχήν, ἣν διὰ μαρτύρων καὶ διδασκάλων συμπληρουμένην ἔγνωμεν· ἐν ᾗ, πλατυνομένου λοιπὸν τοῦ κηρύγματος, ἡ τοῦ κόσμου εἰρήνη ἐλύθη, καθ' ἑαυτῆς μερισθείσης τῆς ἀνθρωπίνης φύσεως, κατὰ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου· *Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν*, καὶ ἐπεγεῖραι πατέρα, καὶ υἱὸν, καὶ θυγατέρα, καὶ μητέρα, καὶ νύμφην, καὶ πενθερὰν κατ' ἀλλήλων φονίως (α)·

(α) Ματθ. Ι', 34. 35.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀφ' οὗ καὶ τὰ μαρτυρικὰ σφάγια εἰς τὸ ἄνω θυσιαστήριον ἀνηνέχθη. Ὁ δὲ *πυρρὸς ἵππος*, ἢ τῆς ἐκχύσεως τῶν μαρτυρικῶν αἱμάτων σύμβολον, ἢ τῆς πεπυρωμένης ὑπὲρ Χριστοῦ διαθέσεως τῶν μαρτύρων, δι' ἣν καὶ θάνατος ἡδίων τῆς ζωῆς αὐτοῖς ἐνομίσθη. Τὸ δὲ γεγράφθαι, *Δοθῆναι τῷ καθημένῳ ἐπὶ τὸν ἵππον λαβεῖν τὴν εἰρήνην*, τὴν πάνσοφον δείκνυσι τοῦ θεοῦ συγχώρησιν, τοὺς πιστοὺς δούλους διὰ πειρασμῶν δοκιμάζουσαν. *Καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη.*] Τῷ ἐπὶ τοῦ πυρροῦ ἵππου καθημένῳ ἐδόθη μάχαιρα, ἵνα ἀλλήλους κατασφάξωσι· τουτέστιν, εἰς τὸ τὴν εἰς τὸ κακὸν ὁμόνοιαν τῶν ἐπὶ γῆς διελεῖν καὶ κατατεμεῖν. Ὁμόνοια μὲν ἦν αὐτοῖς· προβαλλομένης δὲ τῆς τοῦ θεοῦ λατρείας, ἀλλήλων ἤρξαντο ἀνελεῖν τὰς σπονδὰς ἐπὶ τὸ χεῖρον· τοῦτο γὰρ ἡ τοῦ πατρὸς πρὸς υἱόν, καὶ ἡ τῆς νύμφης πρὸς πενθερὰν ἐπανάστασις ὑπαινίττεται.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Λύσις τῆς τρίτης σφραγῖδος, δηλοῦσα τῶν μὴ παγίως πεπιστευκότων Χριστῷ τὴν ἔκπτωσιν.

5 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν τρίτην, ἤκουσα τοῦ τρίτου ζώου, λέγοντος· Ἔρχου καὶ ἴδε. Καὶ ἰδοὺ, ἵππος μέλας, καὶ ὁ καθήμενος ἐπ' αὐτὸν,
6 ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ. Καὶ ἤκουσα φωνὴν ἐν μέσῳ τῶν τεσσάρων ζώων λέγουσαν· Χοῖνιξ σίτου δηναρίου, καὶ τρεῖς χοίνικες κριθῆς δηναρίου· καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον μὴ ἀδικήσῃς.

Τρίτον ζῶον ὁ *ἄνθρωπος* ἐνταῦθα λέγεται, τὴν τῶν ἀνθρώπων δηλῶν ἔκπτωσιν· καὶ διὰ τοῦτο κρείττονα τῆς ἐκπτώσεως ἐπει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σερχομένην ἔχων τὴν κόλασιν. Ἕτεροι δὲ, ὡς προείρηται, τὴν λύσιν τῆς τρίτης σφραγῖδος, τὴν εἰς ἡμᾶς ἐλεημοσύνην τοῦ Χριστοῦ φασὶ παραδηλοῦν, ὃς οὐκ ἰσορρόπῳ ταῖς ἀνομίαις ἡμῶν χρησάμενος τῇ ἀντιδόσει πρὸς τὴν ἀποστροφὴν κατακριθέντων, ἀλλὰ ταῖς σωτηριώδεσιν αὐτοῦ διδασκαλίαις καὶ θεοσημίαις εὐεργετήσας ἡμᾶς, ἐπίδοσιν παρέσχε τῆς τοῦ διαβόλου καταλύσεως. *Καὶ ἰδοὺ, ἵππος μέλας.*] *Ὁ μέλας ἵππος*, κατηφείας σύμβολον καὶ πένθους, ἐπιταθείσης τῆς τοῦ διαβόλου καθαιρέσεως ταῖς θείαις παιδαγωγίαις, καὶ διὰ τοῦτο πενθοῦντος τὴν ἑαυτοῦ κατάλυσιν, διὰ τῶν μαρτυρικῶν αἱμάτων κατακλυσθέντος τοῦ ἐπὶ τοσούτοις χρόνοις τῆς ἀνθρωπίνης φύσεως κεκρατηκότος. Ὁ δὲ ζυγὸς, ἰσότητός ἐστι καὶ δικαιοσύνης αἴνιγμα. *Ἐκάθισας γάρ*, φησιν ὁ Δαυὶδ, *ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην* (α). Ὁ ζυγὸς οὖν, σύμβολον τῆς τοῦ θεοῦ δικαιοκρισίας· διὸ καὶ ἐπῆλθεν ἀνθρώποις παῤῥησιᾶσθαι, ἐν τῷ φάσκειν· *Ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου. Χοῖνιξ σίτου δηναρίου.*] Τὸ τὸν σῖτον μειουλκεῖσθαι, λιμοῦ δεῖγμα· ὃν καὶ γεγενῆσθαι, ὡς καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται. Ἔστι δὲ καὶ τροπικῶς, *σῖτον*, τοὺς νομίμως ἀθλήσαντας διὰ Χριστὸν ἐννοεῖν, οἳ καὶ *δηναρίου* ἐτρίθησαν ἄξιοι, ὡς τῆς δοθείσης αὐτοῖς θείας εἰκόνος ἀκριβεῖς φύλακες καταστάντες. Τοὺς δὲ *τρεῖς χοίνικας τῆς κριθῆς*, τοὺς κτηνοπρεπῶς τοῖς διώκταις δι' ἀνανδρείαν ψυχῆς ὑποκύψαντας, καὶ ἀναλόγως μετανοήσαντας ὕστερον, καὶ τὴν ῥυπωθεῖσαν εἰκόνα δάκρυσιν ἀποπλύναντας. *Τρεῖς δὲ χοίνικες* οὗτοι *δηναρίου* ἑνὸς ἐτιμήθησαν, ὡς τοῦ ἑνὸς Χριστοῦ τῇ τριημέρῳ αὐτοῦ ταφῇ ὑπὲρ τοῦ κόσμου παντὸς, τοῦ διὰ τὰς ἁμαρτίας τὴν δοθεῖσαν αὐτῷ θείαν εἰκόνα ῥυπώσαντος. Αὐτὸς μὲν γὰρ ὁ Χριστὸς ἐν ᾅδου διέτριψε τὴν πρώτην ἡμέραν ὑπὲρ τῶν πρὸ τοῦ νόμου Μωϋσέως ἡμαρτηκό-

(α) Ψαλμ. Θ', ϛ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των, τὴν δευτέραν ὑπὲρ τῶν ἐν τῷ νόμῳ· καὶ γὰρ, εἰ καὶ μετάνοιάν τινες ὑπεδείξαντο τῶν ἀτόπων αὐτοῖς πραχθέντων, ταύτην ἐναμιλλον αὐτοῖς ἀντιστήσαντες· ἀλλ' ὅμως σαφῆ τὴν συγχώρησιν ἠλπικότες, τοῦ δυναμένου ταύτην παρασχεῖν οὐχ ἑωραμένου, οὔπω ταύτης ἐπέτυχον· διὰ τοῦτο καὶ τὴν δευτέραν ἡμέραν ἐν ᾅδου διέτριψεν· ἡ τρίτη δὲ, καθ' ἣν καὶ ἀνέστη· ὅτι μηδὲ τῇ διαφθορᾷ κρατηθῆναι οἷόντε ἦν τὴν αὐτοῦ ζωήν. Εἴη ἂν σῖτος, καὶ ὁ εὐαγγελικὸς καὶ σωτήριος λόγος, καὶ πρέπων ἀνδράσι τελείοις, τοῖς τὰ αἰσθητήρια ἔχουσι γεγυμνασμένα πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ· κριθὴ δὲ, ἡ Μωϋσέως νομοθεσία. Ὥσπερ γὰρ ἡ κριθὴ προακμάζει τοῦ σίτου, οὕτω καὶ αὐτὴ τοῦ εὐαγγελικοῦ κηρύγματος, τρέφουσα τοὺς κτηνωδεστέρους ἀνθρώπους, τοὺς οὕτω δηλαδὴ διακειμένους περὶ τὰ θεῖα Ἰσραηλίτας. Φησὶν οὖν ὁ χρηματίζων ἐν μέσῳ τῶν τεσσάρων ζώων, δηναρίου μὲν ἀποδόσθαι τὸν χοίνικα τοῦ σίτου, τρεῖς δὲ χοίνικας τῆς κριθῆς, ὡσαύτως δηναρίου, ὡς τοῦ εὐαγγελικοῦ κηρύγματος ἀπορωτέρου ὄντος διὰ τὸ τοῦ βιβλίου ἀκριβές.

ΚΕΦΑΛΑΙΟΝ Ις'

Λύσις τῆς τετάρτης σφραγῖδος, ἐμφαίνουσα τὰς ἐπαγομένας παιδευτικὰς μάστιγας τοῖς δι' ἀνυπομονησίας ἀρνησαμένοις τὸν Κύριον.

7 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν τετάρτην, ἤκουσα
8 τοῦ τετάρτου ζώου, λέγοντος· Ἔρχου καὶ ἴδε. Καὶ ἰδοὺ, ἵππος χλωρὸς, καὶ ὁ καθήμενος ἐπάνω αὐτοῦ, ὄνομα αὐτῷ ὁ Θάνατος· καὶ ὁ ᾅδης ἠκολούθει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῷ (1)· καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ τὸ τέταρτον τῆς γῆς, ἀποκτεῖναι ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ, καὶ ὑπὸ τῶν θηρίων τῆς γῆς.

Τὸ τέταρτον ζῶον, ὁ *ἀετὸς* δηλαδὴ, ὡς ὀξυωπὴς καὶ ὀξὺς πρὸς βορὰν, ἄνωθεν ἥκει ἐκ θεηλάτου ὀργῆς, τὰς πληγὰς ἐπιφέρων πρὸς ἐκδίκησιν τῶν εὐσεβῶν. *Καὶ ἰδοὺ, ἵππος χλωρός.*] *Ὁ χλωρὸς ἵππος*, ὀργῆς σύμβολον, ὡς καὶ ἡ χλόη, ἡ ὑπὸ τῶν ἰατρῶν καλουμένη *χλωρά*· ὁ δέ γε *θάνατος*, καὶ ὁ *ᾅδης* κατεστρατεῦσαι νοητῶς ἔστησαν κατὰ τῶν ἀλιτηρίων δαιμόνων, καὶ δίκην εἰσπράξασθαι τῆς τῶν ἀνθρώπων ἀπωλείας. Οὕπω δὲ τῷ λόγῳ ἡ τελεία καθαίρεσις τῶν δαιμόνων εἰσφέρεται, ἀλλὰ μόνον τετάρτου μέρους· ἐπειδὴ τῷ λόγῳ τῆς μετὰ χεῖρα ὀπτασίας οὕπω κατὰ τὸ τρίτον πάθος ἐπράχθη Χριστοῦ. Τὴν δὲ καθαίρεσιν τροπικῶς, *σφαγὴν* ὀνομάζει· καὶ *λιμὸν*, τῶν πάλαι προσκυνούντων αὐτοῖς τὴν ἔκλειψιν· καὶ τὸν ἀφανισμὸν τῆς τυραννίδος αὐτῶν, διαφθορὰν αὐτῶν ὑπὸ τῶν θηρίων, *θηρία* καλῶν *τῆς γῆς*, τὰς τῶν δαιμόνων καθ' ἡμῶν εἰς φθοροποιὰ πάθη ὀχλήσεις καὶ ἐπαναστάσεις.—ΑΛΛΩΣ ΕΚ ΤΩΝ ΤΟΥ ΑΝΔΡΕΟΥ. Εὐσέβιος δὲ ὁ Παμφίλου ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦ θ΄. λόγου τῆς ἐκκλησιαστικῆς ἱστορίας γράφει τάδε· Ἐν τῇ τῶν διωγμῶν ἀκμῇ, ἐπὶ Μαξιμιανοῦ Ῥωμαίων βασιλεύοντος, ὑπὸ μὲν λιμοῦ καὶ λοιμοῦ κατασκήψαντος αὐτοῖς σὺν ἑτέροις συμπτώμασιν, ἄπειρα πλήθη διεφθείροντο, ὥστε ταφῇ μὴ δύνασθαι παραδίδοσθαι, καίπερ χριστιανῶν τότε φιλοτίμως περὶ τὰς κηδείας ἠσχολημένων, καὶ τῷ φιλανθρώπῳ τοὺς πεπλανημένους ἐναγόντων πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν. Ὑπὸ δὲ Ἀρμενίων ἐπαναστάντων Ῥωμαίοις οὐκ ὀλίγους ἀνῃρῆσθαι ῥομφαίᾳ. Καὶ ὑπὸ κυνῶν δέ φησιν ἀνηλῶσθαι τὰ τῶν θανόντων σώματα, ὡς λοιπὸν τοὺς λειπομένους εἰς κυνοκτο-

(1) Παρ' ἄλλοις, μετ' αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νίαν τραπῆναι, δεδιότας μὴ καὶ αὐτοὶ θανόντες ζῶντας τούτους τάφους κτήσωνται. Οὐκ ἀπεικὸς δὲ τοῖς κυσὶ τῆς αὐτῆς θοίνης καὶ ἀγρίους θῆρας συμμετέχειν διὰ τὸ τῆς τροφῆς ἄφθονον. Καὶ ἐν τῇ ἡμετέρᾳ δὲ γενεᾷ τούτων ἕκαστον συμβὰν ἔγνωμεν ἐκ τῶν νυνὶ φαινομένων.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Λύσις τῆς πέμπτης σφραγῖδος, τὴν τῶν ἁγίων ψυχῶν σημαίνουσα πρὸς Κύριον καταβόησιν, ὥστε γενέσθαι συντέλειαν.

9 Καὶ ὅτε ἤνοιξε τὴν πέμπτην σφραγῖδα, εἶδον ὑποκάτω τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν ἐσφαγμένων διὰ τὸν λόγον τοῦ θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν
10 τοῦ ἀρνίου, ἣν εἶχον· καὶ ἔκραξαν φωνῇ μεγάλῃ, λέγοντες· Ἕως πότε ὁ δεσπότης ὁ ἅγιος καὶ ἀληθινὸς οὐ κρίνεις καὶ ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἐκ
11 τῶν κατοικούντων (1) ἐπὶ τῆς γῆς; Καὶ ἐδόθη αὐτοῖς στολὴ λευκὴ, καὶ ἐρρέθη αὐτοῖς, ἵνα ἀναπαύσωνται ἔτι χρόνον μικρὸν, ἕως οὗ πληρώσονται (2) καὶ οἱ σύνδουλοι αὐτῶν, καὶ οἱ ἀδελφοὶ αὐτῶν, οἱ μέλλοντες ἀποκτείνεσθαι ὡς καὶ αὐτοί.

Τῆς πέμπτης σφραγῖδος τὴν λύσιν, οἱ τὴν τῶν προειρημένων τεσσάρων εἰς τὰ τοῦ Χριστοῦ πάθη καὶ τὰ τῆς σωτηρίου ἡμῖν ἐνανθρωπήσεως οἰκονομικῶς τελεσθέντα προσνέμοντες, ὡς ἤδη παρεθέμεθα, καὶ ταύτην εἰκότως τὴν καταβόησιν τοῖς προτελειωθεῖσιν ἐφαρμόζουσι προφήταις καὶ θεοσόφοις ἀνδράσι, τὴν

(1) Ἀπὸ τῶν (2) Ἕως πληρώσωσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ Χριστοῦ ἐπιδημίαν ποθοῦσι, καὶ τὴν ἀναβολὴν αὐτῆς δυσχεραίνουσι, τῆς θείας μακροθυμίας καταβοῶσι τῆς μέχρι σταυροῦ παραταθείσης, πρὸς ἐκδίκησιν ἧγουν τῶν πονηρῶν ἀνθρώπων καὶ ἀσεβῶν, ἢ καὶ τῶν δαιμόνων, τούτους ἐκβακχευσάντων ἐπὶ τὰ τοιαῦτα παραχωρῆσαι τῶν ὁμοφύλων καὶ ὁμογενῶν ἀδικήματα, καὶ ταῦτα δι' εὐσέβειαν πάσχειν ἀνασχομένων. Μέχρι γὰρ τοῦ σωτηρίου πάθους τοῦ διὰ σταυροῦ, οὐκ ἦν οὕτω πρόδηλος ἡ κατὰ τῶν ἀσεβῶν ἐκδίκησις ἐκ θεοῦ συντελουμένη· ἀπὸ δὲ τούτου τὰ μυρία πάθη ὑπέλαβον, εἴγε πίστεως Ἰώσηπος ἄξιος, ὁ οὐ μόνον Ἰουδαίους ἱστορήσας, ἀλλὰ καὶ Ἕλληνας λοιμοῖς καὶ λιμοῖς καὶ στάσεσι ταῖς καταλλήλων δαπανηθέντας, ὡς πρὸ μικροῦ παρεθέμεθα. *Εἶδον ὑποκάτω τοῦ θυσιαστηρίου.*] *Θυσιαστήριον* εἰκότως, τὸ ἀνενδεὲς ὂν τῆς δι' αἱμάτων ἁγιστίας, καὶ τὰ θύματα τὰ ὑποκάτω αὐτοῦ, ἅτε περίγεια καὶ τῆς θνητῆς οὐσίας ὄντα, ἀφωρίσατο, τόπῳ αὐτῷ τὴν ἀπὸ τῶν θυμάτων ἐξατμιζομένην θεάρεστον ἀναλαμβανόμενον εὐωδίαν, οὐκ αἰσθητὴν, ὅτι μηδὲ αἰσθήσει ὑποβαλλομένην, εἰ καὶ αἰσθητὴ ἡ ἀναπεμπομένη ἀπὸ τῶν θυμάτων ἀνάδοσις, καταλλήλως δὲ νοήσει μόνῃ θεωρητὴν τούτοις, καὶ ὅσοις τῶν ἀγαθῶν ἀγώνων συντελείᾳ τὸ εὐαπόδεκτον ἀποφέρεται. Ἐντεῦθεν καὶ τοῖς κατὰ Χριστὸν, ἢ μετὰ Χριστὸν τὸ εὐδόκιμον ἀπενεγκαμένοις οἰκειότερον τὰ τῆς σφραγῖδος τῆς λύσεως προσλογίζεται, ἢ τοῖς πρὸ τῆς Χριστοῦ παρουσίας ὑπὲρ τοῦ εὐσεβοῦς τῆς Παλαιᾶς λόγου. *Ἕως πότε ὁ δεσπότης.*] Οὐ κατὰ τῶν ἀνθρώπων ἡ ἐκδίκησις ἀναβάλλεται· (οὐ γὰρ τοῦτο ἄξιον τῆς ἀγάπης κατὰ τῶν ὁμογενῶν ἐπανίστασθαι)· κατὰ δὲ τῶν δαιμόνων ταύτην ἀπαιτοῦσιν οἱ ἅγιοι, τῶν ἐναγόντων τοὺς ἀνθρώπους εἰς τὴν ἑαυτῶν ἀναίρεσιν. Εἶτα λαμβάνουσι πρῶτον *στολὴν λευκὴν*, καὶ ἐπὶ ταύτῃ τῇ στολῇ καὶ γνῶσιν τῆς ὑπερθέσεως, οὐκ ἀδοκιμάστως, εἰμὴ καὶ λελογισμένως ἄγαν.— ΚΑΙ ΑΛΛΩΣ ΕΚ ΤΩΝ ΤΟΥ ΑΝΔΡΕΟΥ. Καὶ διὰ τούτων τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ κόσμου συντέλειαν αἰτούμενοι φαίνονται οἱ ἅγιοι· διὸ καὶ μακροθυμεῖν ἄχρι τῆς τῶν ἀδελφῶν τελειώσεως κελεύονται, ἵνα μὴ χωρὶς αὐτῶν τελειωθῶσι, κατὰ τὸν θεῖον ἀπόστολον(α). Ἡ δὲ λευκὴ στολὴ, τὴν ἐπανθοῦσαν αὐτοῖς τῶν ἀρετῶν ἐμφαίνει λαμπρότητα, ἣν ἀμφιέννυνται, εἰ καὶ μήπω τὰς ἐπαγγελίας ἐκομίσαντο, τῇ γοῦν ἐλπίδι τούτων, ἅπερ νοερῶς ἐνοπτρίζονται, πάσης ἀπηλλαγμένοι παχύτητος, εἰκότως εὐφραίνονται τοῖς κόλποις Ἀβραὰμ ἐπαναπαυόμενοι. Πολλοῖς γὰρ τῶν ἁγίων τοῦτο εἴρηται, τὸ χώρους ἀξίους εἰληφέναι τῶν τῆς ἀρετῆς ἐργατῶν ἕκαστον, δι' ὧν καὶ περὶ τῆς μελλούσης αὐτῶν δόξης τεκμαίρονται. — *Καὶ ἐδόθη αὐτοῖς στολὴ λευκή.*] *Ἡ λευκὴ στολὴ*, αἴνιγμα τοῦ κεκαθάρθαι αὐτοὺς τῷ οἰκείῳ αἵματι καὶ πάντα ἀποθέσθαι ῥύπον· ἅμα δὲ καὶ τοῦτο τῆς λευκότητος τῆς στολῆς ὑποφαινούσης, ὡς οὐ χρὴ τοὺς προφανῶς καὶ μετὰ λαμπρότητος παῤῥησιασαμένους τὴν Χριστοῦ ὁμολογίαν, δι' ἣν καὶ τοῦ φθαρτοῦ ἠνέσχοντο καρτερικῶς ἐκβῆναι κόσμου, νῦν ἀφθάρτῳ βίῳ καὶ ἀμόχθῳ προσορμισθέντας, ὥσπερεὶ κόρον τούτου λαβόντας, ἀνασείρασιν ἐκ κόρου λαβεῖν. Ἀφ' οὗ καὶ ἡ τῶν ἀγγέλων εἰς τὰ αἰώνια παράκυψις ἀγαθὰ (β), τινὶ τῶν θεοφορουμένων παρείληπται δι' ἐπιθυμίας εἶναι· ὡς διὰ τῆς παρακύψεως τι ἂν ἄλλο ζητήσαντες, ἢ τὸ καὶ μικρὰν αὐτῶν γνῶσιν λαβεῖν ἐν ἀδιαλείπτῳ ἐφέσει προσλιπαροῦνται;

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Λύσις τῆς ἕκτης σφραγῖδος, τὰς ἐν τῇ συντελείᾳ ἐπαγομένας πληγὰς ἐπισημαίνουσα.

(α) Ἑβρ. ΙΑ', 40. (β) Α Πετρ. Α', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

12 Καὶ εἶδον, ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἕκτην, καὶ σεισμὸς μέγας ἐγένετο, καὶ ὁ ἥλιος μέλας ἐγένετο, ὡς σάκκος τρίχινος, καὶ ἡ σελήνη ὅλη ἐγέ-
13 νετο ὡς αἷμα· καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσον εἰς τὴν γῆν, ὡς συκῆ βάλλει τοὺς ὀλύνθους αὐτῆς, ὑπὸ ἀνέμου μεγάλου σειομένη.

Ἡ τῆς ἕκτης σφραγῖδος λύσις, τελεωτάτην ἡμῖν τὴν σωτηρίαν εἰργάσατο. Κατὰ ταύτην γὰρ ὁ Χριστὸς τὸν θάνατον κατέλυσε, τὴν ζωὴν ἐπανήγαγε, τὸν νικητὴν τῶν ἀνθρώπων ἀπεστεφάνωσε θριαμβεύσας, κατὰ τὸ γεγραμμένον· *Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν* (α). Τίς δὲ ἡ λύσις τῆς ἕκτης σφραγῖδος; Ὁ σταυρὸς τοῦ Κυρίου καὶ ὁ θάνατος, οἷς ἠκολούθησεν ἡ εὐκταῖα πᾶσι, πιστοῖς τε καὶ αἰσθητοῖς, ἀνάστασις, ἥπερ οὐ μόνον τοὺς ζῶντας, ἀλλὰ καὶ τοὺς προκεκοιμημένους εὐηργέτησε. *Καὶ σεισμὸς μέγας ἐγένετο.*] Σαφῶς τὰ ἐπὶ τοῦ σταυροῦ γεγενημένα σημεῖα ἡ ὀπτασία ἡμῖν ἀναζωγραφεῖ, τὸν σεισμὸν καὶ τὸν κλόνον τῆς γῆς, τὸ τοῦ ἡλίου σκότος καὶ τῆς σελήνης ὅλης τὴν εἰς αἷμα μεταβολήν. Πάνυ δὲ ἀκριβῶς ἐπὶ τῆς σελήνης τὸ, *ὅλη*, δεδήλωται. Πλησιφαὴς γὰρ οὖσα, ἅτε τεσσαρεσκαιδεκαταία οὖσα, καὶ κατὰ διάμετρον ἀφεστῶσα τοῦ ἡλίου, πῶς οἵά τε τὸν ἥλιον τῇ ἑαυτῆς ὑποδρομῇ σκοτίσαι; Οὕτω γὰρ τὴν ἡλιακὴν ἔκλειψιν φασὶ γίνεσθαι οἱ ταύτης τὴν σχολὴν πεποιημένοι. Πῶς δὲ πάλιν δυνατὸν τὴν σελήνην ἐν τῷ ἡμερινῷ καταστήματι τοιαύτην φανῆναι; Ἀφ' οὗ καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης εἰς θεοσημείαν ἀναφέρει τὸ ἐπὶ τοῦ σταυροῦ συμβὰν τῷ ἡλίῳ, οὐκ εἰς εἰωθὸς πάθος τοῖς κατ' οὐρανὸν σώμασι. Τινὲς δὲ ταῦτα εἰς τὴν ὑπὸ Οὐεσπασιανοῦ γενομένην πολιορκίαν ἐξέλαβον ἅπαντα, τῶν εἰρημένων ἕκαστον τροπολογήσαντες. Οἱ δὲ πλεῖστοι τῶν ἑρμηνευτῶν, *σεισμὸν* τὴν μετά-

(α) Ψαλμ. ΞΖ', 19. Ἐφεσ. Δ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βασιν ἐνταῦθα εἰρήκασι, τὴν ἀπὸ τῶν ἐν τοῖς διὰ Χριστὸν διωγμοῖς χρόνων γενομένην εἰς τὸν κατὰ τοῦ Ἀντιχρίστου καιρὸν, *σεισμὸν* εἰωθυίας τῆς Γραφῆς καλεῖν τὴν τῶν πραγμάτων μετάβασιν, ὥσπερ τό· *Ἔτι ἅπαξ ἐγὼ σείσω* (α)· δηλοῖ γὰρ τὴν τῶν σαλευομένων μετάθεσιν, ὡς ὁ θεῖος φησὶ Παῦλος (β). Καὶ ἐν τῇ Παλαιᾷ ἡ ἀπὸ Αἰγύπτου τῶν Ἰσραηλιτῶν ἔξοδος, *σεισμὸς* εἴρηται, καθὼς καὶ Δαυὶδ φησι· *Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν* (γ). Τοσαύτας γὰρ θλίψεις γενέσθαι φασὶν, οἵας οὐδέπω γεγενημένας ἔγνωμεν, σοφῶς τοῦτο προειρηκότες πρὸς τὸ προμεμελετηκέναι ταῦτα τοὺς ἀνθρώπους, τοῦ μὴ ἀπειπεῖν πρὸς τὰς ἐπαγομένας τοῦ Ἀντιχρίστου κολάσεις. Τὸ δὲ *μέλαν* τοῦ ἡλίου, καὶ τῆς σελήνης τὸ ἀφεγγὲς καὶ αἱματῶδες, τὸ τοῖς καταλειφθεῖσιν ὑπὸ τῆς θείας ὀργῆς ἀφώτιστον ἐνδείκνυται. Τὸ δὲ *πεσεῖν τοὺς ἀστέρας*, τὸ καὶ τοὺς φωστῆρας δοκοῦντας εἶναι ἐν κόσμῳ πίπτειν ὡς τοῖς γινομένοις ἀποκλίζοντας. Διὸ καὶ τοῖς ἀτελέσι τῆς συκῆς καρποῖς, τοῖς ὀλύνθοις δηλαδὴ, ἀπεικάσθησαν.

14 Καὶ οὐρανὸς ἀπεχωρίσθη ὡς βιβλίον ἑλισσόμενος,
καὶ πᾶν ὄρος καὶ νῆσος ἐκ τῶν τόπων αὐτῶν ἐκι-
15 νήθησαν· καὶ οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ μεγιστά-
νες, καὶ οἱ χιλίαρχοι, καὶ οἱ πλούσιοι, καὶ οἱ ἰσχυ-
ροὶ, καὶ πᾶς δοῦλος καὶ πᾶς ἐλεύθερος ἔκρυψαν
ἑαυτοὺς εἰς τὰ σπήλαια καὶ εἰς τὰς πέτρας τῶν
16 ὀρέων· καὶ λέγουσι τοῖς ὄρεσι καὶ ταῖς πέτραις·
Πέσετε ἐφ' ἡμᾶς, καὶ κρύψατε ἡμᾶς ἀπὸ προσώπου
τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ ἀπὸ τῆς ὀργῆς
17 τοῦ ἀρνίου· ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀρ-
γῆς αὐτοῦ· καὶ τίς δύναται σταθῆναι;

Τὸ *τὸν οὐρανὸν εἱλίσσεσθαι ὡς βιβλίον*, ἢ τὸ ἁπλῶς τὸ τῆς δευτέρας Χριστοῦ παρουσίας ἄγνωστον αἰνίττεται· ἀψοφητὶ γὰρ, καὶ ἐν ἀκαρεῖ ἡ βίβλος ἀνοίγεται· ἢ ὅτι καὶ αἱ οὐράνιαι δυνάμεις τοῖς

(α) Ἀγγ. Β', 6. (β) Ἑβρ. ΙΒ', 26. 27. (γ) Ψαλμ. ΞΖ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκπίπτουσι τῆς πίστεως συναλγοῦσαι, οἱονεὶ ἐλιγμόν τινα, καὶ λύπην ἔξουσι. Διὰ τούτου δὲ καὶ ἕτερον ὁ τοῦ βιβλίου ἐλιγμὸς νοεῖν ὑποβάλλεται, τὸ μὴ δηλαδὴ ἀφανισμὸν τέλεον τὸ οὐρανοῦ ὑφίστασθαι σῶμα, ὡς φησι καὶ Εἰρηναῖος ὁ Λουγδούνου, ἐν πέμπτῳ λόγῳ τοῦ ἐλέγχου τῆς ψευδωνύμου γνώσεως, ἐπὶ λέξεως οὕτως· «Οὐ γὰρ ἡ ὑπόστασις, οὐδὲ ἡ οὐσία τῆς κτίσεως, ἐξαφανισθήσεται· (ἀληθὴς γὰρ καὶ βέβαιος ὁ αὐτὴν συστησάμενος·) ἀλλὰ τὸ σχῆμα παράγει τοῦ κόσμου τούτου (α), ἐν οἷς καὶ ἡ παράβασις ἐγένετο, ὡς οἱ πρεσβύτεροι λέγουσι.» Διὸ καὶ ὁ Δαυίδ· *Ἀνακαινιεῖς*, φησὶ, *τὸ πρόσωπον τῆς γῆς* (β), ἀλλ' οὐκ, ἀλλάξεις. Ἡγούμεθα δὲ καὶ τῇ ἀρχαίᾳ συνηθείᾳ χρήσασθαι τὸν ἀπόστολον· εἰλιταρίοις γὰρ οἱ Ἑβραῖοι ἀντὶ τῶν παρ' ἡμῖν βιβλίων ἐκέχρηντο· ὧν ἡ ἀνειλιξις οὐκ ἀφανισμὸν, ἀλλὰ τῶν γεγραμμένων φανέρωσιν ἀπειργάζετο. *Καὶ πᾶν ὄρος καὶ νῆσος.*] *Ὄρη* καὶ *νήσους*, τὰ τῶν ὑψηλοφρόνων δαιμόνων καλεῖ συστήματα, κατὰ τὸ γεγραμμένον περὶ αὐτῶν· *Καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν* (γ), οἱονεὶ ἐν τοῖς τοῦ ἐνεστῶτος βίου ἀλμυροῖς περισπασμοῖς, τούτους περισοβοῦντα τοὺς ὀλιγοψύχους πρὸς τὸ ἑαυτῶν ψυχόλεθρον περισπούδασμα. Καὶ *νήσους* δὲ τοὺς αὐτοὺς καλεῖ, ὡς ἐν ταῖς ἤδη εἰρημέναις περικλύσεσι τῶν βιωτικῶν συμφορῶν ἡμῖν ἐνοχλήσαντας. Οὗτοι γὰρ δημιουργοὶ τοῦ τὰς κατὰ θεὸν ἡμῶν εὐκλείας ἐμποδοστατεῖν. *Καὶ οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ μεγιστάνες.*] *Βασιλεῖς τῆς γῆς*, καὶ *μεγιστάνας*, καὶ πᾶσαν τὴν τοιαύτην τερθρείαν, τοὺς αὐτοὺς καὶ τὸν κατάρχοντα αὐτῶν σατανᾶν νοήσεις, κατάρξαντας τῶν περιγείων δι' ἀπάτης καὶ δόλου· *δούλους* δὲ καὶ *ἐλευθέρους*, τοὺς ἐν τοῖς δαίμοσι προὔχοντας καὶ ὑποτεταγμένους. Διὸ καὶ τὸ ἐγκελεύειν κατασπεύδειν τὰ ὄρη

(α) Α' Κορ. Ζ', 31.
(β) Ψαλμ. ΡΓ', 30.
(γ) Ψαλμ. ΜΕ', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξ αἰτήσεως πεσεῖν ἐπ' αὐτοὺς κρύψεως χάριν, τροπικῶς εἴρηται· αἰνίττεται γὰρ φυγάδας αὐτοὺς γενέσθαι ἀπὸ τῆς ἐπαχθησομένης αὐτοῖς ὑπὸ Χριστοῦ κολάσεως. Εὑρήσεις δὲ καὶ ἄλλως ἑρμηνευθέντα ταῦτα ἐν τοῖς κάτω. *Πέσετε ἐφ' ἡμᾶς.*] Ἡ πρὸς τὰ ὄρη δέησις τίνων; τῶν μὴ ἐποικοδομησάντων τῇ πίστει τὸ τίμιον τῶν ἔργων καὶ δογμάτων, ἀλλὰ ξύλα καὶ χόρτον, ἃ μηδὲ πυρὸς τοῦ τυχόντος ὑπομὴν οἵάτε ὑπενεγκεῖν, μὴ ὅτι πυρὸς ἀπειλήν (α)· *πῦρ γὰρ*, ὡς φασιν, *ὁ θεὸς κατανάλισκον* (β)· καὶ μάλισθ' ὅταν ἐκ τῆς καταφρονήσεως ἀναφλέγηται τῶν αὐτοῦ προσταγμάτων, καὶ ἐκ παραλογισμοῦ τῆς τοῦ υἱοῦ αὐτοῦ ἀνυπερβλήτου συμπαθείας. *Ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς αὐτοῦ.*] Ἐπὶ τῆς συντελείας μεθ' ὑπερβολῆς ἀνυπερθέτως, οὐκ ἐν μέρει, ἀλλ' ἐν παντὶ τῷ κόσμῳ συμβήσεται θλῖψις ὑπερβολικὴ τῇ τοῦ Ἀντιχρίστου ἐπιδημίᾳ, ἐν ᾗ τοῖς κατ' ἐξοχὴν εἴτε κοσμικῆς ἐξουσίας, οὓς διὰ τοῦ *βασιλεῖς* ἐδήλωσεν, εἴτε ἐκκλησιαστικῆς εὐταξίας, οὓς *ὄρη* καὶ *νήσους* τροπικῶς ὠνόμασε, τούτοις, φημί, ἅπασιν ἐκείνη ἡ φοβερὰ θλῖψις ἐπενεχθήσεται. *Ὄρη* δὲ καὶ *νήσους*, οὐχ ὁπλῶς τοὺς τῶν ἐκκλησιῶν προϊσταμένους ὑπελάβομεν, ἀλλ' ὅπερ καὶ παρὰ τῷ Ἡσαΐᾳ εὕρηται γραφόμενον, τὰς *ἐγκαινιζομένας νήσους* (γ), αἳ δὴ φεύξονται, τόπον ἐκ τόπου ἀμείβουσαι διὰ τὸν ψευδόχριστον. Τίνες δὲ οἱ *βασιλεῖς τῆς γῆς*, καὶ οἱ *μεγιστᾶνες* τε καὶ *χιλίαρχοι*, καὶ πᾶς *δοῦλός* τε καὶ *ἐλεύθερος*, ἀλλ' ἢ οἱ τῶν γηΐνων κατεξουσιάζοντες καὶ μηδὲν τοῦ ἐν οὐρανοῖς πολιτεύματος πεφροντικότες; *Δοῦλοι* δὲ, οἱ τῇ ματαιότητι τοῦ παρόντος κόσμου δεδουλωμένοι· ὥσπερ καὶ *ἐλεύθεροι*, οἱ τῆς Χριστοῦ ἀφηνιάσαντες δουλείας, καὶ ἀνέτως βιοῦν αἱρετισάμενοι.

ΚΕΦ. VII, 1 Καὶ μετὰ τοῦτο εἶδον τέσσαρας ἀγγέλους ἑστῶτας ἐπὶ τὰς τέσσαρας γωνίας τῆς γῆς,

(α) Α' Κορ. Γ', 12—15. (β) Δευτ. Δ', 24, Ἑβρ. ΙΒ', 29.
(γ) Ἡσ. ΜΑ', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρατοῦντας τοὺς τέσσαρας ἀνέμους τῆς γῆς, ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς, μήτε ἐπὶ τῆς θα-
2 λάσσης, μήτε ἐπὶ πᾶν δένδρον. Καὶ εἶδον ἄγγελον ἄλλον ἀναβαίνοντα ἀπὸ ἀνατολῆς ἡλίου, ἔχοντα σφραγῖδα θεοῦ ζῶντος· καὶ ἔκραξε φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις, οἷς ἐδόθη αὐτοῖς ἀδικῆ-
3 σαι τὴν γῆν καὶ τὴν θάλασσαν, λέγων· Μὴ ἀδικήσητε τὴν γῆν, μήτε τὴν θάλασσαν, μήτε τὰ δένδρα, ἄχρις οὗ σφραγίσωμεν τοὺς δούλους τοῦ θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν.

Ἐντεῦθεν λοιπὸν δείκνυται τῷ εὐαγγελιστῇ τὰ μεταστάντα σαφῶς Ἰουδαίους ἐν τῷ πρὸς Ῥωμαίους πολέμῳ, ἀντάμειψις ὄντα τῶν τοῦ Κυρίου παθῶν. Οἱ γὰρ *τέσσαρες ἄγγελοι* ἐρρούρουν τὰς τέσσαρας γωνίας τῆς Ἰουδαίων γῆς, δειλίαν αὐτοῖς ἐμβάλλοντες φυγῆς, ἢ δυσχερείας τινὰς, ἢ ἐξώριον πάθος πατρίδος, γυναικῶν τε φιλτάτων· ἅτινα τροπικῶς διασημαίνεται κρατεῖσθαι τῆς Ἰουδαίας· ἀλλά γε δὴ καὶ τοὺς ἀνέμους κεκωλύσθαι, ἐφ' ᾧτε μὴ πεσεῖν μήτε ἐπὶ τῆς γῆς μήτε ἐπὶ τῆς θαλάσσης, ἐπὶ τῷ μηδεμίαν αὐτοὺς ἀναψυχὴν εὑρέσθαι ἐν τῷ πρὸς Ῥωμαίους πολέμῳ· μήτε τοὺς γεωργοὺς τοὺς ἐπιμελείᾳ φυτῶν προσανέχοντας· ἐπεὶ καὶ τὰ δένδρα τῆς ἀπὸ τῶν ἀνέμων ἀποσείσεως ἀπολαύοντα ἀναψύχεται· μήτε τοὺς πεζομαχοῦντας, μήτε τοὺς ναυμαχοῦντας· ἐπεὶ καὶ ἐναυμάχησαν κατὰ τὸν Ἰώσηπον· πάντα γὰρ αὐτοὺς κατέλαβε τα κακά. Ἀλλ' εἰ καὶ ταῦτα οὕτω δικαιότερον, ὅμως ἐπιτευκτικώτερον τοῦτο κατὰ τὴν τοῦ Ἀντιχρίστου ἐπέλευσιν γενήσεται, οὐκ ἐν μέρει τῆς Ἰουδαίων γῆς, ἀλλ' ἐν πάσῃ τῇ οἰκουμένῃ· ἣν καὶ ἔλαχον κατὰ τὰς τέσσαρας γωνίας, ἀνατολῆς, ἄρκτου, δύσεως καὶ μεσημβρίας, τὰ λειτουργικὰ πνεύματα, ὡς πληροῦντα τὰς διακονίας. Ἡ δὲ τῶν ἀνέμων ἐποχὴ, προδήλως λύσιν εὐταξίας, καὶ τὸ τῶν κακῶν ἀδιάδραστον ἐμφαίνει· δι' ἀνέμων γὰρ καὶ θάλασσα πλεῖται πρὸς τὴν ἀνθρώπων δουλείαν. *Ἄγγελον ἄλλον ἀναβαίνοντα*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπὸ ἀνατολῆς ἡλίου.] Τὸ μὲν ἀπὸ τῆς ἀνατολῆς ἡλίου, ἀλλὰ μὴ ἀπὸ δυσμῶν καὶ τῆς ἑσπέρας, παραγίνεσθαι τὸν θεῖον ἄγγελον, ἀγαθοεργίαν αἰνίττεσθαι καὶ σημαίνειν δοκεῖ, ἣν ὁ μὲν προπάτωρ τοῦ Κυρίου ἐν πνεύματι θεωρῶν, *Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε*, ἔλεγε (α). Καλῶς δὲ καὶ τὸ μηδένα τέως ἀδικηθῆναι κελεύει, ἄχρις οὗ σφραγισθῶσιν οἱ τοῦ διασωθῆναι ἄξιοι τῶν Ἰουδαίων, ὡς ἂν μὴ οἱ δίκαιοι τὰ ὅμοια πάθοιεν τοῖς ἐν ἀνομίᾳ, τῇ κατὰ Χριστοῦ, ἐκτείνασι τὰς χεῖρας αὐτῶν ἀδίκως. Εἰ δὲ ταῦτα οὕτως, ἀλλ' οὖν, ὡς εἴρηται, ἐν τῷ καιρῷ τῆς ἐπελεύσεως τοῦ Ἀντιχρίστου ἡ σφραγὶς τοῦ ζωοποιοῦ σταυροῦ ἐκδηλοτέρους ἀποφανεῖ τοὺς τοῦ ἁγίου βαπτίσματος ἐπιφερομένους σημείωσιν· Χριστοῦ γὰρ κλῆρος οὗτοι. *Μὴ ἀδικήσητε.*] Ἡ κτίσις, ὡς δι' ἡμᾶς γεγενημένη, παιδευομένοις ἡμῖν κοινωνεῖ ἐπὶ ταῖς μάστιξιν, ὥσπερ καὶ δοξαζομένοις τοῖς ἁγίοις συμφαιδρύνεται. Ἐκ τούτου δὲ μανθάνομεν, καὶ τοὺς κατ' ἀρετὴν βιοῦντας πρὸς συνεργίαν δεῖσθαι τῆς ἀγγελικῆς βοηθείας πρὸς τὰς τῶν πειρασμῶν ἐπιφοράς.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῶν σωζομένων ἐκ τῆς πληγῆς τῶν τεσσάρων ἀγγέλων χιλιάδων ρμδ'.

4 Καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων· ἑκατὸν τεσσαρακοντατέσσαρες χιλιάδες ἐσφραγισμένοι
5 ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ· ἐκ φυλῆς Ἰούδα, δώδεκα χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Ῥουβήν, δώδεκα χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς
6 Γάδ, δώδεκα χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Ἀ-

(α) Ψαλμ. Δ', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σὴρ, δώδεκα χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Νε-
φθαλείμ, δώδεκα χιλιάδες ἐσφραγισμένοι· ἐκ φυ-
7 λῆς Μανασσῆ, δώδεκα χιλιάδες ἐσφραγισμένοι· ἐκ
φυλῆς Συμεών, δώδεκα χιλιάδες ἐσφραγισμένοι· ἐκ
φυλῆς Λευΐ, δώδεκα χιλιάδες ἐσφραγισμένοι· ἐκ
8 φυλῆς Ἰσάχαρ, δώδεκα χιλιάδες ἐσφραγισμένοι· ἐκ
φυλῆς Ζαβουλών, δώδεκα χιλιάδες ἐσφραγισμένοι· ἐκ
φυλῆς Ἰωσὴφ, δώδεκα χιλιάδες ἐσφραγισμένοι· ἐκ
φυλῆς Βενιαμὶν, δώδεκα χιλιάδες ἐσφραγισμένοι.

Πολλοὶ γὰρ ἦσαν, καὶ ἀριθμὸν ὑπερβάλλοντες, οἱ Χριστῷ πι-
στεύσαντες ἐκ τῶν Ἰουδαίων· καὶ μάρτυρες οἱ Παύλῳ τῷ θείῳ,
ἐν Ἱερουσαλὴμ γενομένῳ, λέγοντες· *Θεωρεῖς, ἀδελφὲ, πόσαι*
μυριάδες εἰσὶ τῶν πεπιστευκότων Ἰουδαίων (α); Τούτους δὲ
μὴ μετασχεῖν τῆς ὑπὸ Ῥωμαίων πανωλεθρίας, ὁ χρηματίζων
τῷ εὐαγγελιστῇ φησιν· οὕπω γὰρ ἡ ὑπὸ Ῥωμαίων ἀπώλεια
Ἰουδαίους κατειλήφει, ὅτε καὶ οὗτος ὁ εὐαγγελιστὴς ἐχρησμῳ-
δεῖτο ταῦτα· καὶ οὐκ ἐν Ἱερουσαλὴμ, ἀλλ' ἐν Ἰωνίᾳ κατὰ τὴν
Ἔφεσον. Μετὰ γὰρ τὸ πάθος τοῦ Κυρίου δέκα καὶ τέσσαρα
μόνα ἔτη προσήδρευσεν ἐν Ἱερουσαλὴμ, ὅσα καὶ τὸ θεοδόχον
τῆς τοῦ Κυρίου μητρὸς σκῆνος τῇ ἐγκαίρῳ ταύτῃ ζωῇ μετὰ τὸ
πάθος καὶ τὴν ἀνάστασιν τοῦ ἀφθόρου τόκου αὐτῆς διετηρήθη·
ἢ καὶ συμπαρῆν, ἅτε μητρὶ ὑπὸ τοῦ Κυρίου αὐτῷ παραδεδο-
μένη. Μετὰ γὰρ τὴν ἀποβίωσιν ταύτης, οὐκέτι τῇ Ἰουδαίᾳ ἐμ-
φιλοχωρῆσαι, ἀλλὰ πρὸς Ἔφεσον μεταστῆναι αὐτὸν λόγος· καθ'
ἣν, ὡς εἴρηται, καὶ τὰ τῆς προκειμένης Ἀποκαλύψεως ἐνεργη-
θῆναι, τῶν μελλόντων οὖσαν δήλωσιν· καθότι μετὰ τὸ τεσ-
σαρακοστὸν ἔτος τῆς ἀναλήψεως τοῦ Κυρίου κατὰ τῶν Ἑβραίων
ἡ θλῖψις συνηνέχθη. Ὅτι δὲ καὶ ἀριθμοῦ κρείττονες οἱ διασωθέν-
τες, δῆλον· οὐ μόνον γὰρ οἱ πιστοὶ διέφυγον τὸν ὄλεθρον τὸν
ὑπὸ Ῥωμαίων, ἀλλὰ καὶ οἱ ἐν ἀγνοίᾳ τῷ σταυρῷ τοῦ Κυρίου

(α) Πραξ· ΚΑ', 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συνηργηκότες. Ἡ μέντοι ἀκρίβεια τῆς ἐξ ἑκάστης φυλῆς ἰσότητος, ἐμφαίνειν δοκεῖ τὸν πολυπλασιασμὸν τοῦ ἀποστολικοῦ σπόρου, δωδεκάκις δώδεκα πολυπλασιαζομένου ἐπὶ τὸν τέλειον τῶν χιλιάδων ἀριθμὸν, καὶ οὕτω τὰς ῥηθείσας χιλιάδας ἀποτελοῦντος. Ἐπισημαντέον δὲ τοῦτο, ὡς ἡ φυλὴ τοῦ Δὰν, διὰ τὸ ἐξ αὐτῆς τὸν Ἀντίχριστον τίκτεσθαι, ταῖς λοιπαῖς οὐ συντέτακται· ἀλλ' ἀντ' αὐτῆς ἡ τοῦ Λευΐ, ὡς ἱερατικὴ πάλαι εἰς μερισμὸν ἐρχομένη. Τὸν δὲ Ἰωσὴφ ἀντὶ τοῦ Ἐφραΐμ, τοῦ υἱοῦ αὐτοῦ, τέθεικε. Οὐκ ἄκαιρον δὲ μνησθῆναι καὶ τῶν ὀνομάτων ἑκάστου τῶν φυλάρχων. Αὐτίκα γὰρ τὴν ἐξ Ἰούδα φυλὴν, ὃς *ἐξομολόγησις* ἑρμηνεύεται, αἰνίττεσθαι λέγομεν τοὺς διὰ μετανοίας καὶ ἀγάπης τῆς πρὸς τὸν ἐξ αὐτοῦ βλαστήσαντα Χριστὸν σωζομένους. Τὴν δὲ τοῦ Ῥουβὴν, τοῦ δηλοῦντος, *ὁρῶντα υἱὸν*, ἢ, *υἱὸν ὁράσεως*, τοὺς καθαροὺς τῇ καρδίᾳ καὶ ὁρῶντας τῷ πνεύματι. Τὴν δὲ τοῦ Γὰδ, ὃ δηλοῖ *πειρασμὸν*, ἢ, *πειρατήριον*, τοὺς διὰ θλίψεων καὶ πειρασμῶν ὡς χρυσὸν πεπυρωμένους τῷ δοκιμίῳ τῆς πίστεως. Τὴν δὲ τοῦ Ἀσὴρ, δι' οὗ *μακαρισμὸς* σημαίνεται, τοὺς τῇ τηρήσει τῶν θεοδιδάκτων μακαρισμῶν τῆς ἀλήκτου τευξομένους μακαριότητος. Τὴν δὲ τοῦ Νεφθαλεὶμ, ἑρμηνευομένου *συνετοῦ*, ἢ, *στελέχους ἐξημμένου*, τοὺς ἐπερειδομένους αὐτῷ, ὅς ἐστιν ὁ σταυρὸς τοῦ Χριστοῦ, καὶ ἐστεφανωμένους μετὰ συνέσεως, καὶ ἐν ἐκείνῳ τοὺς δαίμονας κερατίζοντας. Τὴν δὲ τοῦ Μανασσῆ, ὃς *ἀπὸ λήθης* ἑρμηνεύεται, τοὺς ἐπιλανθανομένους τῶν πατρίων διὰ Χριστὸν κατὰ τό· *Ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου* (α). Τὴν δὲ τοῦ Συμεὼν, ὅπερ *ἐπακουσμὸν* δηλοῖ, τοὺς τῶν θείων ἐντολῶν ὑπακούοντας δι' ἀγαθῶν καὶ καθαρῶν πράξεων. Τὴν δὲ τοῦ Λευΐ, ὃς *προειλημμένον* σημαίνει, τοὺς ὑπὸ θεοῦ προειλημμένους εἰς ἐκλογὴν, κατὰ τὸ ψαλμικὸν λόγιον,

(α) Ψαλμ. ΜΔ', 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐν ταῖς θείαις ἐγκατασκηνοῦν μέλλοντας αὐλαῖς (α). Τὴν δὲ τοῦ Ἰσάχαρ, ὅπερ ἐστὶ *μισθὸς*, τοὺς τὰς ἀρετὰς πρὸς τῶν μελλόντων ἐπάθλων τὴν λῆψιν εἰς μισθὸν ὁριζομένους. Τὴν δὲ τοῦ Ζαβουλὼν, ὅπερ ἑρμηνεύεται *ῥύσις προσειλημμένη*, τοὺς τὸν πλοῦτον τοῖς πτωχοῖς ἀπονέμοντας, καὶ ὑπὸ Χριστοῦ προσλαμβανομένους. Τὴν δὲ τοῦ Ἰωσὴφ, ὅπέρ ἐστιν *ἀγαθῶν προσθήκη*, τοὺς ἐν προσθήκης μέρει πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν ἀναληφθέντας, καὶ τὰ χρειώδη τοῦ βίου παρὰ τοῦ ἀψευδοῦς δεσπότου λαμβάνοντας. Τὴν δὲ τοῦ Βενιαμὶν, ὅπερ *υἱὸς ὀδύνης*, ἢ, *υἱὸς ἡμέρας*, ἑρμηνεύεται, τοὺς διὰ τὸ πλῆθος τῶν ἐν καρδίᾳ ὀδυνῶν ἐναμίλλους τὰς θείας περιχρίσεις ἀντιλαμβάνοντας. Τοῦ δὲ Δὰν τὴν ὀνομασίαν, καίτοι φυλάρχου καὶ αὐτοῦ ὑπάρχοντος, οὐ συνέταξε ταῖς λοιπαῖς, διὰ τὸ ἐξ ἀρχῆς εἰρημένον, τὸ ἐκ φυλῆς δηλαδὴ αὐτοῦ γενέσθαι σαφῶς τὸν Ἀντίχριστον.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τοῦ ἀναριθμήτου ὄχλου τῶν ἐξ ἐθνῶν Χριστῷ συμβασιλευσάντων.

9 Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ, ὄχλος πολὺς, ὃν ἀριθμῆσαι οὐδεὶς ἐδύνατο, ἐκ παντὸς ἔθνους καὶ φυλῶν καὶ λαῶν καὶ γλωσσῶν, ἑστῶτες ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τοῦ ἀρνίου, περιβεβλημένοι στολὰς λευκὰς· καὶ φοίνικες ἐν ταῖς χερσὶν αὐτῶν·
10 καὶ κράζοντες (1) φωνῇ μεγάλῃ, λέγοντες· Ἡ σωτηρία τῷ θεῷ ἡμῶν, τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου,
11 καὶ τῷ ἀρνίῳ. Καὶ πάντες οἱ ἄγγελοι εἱστήκεισαν κύκλῳ τοῦ θρόνου καὶ τῶν πρεσβυτέρων καὶ τῶν

(α) Ψαλμ. ΞΔ', 5. ΠΓ', 3. (1) Παρ' ἄλλοις, καὶ κράζουσι.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τεσσάρων ζώων, καὶ ἔπεσον ἐνώπιον τοῦ θρόνου
ἐπὶ τὰ πρόσωπα αὐτῶν, καὶ προσεκύνησαν τῷ
12 θεῷ, λέγοντες· Ἀμήν· ἡ εὐλογία καὶ ἡ δόξα καὶ
ἡ σοφία καὶ ἡ εὐχαριστία καὶ ἡ τιμὴ καὶ ἡ δύναμις
καὶ ἡ ἰσχὺς τῷ θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν
αἰώνων· ἀμήν.

Σκόπει, πῶς παρίστησιν, ὡς τὸ ἀναρίθμητον τοῦτο καὶ παγγενὲς πλῆθος τὴν τοῦ ἀρνίου δηλοῦν σφαγήν, ἐκείνῳ καὶ ἑτύθη. *Καὶ κράζοντες φωνῇ μεγάλῃ.*] Ἔκραζόν, φησιν, εἰς τὸ δυναμωθῆναι ἡμᾶς ὑπὸ τοῦ ἀρνίου, εἰς τὸ νικῆσαι τὸν ἄρχοντα τοῦ σκότους τούτου καὶ τοὺς ὑπ' αὐτοῦ ἐνεργουμένους εἰδωλολάτρας ἀνθρώπους. *Καὶ πάντες οἱ ἄγγελοι εἱστήκεισαν κύκλῳ τοῦ θρόνου καὶ τῶν πρεσβυτέρων καὶ τῶν τεσσάρων ζώων.*] Ἰδοὺ, μία ἐκκλησία ἀγγέλων καὶ ἀνθρώπων. Τὸ δὲ συστῆναι ἀγγέλους ἀνθρώποις, τί ἂν ἄλλο δείκνυσιν, ἢ τὸ ὑπερανεστηκὸς εἰς τιμὴν τῆς ἀνθρωπείας φύσεως; *Καὶ προσεκύνησαν τῷ θεῷ, λέγοντες· Ἀμήν.*] Τὰ ἐν ἀνθρώποις λειτουργικὰ πνεύματα σὺν τοῖς πρεσβυτέροις ὑπήκουσαν τὸ, *Ἀμήν.* Ἐπὶ τὸ ἕβδομον δὲ τοῦ ἀριθμοῦ προεχώρησεν αὐτοῖς ἡ πρὸς τὸ θεῖον σεβασμία τιμὴ, οὐ μόνον ὅτι σύστοιχος οὗτος, ὡς ἤδη παρεθέμεθα, ὁ ἀριθμὸς τῷ παρόντι αἰῶνι, ἀλλ' ὅτι καὶ, ὥσπερ οὗτος ὁ ἀριθμὸς οὐκ ἐξ ἑτέρου ἀριθμοῦ τῶν ἐντὸς τῆς δεκάδος ἀποτίκτεται, οὕτω καὶ ᾧ ἐπιβοᾶται ταῦτα θεὸς οὐκ ἐξ ἑτέρου τὰ θεῖα ταῦτα ἀποφέρεται πλεονεκτήματα.

13 Καὶ ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυτέρων, λέγων μοι·
Οὗτοι οἱ περιβεβλημένοι τὰς στολὰς τὰς λευκὰς,
14 τίνες εἰσί; καὶ πόθεν ἦλθον; Καὶ εἶπον αὐτῷ· Κύριέ μου, σὺ οἶδας. Καὶ εἶπέ μοι· Οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλίψεως τῆς μεγάλης, καὶ ἔπλυναν τὰς στολὰς αὐτῶν, καὶ ἐλεύκαναν αὐτὰς ἐν
15 τῷ αἵματι τοῦ ἀρνίου. Διὰ τοῦτο εἰσὶν ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ, καὶ λατρεύουσιν αὐτῷ ἡμέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρας καὶ νυκτὸς ἐν τῷ ναῷ αὐτοῦ· καὶ ὁ καθήμενος
16 ἐπὶ τοῦ θρόνου, σκηνώσει ἐπ' αὐτούς. Οὐ πεινάσουσιν ἔτι, οὐδὲ διψήσουσιν ἔτι, οὐδ' οὐ μὴ πέσῃ
17 ἐπ' αὐτοὺς ὁ ἥλιος, οὐδὲ πᾶν καῦμα· ὅτι τὸ ἀρνίον τὸ ἀνὰ μέσον τοῦ θρόνου ποιμανεῖ αὐτοὺς, καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζωῆς πηγὰς ὑδάτων· καὶ ἐξαλείψει ὁ θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

Τοὺς μάρτυράς φησι τοῦ Χριστοῦ, τοὺς τὸν σταυρὸν ἀραμένους, καὶ τὸν αὐτοῦ θάνατον μιμουμένους. Τοῦτο γάρ ἐστι τὸ, *ἔπλυναν*, οὐχ ἑτέρωθι, ἢ ἐν τῷ αἵματι τοῦ ἀρνίου. *Καὶ λατρεύουσιν αὐτῷ ἡμέρας καὶ νυκτός.*] Ἢ τὸ ἀδιάπαυστον δηλοῦν βούλεται, ἢ τὸ τῶν ὑπὸ τοῦ θεοῦ διοικουμένων ἀνενδύαστον τῆς εὐχαριστίας, ἄν τε πρόδηλοι, ἄν τε κατὰ τὸ ἀνεξερεύνητον τῆς σοφίας αὐτοῦ βάθος διεξαγόμενοι. Νὺξ γὰρ ἐκεῖ οὐκ ἔστιν, ἀλλ' ἡμέρα μία, ἀντὶ τοῦ αἰσθητοῦ ἡλίου τῷ νοητῷ τῆς δικαιοσύνης ἡλίῳ καταλαμπομένη. Ἴσως δὲ *νὺξ* νοεῖται καὶ τὰ ἀπόκρυφα καὶ βαθέα τῆς γνώσεως μυστήρια· *ἡμέρα* δὲ, τὰ σαφῆ τε καὶ εὔληπτα. *Ναὸς* δὲ τοῦ θεοῦ, πᾶσα μὲν ἡ ἀνακαινιζομένη ὑπ' αὐτοῦ κτίσις διὰ τοῦ Πνεύματος· μάλιστα δὲ οἱ τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος σῶον καὶ ἄσβεστον διατηρήσαντες· οἷς ἐνοικήσειν καὶ ἐμπεριπατήσειν ἐπήγγελται (α). *Οὐ πεινάσουσιν ἔτι.*] Ἐξ ἑτέρου μὲν γὰρ πρὸς ἕτερον ἦλθον πειρασμὸν οἱ ἅγιοι διαπαντὸς, μᾶλλον δὲ οἱ ἐξ ἐθνῶν ἐπὶ τῆς παρουσίας τοῦ Ἀντιχρίστου· μετὰ δὲ τὸν τοιοῦτον καιρὸν ἀδιαλείπτως κορεσθήσονται τῶν ἀμυθήτων ἀγαθῶν, *ἄρτον* μὲν ἔχοντες τὸν οὐράνιον, ὃς διὰ τὴν σωτηρίαν αὐτῶν ἐφοίτησεν ἐπὶ γῆς (β)· *ὕδωρ* δὲ, τὴν ἄφθονον χύσιν τοῦ Πνεύματος, περὶ οὗ καὶ εἴρηται ὑπὸ τοῦ Κυρίου· *Ὁ πιστεύων εἰς ἐμὲ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ὕδατος ζῶντος (γ)*· *πειρῆν* γὰρ ἔθος τῇ Γραφῇ καλεῖν τὴν

α) Λευῖτ. ΚΣ', 12. (β) Ἰωαν. ς', 33. 41. (γ) Ἰωαν. Ζ', 38.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν θείων ἀγαθῶν ἔνδειαν. Τὸν δὲ *ἥλιον*, πειρασμοῖς ἀφωμοίωσεν. Καὶ πειθέτω σε τὰ πρὸς ὄραχὺ ἀνατείλαντα ἐν τῇ πέτρᾳ σπέρματα, ἀθρόον μὲν φύσαντα, εὐθέως δὲ ὑπὸ τοῦ ἡλίου φλογισθέντα (α). *Ὅτι τὸ ἀρνίον τὸ ἀνὰ μέσον τοῦ θρόνου ποιμανεῖ αὐτοὺς, καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζωῆς πηγὰς ὑδάτων· καὶ ἐξαλείψει ὁ θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.*] Τὸ, *Ἀνὰ μέσον τοῦ θρόνου*, εἴρηται ἀντὶ τοῦ, Ἐκ μέσου τοῦ θρόνου, οἱονεὶ, ἐκ τῆς πατρικῆς δόξης, ἤγουν, κυριαρχίας, τῆς σαρκικῆς οἰκονομίας τῇ ἐπεισόδῳ τῶν θείων ἐλλάμψεων, μᾶλλον δὲ τῆς ἀναλλοιώτου θεότητος, ὑποχωρησάσης. Τὸ ἀπὸ τούτου δὲ ἀνυποστόλως θεοπρεπῆ ἀποδίδωσι τῷ υἱῷ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ. Τὸ γὰρ *ποιμαίνειν* αὐτῷ προσέσται καὶ *ὁδηγεῖν* τὰ ὑπ' αὐτοῦ ποίμνια διὰ τῆς οἰκονομίας κτισθέντα, οἷς οὐκέτι δάκρυον ἐνοχλοίη.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Λύσις τῆς ἑβδόμης σφραγῖδος, δηλοῦσα ἀγγελικὰς δυνάμεις προσάγειν θεῷ τὰς τῶν ἁγίων προσευχάς, ὡς θυμιάματα.

ΚΕΦ. VIII, 1 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἑβδό-
2 μην, ἐγένετο σιγὴ ἐν τῷ οὐρανῷ ὡς ἡμιώριον. Καὶ εἶδον τοὺς ἑπτὰ ἀγγέλους, οἳ ἐνώπιον τοῦ θεοῦ ἑστήκασι· καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγγες.
3 Καὶ ἄλλος ἄγγελος ἦλθε, καὶ ἐστάθη ἐπὶ τοῦ θυσιαστηρίου, ἔχων λιβανωτὸν χρυσοῦν·

Ἡ τῆς ἑβδόμης σφραγῖδος λύσις, τὴν τῆς γηΐνης τύρβης λύσιν διασημαίνει, ἑπτὰ ἀγγέλων διακονούντων ταῖς τιμω-

(α) Ματθ. ΙΓ', 5. 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρίαις ταῖς κατὰ τῶν ἀσεβῶν ὀφειλομέναις. Ἡ δὲ σιγὴ, τήν τε ἀγγελικὴν εὐταξίαν δηλοῖ καὶ εὐλάβειαν, τό τε περὶ τῆς δευτέρας τοῦ Κυρίου παρουσίας καὶ τῆς προτέρας ἀγνόημα. Τὸ δὲ ἡμιώριον, τὸ τοῦ καιροῦ ἐμφαίνει βραχύ· ἐν ᾧ τῶν πληγῶν ἐπαγομένων, καὶ τῶν ἐπὶ τῆς γῆς συντελουμένων, ἡ τοῦ Χριστοῦ βασιλεία φανήσεται. *Καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγγες.*] Ἑπτὰ σάλπιγγες, ὡς βασιλέως ἐφισταμένου. Αἱ δ' αὐταὶ, κατὰ τὸν θεόσοφον Παῦλον, Θεσσαλονικεῦσι γράφοντα, καὶ διϋπνίζειν μέλλουσι τοὺς νεκροὺς (α), ὧν προκατάρχειν ὁ πρωτότοκος ἐκ νεκρῶν εἴρηται Χριστός. Ἰστέον δὲ, ὅτι, εἰ καὶ σχηματίζονται εἰς ὕλας καὶ χρώματα τὰ ὁρώμενα, εἴτε θυσιαστήριον, εἴτε θυμιατήριον, εἴτέ τι ἄλλο, ἀόρατα ὅμως καὶ νοητὰ ὄντα τυγχάνουσιν. Ἐπὶ τοιούτου τοίνυν θυσιαστηρίου φησὶν ὁ ἄγγελος, καὶ τὸν *λιβανωτὸν*, δηλαδὴ, τὸ τὸν λιβανωτὸν δεχόμενον θυμιατήριον, κρατῶν, τὰς εὐχὰς τῶν ἁγίων, ὡς θυμιάματα, προσέφερε. *Χρυσοῦν* δὲ τοῦτο φάσκει, τῷ τὴν ὕλην ταύτην τιμαλφεστάτην εἶναι ἀνθρώποις καὶ περιπόθητον, δι' οὗ αἰνίττεται καὶ παρὰ τῷ θεῷ τὰς τῶν ἁγίων εὐχὰς τοιαύτης καταξιοῦσθαι ἀποδοχῆς· ὥσπερ δέ τι πρωτόλειον καὶ ἀπαρχὴ τιμία προσάγονται θεῷ αἱ εὐχαὶ παρὰ τῶν προσατούντων ἡμῶν ἀγγέλων· αἳ φύσει μέν εἰσιν εὐώδεις, εὐωδέστεραι δὲ γίνονται τῇ τοῦ μεταχειρίζοντος ταύτας ἀγγέλου συνεργίᾳ. Ἠτοῦντο δὲ, διὰ τῆς παγκοσμίου συντελείας, ταῖς μὲν τιμωρητικαῖς μάστιξι ταῖς κατὰ τῶν δυσσεβῶν καὶ παρανόμων ἀξίως ἡτοιμασμέναις, λῆξιν τῇ συντομίᾳ τῆς ἐπιφορᾶς τῆς κακώσεως πρυτανευθῆναι, καὶ τὸ μὴ πρὸς πλείονας ἀνθρώπους διαδοθῆναι· ἑαυτοῖς δὲ, τὸν διὰ τῆς παρουσίας τοῦ ἀξιονίκως τὰ ἔπαθλα διανέμειν εἰδότος τοῖς ἐν τῷ παρόντι βίῳ ὑπὲρ ἀρετῆς παγκρατιασταῖς μισθόν· οἵτινες οὐκ ἄλλοι, ἢ οὗτοι οἱ τὸν ἀθλυθέτην ἐν τοῖς ἑαυτῶν δοξάσαντες σώμασι.

(α) Α' Θεσ. Δ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

3 Καὶ ἐδόθη αὐτῷ θυμιάματα πολλὰ, ἵνα δώσῃ ταῖς προσευχαῖς τῶν ἁγίων πάντων, ἐπὶ τὸ θυσιαστήριον
4 τὸ χρυσοῦν τὸ ἐνώπιον τοῦ θρόνου. Καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς προσευχαῖς τῶν ἁγίων ἐκ χειρὸς τοῦ ἀγγέλου ἐνώπιον τοῦ θεοῦ.
5 Καὶ εἴληφεν ὁ ἄγγελος τὸν λιβανωτὸν, καὶ ἐγέμισεν αὐτὸν ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου, καὶ ἔβαλεν εἰς τὴν γῆν· καὶ ἐγένοντο φωναὶ καὶ βρονταὶ καὶ
6 ἀστραπαὶ καὶ σεισμός. Καὶ οἱ ἑπτὰ ἄγγελοι, οἱ ἔχοντες τὰς ἑπτὰ σάλπιγγας, ἡτοίμασαν ἑαυτοὺς, ἵνα σαλπίσωσι.

Τὸ *χρυσοῦν θυσιαστήριον* τοῦτο, ὁ Χριστός ἐστιν, ἐν ᾧ πᾶσα λειτουργικὴ καὶ ἁγία συνέζηκε σύνοδος, καὶ αἱ μαρτυρικαὶ θυσίαι προσάγονται, οὗ ἦν τύπος τὸ ἐν τῷ ὄρει δειχθὲν τῷ Μωϋσῇ σὺν τῇ σκηνῇ θυσιαστήριον. Τὰ δὲ *θυμιάματα*, αἱ προσευχαὶ τῶν ἁγίων· οἷς εὐκταῖον εἴ τι καὶ ἄλλο τῷ θεῷ προσαχθείη, ἐν μοίρᾳ θυμιαμάτων αὐτῷ λογισθῆναι, τοῦ μοχθηροῦ τούτου καὶ δυσώδους βίου τῷ πυρὶ τῆς εἰς αὐτὸν ἀγάπης ἐξατμισθέντος· τοσοῦτον γὰρ ἡ περὶ τὸν Χριστὸν ἀγάπη τὸ ζέον εἶχε καὶ διάπυρον, ὡς πάντα ἡγήσασθαι τὰ τοῦ παρόντος αἰῶνος τερπνὰ σκύβαλα, μόνον ἵνα Χριστῷ τῷ θεῷ γένηται αὐτοῖς συνεῖναι (α). *Καπνὸν* δὲ ἀναβῆναι ἀπὸ τῆς τῶν θυμιαμάτων ἐντυχίας· ὅτι *καπνὸς*, ὀργῆς τεκμήριον, ὡς καὶ ἐν τῷ· *Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ* (β). Τοῦτο οὖν οὐ δι' ἄλλο συμβῆναι ἐσχημάτισται, ἢ τοῦ δειχθῆναι χάριν καὶ φανερωθῆναι τὸ τῆς ἀγάπης διάπυρον τῶν ἁγίων τὸ περὶ τὸν Χριστὸν ὡς πῦρ· ἢ τὸν θυμὸν αὐτῶν, ὡς καπνὸν ἀναβῆναι, ὡς καὶ αὐτῶν τῆς αὐτῆς τοῖς ἀγγέλοις φύσεως λαχόντων, οὐ πρὸς ὁμοίαν δὲ τούτοις εὐαρέστησιν τοῦ πεποιηκότος κατεσπουδακότων. *Ἐκ χειρὸς τοῦ ἀγγέλου.*] Ὁρᾷς, ὅτι παρὰ τοῦ ἀγγέ-

(α) Φιλιπ. Γ', 8. (β) Ψαλμ. ΙΖ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λου ὑπῆρξε τὸ εὐωδεστέρας τὰς εὐχὰς τῶν ἁγίων γενέσθαι, καὶ ἀξίας τοῦ προσκομίζεσθαι ἐνώπιον τοῦ θεοῦ; *Καὶ ἔλαβεν ὁ ἄγγελος τὸν λιβανωτόν.*] *Τὸν λιβανωτὸν*, ὅτι θυμιατήριον βούλεται δηλοῦν, καὶ τὸ *θυσιαστήριον*, τὸν Χριστὸν, καὶ τὸν *καπνὸν*, τὸν θυμὸν, καὶ τὸ *πῦρ*, τὸ ἀπὸ τοῦ θυσιαστηρίου, τὸ διάπυρον τὸ περὶ τὸν θεὸν τῶν ἁγίων, προεξετασθὲν, ἐχομένως παρατέθειται. Τὸ δὲ ἐπὶ τὴν γῆν ἐκχεθῆναι παρὰ τοῦ διακονοῦντος τιμωρητικοῦ ἀγγέλου τὸ θεῖον πῦρ, ὅμοιον τῷ τοῦ Ἰεζεκιὴλ ἐφάνη, τῷ ἐκ χειρὸς τῶν Χερουβεὶμ ληφθέντι μὲν ἀπὸ τοῦ θυσιαστηρίου, δοθέντι δὲ τοῖς ἀγγέλοις, τοῖς πεμφθεῖσιν εἰς τὴν τῶν δυσσεβῶν οἰκητόρων τῆς Ἱερουσαλὴμ τιμωρίαν (α). Τούτῳ τῷ ἀγγέλῳ, Ἀνδρέας, ὁ τῆς κατ' ἐμὲ Καισαρείας τῆς Καππαδοκίας ἀξίως τὴν ἐφορείαν λαχὼν, ἕκαστον ἱεράρχην παρεικάζει. *Καὶ ἐγένοντο φωναὶ καὶ βρονταί.*] Διὰ τούτων πάντων τὰ πρὸ τῆς συντελείας χαρακτηρίζονται φόβητρα, καθάπερ ἐν τῷ Σινᾷ ὄρει θείας παρουσίας ἐγνωρίζοντο σύμβολα, πάντας καταπλήττοντα, καὶ πρὸς ἐπιστροφὴν τοὺς ἀγνωμονεστέρους ἐνάγοντα. Ἄγγελοι δὲ τούτοις διακονοῦσιν, ὡς ἰατροὶ συμπαθεῖς χριστομιμήτως, καυτῆρσι καὶ τομαῖς τοὺς τὴν δεινοτάτην τῆς ἁμαρτίας νόσον ἀσθενοῦντας θεραπεύοντες· ἢ τόγε μετριώτερον, τοῖς ῥαθυμοτέροις τὴν μέλλουσαν ἐπικουφίζοντες κόλασιν, εἰ ὁπωσοῦν εὐχαρίστως ἐνέγκωσιν.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ τῶν ἑπτὰ ἀγγέλων, ὧν τοῦ πρώτου σαλπίσαντος, χάλαζα, καὶ πῦρ, καὶ αἷμα ἐπὶ τῆς γῆς φέρεται.

(α) Ἰεζ. ἰ, 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Πέρους

7 Καὶ ὁ πρῶτος ἐσάλπισε, καὶ ἐγένετο χάλαζα καὶ πῦρ, μεμιγμένα ἐν αἵματι, καὶ ἐβλήθη εἰς τὴν γῆν· καὶ τὸ τρίτον τῆς γῆς κατεκάη, καὶ τὸ τρίτον τῶν δένδρων κατεκάη, καὶ πᾶς χλωρὸς χόρτος κατεκάη.

Διάφοροι αἱ τιμωρίαι αἱ ἀπὸ τῆς ἐκχύσεως τοῦ πυρὸς τοῦ θυσιαστηρίου· ἐπειδὴ καὶ τῶν φιλοθέων αἱ μοναὶ, εἰς ἀνταπόδοσιν κείμεναι τούτοις, διάφοροι καὶ πολλαὶ· διὸ καὶ ὁ Κύριός φησι· *Παρὰ τῷ πατρί μου μοναὶ πολλαί εἰσιν* (α). *Καὶ ἐγένετο χάλαζα καὶ πῦρ, μεμιγμένα ἐν αἵματι.*] Ὅτι μὴ κατὰ τὴν ἐσχάτην ἡμέραν, τὴν εἰς κόλασιν ἀποκειμένην τοῖς ἁμαρτωλοῖς, αἱ τιμωρίαι αὗται τῆς χαλάζης καὶ τοῦ συγκράτου αἵματι πυρὸς, ἡ προκειμένη Ἀποκάλυψις ἀφορίζει, ἀλλὰ ταῖς θλίψεσι, ταῖς πρὸ τῆς ἐσχάτης ἡμέρας, ὡς προείρηται, δῆλον. Οὐ γὰρ τὸ τρίτον μέρος τῶν ἁμαρτωλῶν, ἀλλὰ τὸ πᾶν ὑποβληθήσεται ἀπαραιτήτως. Τί γάρ φησιν ὁ θεῖος λόγος περὶ τούτου; *Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι, εἰς ζωὴν αἰώνιον* (β). *Καὶ τὸ τρίτον τῶν δένδρων κατεκάη.*] Ταῦτα, οἱ μὲν εἰς τὴν ἐσχάτην ἀφορίσαντες ἡμέραν, χόρτον καὶ δένδρα τοὺς ἁμαρτωλοὺς ἐνόησαν κατὰ τὸν θεῖον ἀπόστολον Παῦλον, τὸν ἐν πυρὶ τὴν ἡμέραν ἀποκαλύπτεσθαι χρηματίζοντα (γ)· οἱ δὲ μὴ οὕτως, ἀλλ' εἰς τὴν πρὸ τῆς ἐσχάτης ἡμέρας θλῖψιν, τὰς ἐκ βαρβαρικῶν χειρῶν πυρπολήσεις τε καὶ σφαγὰς τοῖς πολλοῖς ἐπαγομένας ἔδειξαν.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Περὶ τοῦ δευτέρου ἀγγέλου, οὗ σαλπίσαντος, τῶν ἐν θαλάσσῃ ἐμψύχων ἀπώλεια γίνεται.

(α) Ἰωαν. ΙΔ, 2. (β) Ματθ. ΚΕ', 46. (γ) Α' Κορ. Γ' 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Θέρμου

8 Καὶ ὁ δεύτερος ἄγγελος ἐσάλπισε, καὶ ὡς ὄρος
μέγα πυρὶ καιόμενον ἐβλήθη εἰς τὴν θάλασσαν· καὶ
9 ἐγένετο τὸ τρίτον τῆς θαλάσσης, αἷμα· καὶ ἀπέθανε
τὸ τρίτον τῶν κτισμάτων τῶν ἐν τῇ θαλάσσῃ, τὰ
ἔχοντα ψυχάς· καὶ τὸ τρίτον τῶν πλοίων διεφθάρη.

Ὄρος *μέγα*, τὴν θείαν ὀργὴν ὑπεμφαίνει· κἂν γὰρ φιλάνθρωπον τὸ θεῖον, ἀλλὰ καὶ δίκαιον· ἀφ' οὗπερ ἔσθ' ὅτε κατολιγωρούμενον, τὴν δικαίαν αὐτοῦ ἀξίως ἐπιφέρει ὀργήν. Ἡ δὲ εἰς τὴν θάλασσαν αὐτοῦ ἐμβολὴ, τὸ ἀστάτως κυμαινόμενον τοῦ παρόντος βίου σύστημα, καὶ μᾶλλον θαλάσσης ταῖς περιστάσεσιν ἀγριαῖνον παραδηλοῖ. Τὸ δὲ τρίτον τῆς θαλάσσης, αἷμα γενέσθαι, δηλοῖ τὸ διὰ μαρτυρίου τελειώσεως ἐρυθρανθῆναι τὴν περίγειον κτίσιν. Ἐπεὶ δὲ ὁ τρία ἀριθμὸς ἀρχὴ πλήθους ἐστὶν, ὡς ἡ ἀριθμητικὴ βούλεται μέθοδος, τὸ πλέον τῶν ἀπολλυμένων, οὐ τὸ πᾶν, ὡς καὶ πρὸ μικροῦ παρεθέμεθα, διὰ τοῦ τρίτου ἐδήλωσε. *Καὶ τὸ τρίτον τῶν πλοίων διεφθάρη.*] *Πλοῖα*, τὰς τῶν ἁγίων ψυχὰς τροπικῶς ὀνομάζει· ἃ καὶ καταπαίζει τοὺς ἐν τῇ θαλάσσῃ δράκοντας, ὡς ἐν τῷ ἑκατοστῷ τρίτῳ ψαλμῷ ἀλληγορικῶς τεθεώρηται. Ἐνταῦθα δὲ μάλιστα οὕτως ἐκδέχεσθαι δεῖ, σύμβολα πράγματος, οὐκ ἐνέργειαν τῆς προκειμένης ἀποκαλύψεως παριστώσης. Ἐπεὶ οὖν καὶ ἀπὸ τῶν τὴν σωτηρίαν δεξαμένων πλανηθῆναί τινας εἰκὸς, φόβῳ τοῦ μὴ τοῦτο παθεῖν ἄρδην, τῇ τοῦ τρίτου παραγγελίᾳ τὴν παντοπάθειαν ἠσφαλίσατο.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Ὁ τρίτος ἄγγελος, τὰ τῶν ποταμῶν πικραίνει ὕδατα.

10 Καὶ ὁ τρίτος ἄγγελος ἐσάλπισε, καὶ ἔπεσεν ἐκ τοῦ
οὐρανοῦ ἀστὴρ μέγας, καιόμενος ὡς λαμπὰς, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν ποταμῶν, καὶ ἐπὶ τὰς
11 πηγὰς τῶν ὑδάτων. Καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται ὁ Ἄψινθος· καὶ ἐγένετο τὸ τρίτον τῶν ὑδάτων εἰς ἄψινθον, καὶ πολλοὶ τῶν ἀνθρώπων ἀπέθανον ἐκ τῶν ὑδάτων, ὅτι ἐπικράνθησαν.

Τῇ σαλπίσει τοῦ τρίτου ἀγγέλου, τὸν ἀστέρα φησὶ πεσεῖν τὸν μέγαν, ὡς λαμπάδα καιόμενον· τοῦτον δὲ ἐκεῖνον εἶναι τὸν διάβολον ἡγούμεθα. *Ποταμοὺς* δὲ, τὰ ἔθνη τροπικῶς ὀνομάζει· *πηγὰς* δὲ, τὰς τούτων φατρίας. Ἡ πτῶσις δὲ τούτου, τὴν ἐπὶ τοῖς ὑπ' αὐτοῦ πλανησομένοις παραδηλοῖ ἐπιφοράν, μεθ' ὧν τῷ τῆς γεέννης παραδοθείη πυρὶ εἰς καῦσιν αἰώνιον καὶ ἀτελεύτητον. *Καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται ὁ Ἄψινθος.*] Πικρὸν μὲν τὸ ἀψίνθιον ἡ βοτάνη· ὀξυωπίαν δὲ αὐτὴν παρέχειν τοῖς ἐσθίουσιν ἰατρῶν παῖδες διδάσκουσιν. Ἐπιτευκτικῶς οὖν ἄγαν, καὶ τὸν παντολμίαν ἀστέρα *Ἄψινθον* ἐκάλεσε· πικρίαν γὰρ δι' ἡδονῆς ποτίζει τοὺς ἀνθρώπους καὶ ἀνατροπὴν θολερὰν, καὶ διὰ τοῦτο συγχωρούμενος τὰς τιμωρητικὰς αὐτοῖς ἐπάγειν ἐνταῦθα μάστιγας, ὡς ἂν οἱ δυνάμενοι διαβλέψαι, δι' ὑπομονῆς καὶ καρτερίας χαριστήριον ἀναφέρωσι τῷ συμφερόντως ταῖς θλίψεσι παραχωροῦντι δοκιμάζεσθαι. Οἱ οὕτως οὖν ὀξυωπεῖν ἔχοντες, τῇ ἀδοξίᾳ τῶν θλίψεων διὰ ἀδοξίας καὶ δυσφημίας ἐκ τῶν δοκούντων ζημιωδῶν μᾶλλον ἐκέρδαινον δόξαν καὶ εὐφημίαν, καὶ ἐπὶ τούτῳ τὴν αἰώνιον βασιλείαν, δι' ἣν καὶ ὑπὸ τοῦ ἀγωνοθέτου δοκιμασθῆναι παρεχωρήθησαν. *Καὶ ἐγένετο τὸ τρίτον τῶν ὑδάτων εἰς ἄψινθον.*] Τοῦ πειραστοῦ τῆς διαθέσεως μεταλαμβάνει καὶ τὰ περιστατούμενά τε καὶ πειραζόμενα· μεταλαμβάνει δὲ, οὐ κατὰ τὸ πικραίνειν, ἀλλὰ κατὰ τὸ διὰ τῆς πικρίας τὸ ὀπτικὸν ῥωννύειν ἑαυτοῖς σωτηρίως. Εἶτα ἐπιφέρει ὅτι *πολλοὶ τῶν ἀνθρώπων ἐκ τῶν ὑδάτων ἀπέθανον.* Τίνες δὲ οὗτοι; Οἱ ἀνθρωπίνως ταῖς θλίψεσι προσαγέχοντες τῇ πικρίᾳ τοῦ ἀψινθίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΣΙΑ ΒΙΒΛ

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ὁ τέταρτος ἄγγελος τὸ τρίτον τοῦ ἡλιακοῦ καὶ σεληνιακοῦ φωτὸς σκοτίζει.

12 Καὶ ὁ τέταρτος ἄγγελος ἐσάλπισε, καὶ ἐπλήγη τὸ τρίτον τοῦ ἡλίου, καὶ τὸ τρίτον τῆς σελήνης, καὶ τὸ τρίτον τῶν ἀστέρων, ἵνα σκοτισθῇ τὸ τρίτον αὐτῶν, καὶ ἡ ἡμέρα μὴ φαίνῃ τὸ τρίτον αὐτῆς, καὶ
13 ἡ νὺξ ὁμοίως. Καὶ εἶδον, καὶ ἤκουσα ἑνὸς ἀετοῦ πετομένου ἐν μεσουρανήματι, λέγοντος φωνῇ μεγάλῃ· Οὐαὶ, οὐαὶ, οὐαὶ τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς, ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν τριῶν ἀγγέλων τῶν μελλόντων σαλπίζειν.

Σκόπει, ὡς τὸ τρίτον εἰπὼν τῆς ἀστρώας διακοσμήσεως, οὐκ αὐτοὺς τοὺς ἀστέρας εἶπε σκοτισθῆναι, ἀλλὰ τὸ ὑπ' αὐτῶν καταλαμπόμενον, ὃ ἡ περίγειος κτίσις ἐστί· διὸ καὶ ἐπιφέρει· *Καὶ ἡ ἡμέρα μὴ φαίνῃ τὸ τρίτον αὐτῆς*· τουτέστιν, ἵνα μὴ τῇ οὐρανίῳ διακοσμήσει καταλαμφθῇ τὸ περίγειον, ἀφ' οὗ τὸ ἡμερινόν τε καὶ νυκτερινὸν ἀποτελεῖται κατάστημα. *Καὶ εἶδον, καὶ ἤκουσα ἑνὸς ἀετοῦ πετομένου.*] Τίς ἡ τοῦ ἀετοῦ ἐνταῦθα πτῆσις; Τῶν τέως ὑποβληθέντων ἀγγέλων τὰς τιμωρίας διακονεῖν παρεωραμένων, οἶμαι, διὰ τὸ ἀπειθὲς καὶ ἀσωφρόνιστον τῶν δι' ἔλεος μετρίως καὶ πρὸς ἐπιστροφὴν ταῖς τιμωρίαις ὑποβαλλομένων μὲν, ἑαυτῶν δὲ εἰς βέλτιον οὐδαμῶς ἐπιφροντισαμένων. Τούτοις οὖν τοῖς ἀμετανοήτοις εἰς δήλωσιν τῆς θείας ὀργῆς πέτεται καὶ κράζει ὁ ἀετὸς, ὡς ἂν τῷ φόβῳ ταύτης, τῆς ἑαυτῶν γένωνται σωτηρίας. Ἐκ *μεσουρανήματος* μὲν, ὅτι μηδὲ πέραν τούτου χωρεῖν, μηδὲ ἄτερ τοῦ θρόνου καὶ τοῦ ἐπόχου τούτου εἶναι οἷοί τε εἰσίν. Ἀετὸς δὲ τῶν τετραμόρφων, καὶ οὐκ ἄλλο τῶν περὶ τὸν θρόνον δηλωθέντων, ἅτε τούτων οὐδενὸς τὸ ἵπτασθαι· ἐξ οὗ καὶ τὸ μεσουράνημα καταλαβεῖν ἦν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εὐπετῶς, καὶ ἅμα ὡς ἔχον τῇ ὀξυωπίᾳ (ὃ σύμφυτον ἀετοῖς) τὸ ἀλάθητον, περισταίη τοῖς κατηκόοις τὰ ἐφ' οἷς ἐκβοᾷ. Τριπλασιάζεται δὲ τὸ, *Οὐαὶ*, οὐ μόνον εἰς περιουσίας ὀδυρμοῦ γνῶσιν, ἀλλ' ἵνα καὶ τὴν ἀγανάκτησιν τῆς τρισαγίου Τριάδος ὑπογράψῃ, συμπαθείᾳ τε τῶν οὐρανίων πρὸς ἡμᾶς, δι' ἣν μάλιστα καὶ τὸ *οὐαὶ* τούτοις τριπλασιάζεται, εἰς ἔμφασιν τῆς ὑπὲρ ἡμῶν ὑπερβαλλούσης θρηνῳδίας, συνδούλων αὐτοῖς ὄντων· διὸ καὶ τὸ ἀλγύνεσθαι αὐτοὺς εἰς περιουσίαν ὑπῆρξεν. *Ἐκ τῶν λοιπῶν φωνῶν.*] Πόθεν τὸ, *οὐαὶ*, διεσάφησεν ὁ ἀετός; Ἀπὸ τῆς φωνῆς, φησί, τῆς σάλπιγγος, οὐχ ὅτι αὐτὴ ἡ φωνὴ δημιουργὸς τῶν μελλόντων ἐπέρχεσθαι κακῶν, ἀλλ' ἐπεὶ μὴ τῷ σαλπισμῷ τῶν προηχησάντων ἀγγέλων πρὸς μετάνοιαν ἀπεῖδον, τί ἂν ὑπολείπηται ἄλλο, ἢ τὸ πάλιν τῇ σάλπιγγι ὡς ἐξ ὕπνου διαναστῆναι πρὸς τὴν τῶν σωτηρίων αὐτοῖς ἐργασίαν;

ΚΕΦΑΛΑΙΟΝ Κς'.

Περὶ τοῦ πέμπτου ἀγγέλου, καὶ τῶν ἐκ γῆς ἀβύσσου ἀνερχομένων νοητῶν ἀκρίδων, καὶ τοῦ ποικίλου τῆς μορφῆς αὐτῶν.

ΚΕΦ. IX, 1 Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισε, καὶ εἶδον ἀστέρα ἐκ τοῦ οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν, καὶ ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ φρέατος τῆς ἀβύσ-
2 σου. Καὶ ἤνοιξε τὸ φρέαρ τῆς ἀβύσσου· καὶ ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος, ὡς καπνὸς καμίνου καιομένης (1)· καὶ ἐσκοτίσθη ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ
3 τοῦ καπνοῦ τοῦ φρέατος. Καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν, καὶ ἐδόθη αὐταῖς ἐξουσία ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορπίοι τῆς γῆς·

(1) Παρ' ἄλλοις, ἐγάλης, ἀντὶ τοῦ, καιομένης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ εἶδον ἀστέρα ἐκ τοῦ οὐρανοῦ πεπτωκότα.] Ὁ ἐκ τοῦ οὐρανοῦ *πεσὼν ἀστὴρ*, ὁ διάβολός ἐστιν· *ἡ κλεὶς* δὲ *τοῦ φρέατος*, ἡ δοθεῖσα αὐτῷ τούτῳ, ἀσφάλεια τοῦ ἀνεκφεύκτους εἶναι τοὺς κατεχομένους παρ' αὐτοῦ, καὶ μάλιστα εἰ ἁμαρτωλοὶ εἶεν· *φρέαρ* δὲ, τὸ ἐν γῇ· οὐ γὰρ ἂν ἄλλως τὸ ἀναπόδραστον ἢ διὰ φρέατος δηλωθείη· καὶ *ἡ ἄβυσσος* δὲ ἐν γῇ· ἐπὶ γῆς γὰρ ἡ τιμωρία καὶ ἐν ἀβύσσῳ φρέατι. *Ἄβυσσον* γὰρ καλοῦσι τὸ πολὺ βάθος τοῦ πρώτου στοιχείου, ἢ κατὰ ζήρησιν, τοῦ βεβύσθαι τὸ ἀειχανὲς ὑποβαλλομένου, ἢ κατ' ἐπίτασιν, τὸ πολυβαθὲς παριστάνοντος. Ὅτι δὲ ἐν γῇ ἡ κρίσις, τῶν ἁγίων τις προφητῶν διὰ τῆς κοιλάδος ἠνίξατο τοῦ Ἰωσαφὰτ (α), ἐν ᾗ καθεδιεῖσθαι τὸν θεὸν εἰς κρίσιν ἐχρησμῳδότησε, διὰ τὸ πολλοὺς ἐκεῖ πολέμους συμπεσεῖν καὶ πολλὰ στρατεύματα συγχωσθῆναι. *Καπνὸν* δὲ ἀναδοθῆναι ἀπὸ τοῦ φρέατος, τῆς τῶν ἐκεῖ περιειργμένων ἀσεβῶν μνήμης τε καὶ ἐκφάνσεως ὀργιλώτατα παραστησάσης, καὶ τοσαύτην, ὅσην εἰκὸς καὶ ἀπὸ καμίνου ἀναδίδοσθαι. Καὶ ὥσπερ ἐκεῖνος ὁ καπνὸς, ἀχλυΐ καὶ σκότῳ τὸ περιέχον ἀναπιμπλῶν, ὁ ἡλιακὸν φῶς ἀμαυροῖ, τὸν αὐτὸν τρόπον καὶ ἡ τῶν ἀσεβῶν μνήμη ἀνακαινισθεῖσα, πᾶν εἴτι συμπαθείας φῶς ἐσβέσθαι ἐνεποίησε τῷ μεγαλείῳ τῶν τολμηθέντων αὐτοῖς. *Καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες.*] Ἡ μνήμη τῶν ἀκρίδων, τοῦ ὑποσημαίνειν ἕνεκεν ἀπηνεστέραν τὴν μνήμην τῆς τῶν ἁμαρτωλῶν ἐν τῇ προσκαίρῳ αὐτῶν ζωῇ ἐκτοπωτάτης διαγωγῆς· διὸ καὶ ἐκ τοῦ καπνοῦ τὴν γένεσίν φησιν ἐσχηκέναι· ἐπείπερ καὶ τῶν αἰσθητῶν ἀκρίδων ἡ γένεσις, ἐκ φθοροποιοῦ περιέχοντος λαμβάνει τὴν ἀφορμήν. Ἀλλὰ καὶ τὸ *ἀκρίδες* ὄνομα, οὐκ ἔξω σκοποῦ παρελήφθη, ἀλλὰ πρὸς δήλωσιν τοῦ *κατ' ἄκρας* τὰς τιμωρίας ἐπαχθῆναι. Δεδόσθαι δὲ αὐταῖς ἐξουσίαν ὡς ἐπὶ ἐμψύχων διεσκευάσθη τῇ προσωποποιΐᾳ, τῷ

(α) Ἰωὴλ Γ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνυποστόλως καὶ ἀπαρεμποδίστως τὰς τιμωρίας ἀνύεσθαι. Ἀλλ' ἵνα μή τις τὰ τῶν ἀκρίδων δήγματα εἰδὼς, οὐ τοσαύτην ὀδύνην παρέχοντα, φορητὴν ὑπολάβοι τὴν ἀλγηδόνα, τὸ τῶν σκορπίων ἐπιφέρει ὑπόδειγμα, ἀλγεινοτέραν τὴν αἴσθησιν τῇ τοῦ κέντρου ἐγχρίμψει παρεχόντων· διὸ καὶ ἐρρέθη οὐ τοῖς σκορπίοις, ἀλλὰ ταῖς ἀκρίσι, τῇ προσωποποιΐᾳ ἐπιμένων κἀνταῦθα, ἵνα μὴ ἀδικήσωσιν, οὐ τοὺς ἀνθρώπους, ἀλλὰ τὰ ἀπὸ γῆς φυόμενα. Τινὲς δὲ τῶν Πατέρων τὰς *ἀκρίδας* εἰς σκώληκας μετέλαβον, ἵνα ᾖ σύμφωνος αὕτη ἡ ἔκληψις τῇ τοῦ Ἡσαΐου ἀποφάνσει· *Ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει* (α).

4 Καὶ ἐρρέθη αὐταῖς, ἵνα μὴ ἀδικήσωσι τὸν χόρτον
τῆς γῆς, οὐδὲ πᾶν χλωρὸν, οὐδὲ πᾶν δένδρον, εἰ
μὴ τοὺς ἀνθρώπους, οἵτινες οὐκ ἔχουσι τὴν σφρα-
5 γῖδα τοῦ θεοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. Καὶ ἐδόθη
αὐταῖς, ἵνα μὴ ἀποκτείνωσιν αὐτοὺς, ἀλλ' ἵνα βα-
σανισθῶσι (1) μῆνας πέντε· καὶ ὁ βασανισμὸς αὐ-
τῶν, ὡς βασανισμὸς σκορπίου, ὅταν παίσῃ ἄνθρω-
6 πον. Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ζητήσουσιν οἱ
ἄνθρωποι τὸν θάνατον, καὶ οὐ μὴ εὑρήσουσιν αὐ-
τόν· καὶ ἐπιθυμήσουσιν ἀποθανεῖν, καὶ φεύξεται
ἀπ' αὐτῶν ὁ θάνατος.

Εἰ μὲν κατὰ τὴν προειρημένην ἀλληγορικὴν ἔκληψιν θέλει τις στοιχεῖν τὰ συμβολικῶς, ἅτε θεῖα, καὶ μυστικῶς ἐκφερόμενα, χόρτον τῆς γῆς, καὶ χλοερὰν ἔκφυσιν, καὶ πᾶν δένδρον, εἰς τοὺς ἀχυρώδεις ἀνθρώπους, καὶ, ἅτε δένδρα, ἀλογίᾳ ἀποδενδρωθέντας, καὶ οἱονεὶ εἰς δενδρώδη τινὰ ἠλιθιότητα προβάντας, θετέον· οὓς ἡ φιλάνθρωπος θεότης φειδοῦς ἀξίους θεμένη, οὐ τὴν αὐτὴν αὐτοὺς τιμωρίαν ὑπέχειν τοῖς ἐκ προνοίας καὶ σκέψεως κακούργοις, τῷ ἐσφραγίσθαι ταύτην ἀπωσαμένους, ἐντέλλεται. Εἰ δὲ ἐπ' αὐτοῦ τοῦ γράμματος τῷ νοεῖν ἀπασχο-

(α) Ἡσ. ξς', 24. (1) Παρ' ἄλλοις, βασανίσωσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ληθείη, καὶ χόρτον τῷ ὄντι καὶ δένδρα τῷ χρηματισμῷ ἐκφερόμενα οἰηθείη, τὸν Δαυὶδ ἔχων συνίστορα, *Ἀνακαινιεῖς*, φάσκοντα, τὸ *πρόσωπον τῆς γῆς* (α), ὑπέσχεν ἂν τις τὴν ὑπακοὴν, εἰ μὴ τὸν ἀνακαινισμὸν εἰς κατάλληλον τῷ ἀνακαινισμῷ τῆς κτίσεως ζωὴν ὑπελάμβανεν. Εἰ μὲν οὖν καὶ κτήνη τῷ ἀνακαινισμῷ ἐνθεωρηθῆναι χρὴ, εὖ ἂν ἔχοι καὶ χόρτον καὶ δένδρα τῇ ἀϊδιότητι ὑπολειφθῆναι. Εἰ δὲ τούτων οὐδέν, τῇ ἀνακαινιζομένῃ τὸ πρόσωπον γῇ εἰς ἀπρονόητον ἔκληψιν τὸ πρὸς τὸ γράμμα θετέον, καὶ σύμφωνον τοῖς τὴν χιλιετῆ Χριστοῦ βασιλείαν μετὰ τὴν τοῦδε τοῦ βίου παραδρομὴν πότοις καὶ ἀνέσεσιν ἐνευθηνουμένοις. *Εἰ μὴ τοὺς ἀνθρώπους.*] Ἐκ τούτου σαφὲς, ὡς οὐ περὶ χόρτου καὶ δένδρων ἡ ὑποστολὴ τοῦ ἀδικηθῆναι, ὡς ὁ προστάσσων φησὶν, ἀλλὰ τοὺς χόρτῳ παραβαλλομένους, διὰ τὸ μὴ τὴν ἀρετὴν μετιέναι. *Καὶ ἐδόθη αὐταῖς, ἵνα μὴ ἀποκτείνωσιν αὐτοὺς, ἀλλ' ἵνα βασανισθῶσι μῆνας πέντε.*] Τὸ μὴ ἀποκτεῖναι ἐκεῖνο παριστᾷ τοῖς διὰ πείρας ἔχουσιν εἰδέναι τὸ τῶν βασάνων ἀφόρητον, ὅτι εἰς θάνατον ὁδοποιεῖν εἴωθε. Τούτου οὖν τοῦ ἀφορήτου ἀπέχεσθαι τοὺς βασανιστὰς ἡ φιλάγαθος ἐντολὴ παρακελεύεται. Τὸ δὲ πεμπταῖον τῶν μηνῶν, ἐπεὶ καὶ οἱ μῆνες τοῦ αἰσθητοῦ κόσμου μέτρα, ὅθεν καὶ τὰ γνωστήρια τούτου αἱ αἰσθήσεις τὸ ἐνεργεῖν ἔλαβον, εἰκότως ἰσαρίθμῳ παραστάσει τὸ ἁμαρτάνειν αἰνίττεται, εἰς τὸ μνήμην τοῖς ἀνθρώποις ἐμποιεῖν τῶν δι' ὧν ἔσχον τὸ τὴν κρίσιν ἀνέχεσθαι· ἐκ τούτων γὰρ καὶ περὶ τούτων ἡ ἀνταπόδοσις. Σκορπίου δὲ τύμματι παρέβαλε τὴν ὀδύνην· ἐπεὶ καὶ αὕτη, ὡς ἐπίπαν, θανάσιμος. *Ζητήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον.*] Ἡ τοῦ θανάτου ἐπιζήτησις οὐδὲν ἄλλο, ἢ τὸ ἀνύποιστον τοῦ ἄλγους νοεῖται, ὡς τοῦ θανάτου πᾶν ἀλγεινὸν ἀποπέμποντος· διὸ καὶ εἴρηται ὁ θάνατος *ἀνάπαυσις* (β).

(α) Ψαλμ. ΡΓ', 30. (β) Ἰὼβ Γ', 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπεὶ οὖν ἐν ἀφθάρτῳ ζωῇ ὁ θάνατος ἀπελήλαται, πρὸς τῷ μὴ εὑρίσκειν ἐπήγαγε τὸ, *φεύξεται*. Σεσωματοποίηται δὲ εἰς ἔμφασιν πλείονα τῶν διὰ τῆς ὑφηγήσεως ἐμφανιζομένων.

7 Καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια ἵπποις ἡτοι-
μασμένοις εἰς πόλεμον· καὶ ἐπὶ τὰς κεφαλὰς αὐ-
τῶν, ὡς στέφανοι χρυσοῖ, καὶ τὰ πρόσωπα αὐτῶν,
8 ὡς πρόσωπα ἀνθρώπων· καὶ εἶχον τρίχας, ὡς τρί-
χας γυναικῶν, καὶ οἱ ὀδόντες αὐτῶν ὡς λεόντων
9 ἦσαν· καὶ εἶχον θώρακας ὡς θώρακας σιδηροῦς·
καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν, ὡς φωνὴ ἁρμά-
10 των, ἵππων πολλῶν τρεχόντων εἰς πόλεμον. Καὶ
ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις, καὶ κέντρα (1)·
καὶ ἐν ταῖς οὐραῖς αὐτῶν ἐξουσίαν ἔχουσι τοῦ ἀδι-
11 κῆσαι τοὺς ἀνθρώπους μῆνας πέντε, ἔχουσαι βασι-
λέα ἐπ' αὐτῶν ἄγγελον τῆς ἀβύσσου (2)· ὄνομα αὐ-
τῷ Ἑβραϊστὶ, Ἀβαδδών· ἐν δὲ τῇ Ἑλληνικῇ ὄνομα
ἔχει Ἀπολλύων.

Ἵπποις ἀφωμοίωνται αἱ ἀκρίδες, καὶ οὐκ ἄλλῳ ζώῳ, διὰ τὸ ὀξυκίνητον τῆς ἐφόδου καὶ τὸ θυμικὸν τοῦ ἵππου, μάλιστα τὸ κατὰ πολέμους, ὃ καὶ αὐτὸ παρεδήλωσεν ἡ ὑποκειμένη ἀποκάλυψις, ὁμοίαν ἵπποις λέξασα τὴν ἑτοιμασίαν αὐτῶν εἶναι, πόλεμον ὠδινόντων. *Καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν, ὡς στέφανοι χρυσοῖ.*] Ἡ ὡς χρυσῆ στεφάνη, τὴν νίκην ἔοικε παριστᾷν, ἣν κατὰ τῶν ἡττημένων ἀλλίων ἀπηνέγκατο· *ὡς χρυσῆ* δὲ αὖτη, ἀλλ' οὐ χρυσῆ· οὐ γὰρ τῷ ὄντι ἡ ἐπ' ἀπωλείᾳ τοῦ θείου πλάσματος τιμωρία τὸ τίμιόν ἐστιν ἀποφερομένη. Καὶ προσώποις δὲ ἀνθρώπων ἀπεικαζόμεναι τὰς ὄψεις, τῷ ὁμοειδεῖ τοὺς ἀπατωμένους παράγουσιν, οὓς διὰ τὸ ἀπατῆσαι αἱ τιμωρίαι αὗται ὑπέλαβον τῆς ἀπατητικῆς ταύτης κακουργίας. Καὶ αἱ

(1) Παρ' ἄλλοις, καὶ κέντρα ἦν ἐν ταῖς οὐραῖς αὐτῶν· καὶ ἡ ἐξουσία αὐτῶν ἀδικῆσαι.

(2) Παρ' ἄλλοις, Καὶ ἔχουσιν ἐφ' αὐτῶν βασιλέα τὸν ἄγγελον τῆς ἀβύσσου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γυναικεῖαι τῶν τριχῶν ἐμπλοκαί, ὡς πυκάζουσαι τοὺς ἀπατεῶνας. Τοιαῦται γὰρ αἱ σαρκικαὶ ἡδοναί, αἵτινες τῷ φαινομένῳ αὐτῶν ἐπιτρέπειν, τῷ ἑαυτῶν ὀλισθήματι τοὺς δελεασθέντας κατασύρουσι. Διὸ καὶ ὁ παροιμιαστὴς Σολομών φησι, τοὺς τῆς πόρνης λόγους πρὸς καιρὸν μὲν λιπαίνειν τὸν φάρυγγα, ὕστερον δὲ πικροτέραν χολῆς τὴν αἴσθησιν ἐμποιεῖν (α). Ἐκ τοῦδε καὶ ἡ πρόχειρος αὕτη πλάσις μετὰ τὰς γυναικείας τρίχας, καὶ τοὺς τῶν λεόντων ὀδόντας ἐπάγεται τιμωροὺς, καὶ τοὺς ὡς θώρακας σιδηροῦς· τῶν μὲν λεοντείων ὀδόντων τὸ ἀπηνὲς παριστᾷν βουλομένων· τῶν σιδηρῶν δὲ θωράκων, τὸ στερεὸν τὸ πρὸς ἀντένεξιν τῶν ταῖς βολῖσι προσμαχομένων, οὐ κατὰ τὸ ῥᾴδιον ἐπιφερομένων τὸ ἐπιτεταγμένον. Ἐπεὶ δὲ καὶ πτῆσις αὐτοῖς ἐνθεωρεῖται, ἅτε ἀκρίσιν ἀφομοιουμένοις, ἡ πτῆσις μὲν, τὸ τῆς ἐπελεύσεως θᾶττον αἰνίττεται, καὶ τὸ ἄνωθεν ἐπιέναι· *φωνὰς δὲ τῶν πτερύγων*, τὴν ἀφάρμησιν αὐτῶν λέγει πρὸς τὴν πολεμικὴν αὐτῶν συμπλοκὴν, οὐ καθ' ἡσυχίαν ἐκτελουμένην, ὅτι μηδὲ ἔν τινι τόπῳ, ἀλλ' ἐν παντὶ τῷ κόσμῳ συντελουμένη τυγχάνει· ἀφ' οὗ καὶ μὴ πᾶσιν ἀνθρώποις ἤθεσιν ὡς ὑπτίοις χωρίοις προσβάλλουσιν, ἀλλὰ τισὶ, τοῖς μηδόλως τὸ βέβηκὸς αὐταῖς παρέχουσιν· ἢ παρέχουσι μὲν, βεβαιότερον δὲ τῇ ῥύμῃ· ἀφ' οὗ καὶ ὡς ἀπὸ ἁμαξιαίων τροχῶν, τῇ μεταπτώσει καὶ ἀντιπτώσει τῶν σκόλων, φωνὴ, ἦγουν, κτύπος, συνίσταται. *Καὶ ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις, καὶ κέντρα.*] *Σκορπίων οὐραῖς* καὶ *κέντροις* αἱ τῶν δαιμόνων ἀπεικάσθησαν προσβολαὶ αἱ πρὸς ἀνθρώπους· ἐπειδὴ καὶ οἱ δαίμονες οὐχὶ ἅμα τῷ χρηματίσαι τὸ ἕλαπτικὸν ἀποφαίνουσιν, ὅτι μηδὲ σκορπίος ταῖς καρκινώδεσι χηλαῖς, ἀλλὰ τῷ ἐξόπισθεν οὐραίῳ διὰ τοῦ κέντρου. Τέως δὲ καὶ οἱ ἁλιτήριοι δαίμονες, οὓς ἂν λάβωσιν ἐξ ἀπάτης, οὐκ εὐθὺς ἔχουσι καὶ τὴν ὑπὲρ τῆς τούτων ἀπάτης τιμωρίαν αὐ-

(α) Παροιμ. Ε', 3. 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Μπολος

τοῖς ἐπιβαλλομένην· τηρηθέντες δὲ τῷ τελευταίῳ πυρὶ μεθ' ὧν ἡπάτησαν, τῶν ἀξίων γερῶν τεύξονται. Τὸ δὲ τὴν ἐξουσίαν τῆς τιμωρίας πεμπταίῳ μόνον μηνὶ παρατείνεσθαι τί βούλεται, εἴρηται ἡμῖν ἤδη· τίς γὰρ ὁ τὸ διαιωνίζον παραιρούμενος τῶν ἁμαρτωλῶν πῦρ, ἢ ἄλλο τι ἐκεῖ αἰσθητόν; Ὡς γὰρ τὰ ἀγαθὰ οὐκ ὀφθαλμὸς ἰδεῖν αἰσθητὸς ἱκανός, οὐδ' οὖς ἀκοῦσαι, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀναβῆναι (α), οὕτως οὐδὲ τὰ τιμωροῦντα ἄχρι τῆς πείρας. *Ἔχουσαι βασιλέα ἐπ' αὐτῶν ἄγγελον τῆς ἀβύσσου.*] Ὁ ἄγγελος οὗτος, εἰ καί τισιν ἔδοξε πονηρὸς δαίμων εἶναι, ἀλλ' ὅμως οὐ καλῶς. Πῶς γὰρ ἂν, τοῦ Κυρίου τὴν κόλασιν τοῦ πυρὸς τῷ διαβόλῳ ἀπηνεγμένου καὶ τοῖς ἀγγέλοις αὐτοῦ (β), ἐκ τούτων τις, τῶν εἰς κόλασιν ἀφωρισμένων; βασιλικῆς ἀξιωθείη ἐξουσίας; Οὐκ οὖν πονηρῷ ἀγγέλῳ ἡ ἐξουσία βραβευθείη· ἐκείνῳ δὲ τῷ κατάλληλον τὴν διακονίαν μεταχειριζομένῳ. Οὐ γὰρ πάντες λειτουργικὰ πνεύματα εἰς διακονίαν σωτήριον ἀποστελλόμενοι, κατὰ τὸν εἰρηκότα θεῖον Παῦλον (γ), ἀλλὰ καὶ πρὸς τιμωρίαν· ὡς ὁ τὸν Ἀσσύριον στρατὸν μετὰ Σεναχηρεὶμ ἐπὶ Ἱερουσαλὴμ ἀθροισθέντα ἀφανίσας (δ), καὶ ὁ τῶν Σοδόμων τὸν διάπυρον ὄλεθρον ἐπιστήσας (ε). Ὅπερ δὲ καὶ προλαβόντες ἀπεσημηνάμεθα, καὶ νῦν φαμὲν, ὡς ταῦτα, εἰ καὶ παρωχημένῳ ἐξαγγέλλεται, ἀλλ' οὖν μέλλοντα νοεῖσθαι· ἀλλὰ δυοῖν χάριν τοῦτο, ἤτοι ὡς πάντως ἀπαρεμποδίστως ἐσομένων, ἢ καὶ τοῦ χρηματίζοντος τῷ εὐαγγελιστῇ τὰ προκείμενα κατὰ τὸ τῆς προφητείας ἀξίωμα περιπατοῦντος. *Ὄνομα αὐτῷ ἑβραϊστὶ Ἀβαδδών.*] Τὸ ὄνομα τὸ Ἑβραϊκὸν ἀπὸ τῆς ἐκβάσεως πέπλασται, ὡς δῆλον ἀπὸ τοῦ Ἑλληνικοῦ. Ἀπολλύων γὰρ, τί ἕτερον ἢ τὸ διαφθεῖρον σημαίνει;

(α) Α' Κορ. Β', 9. (β) Ματθ. ΚΕ', 41. (γ) Ἑβρ. Α', 14.
(δ) Δ' Βασιλ. ΙΘ', 25. Ἡσ. ΛΖ', 36. (ε) Γεν. ΙΘ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ τοῦ ἕκτου ἀγγέλου, καὶ τῶν ἐπὶ τῷ Εὐφράτῃ λυομένων ἀγγέλων ἐπίλυσις.

12 Ἡ οὐαὶ ἡ μία ἀπῆλθεν· ἰδοὺ, ἔρχονται ἔτι δύο
13 οὐαὶ μετὰ ταῦτα. Καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισε, καὶ ἤκουσα φωνὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ
14 θεοῦ, λέγουσαν τῷ ἕκτῳ ἀγγέλῳ, ὃς εἶχε τὴν σάλπιγγα· Λῦσον τοὺς τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ Εὐφράτῃ.
15 Καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ εἰς τὴν ἡμέραν καὶ μῆνα καὶ ἐνιαυτὸν, ἵνα ἀποκτείνωσι τὸ τρίτον τῶν ἀνθρώπων.
16 Καὶ ὁ ἀριθμὸς τῶν στρατευμάτων τοῦ ἱππικοῦ, δύο μυριάδες μυριάδων· καὶ ἤκουσα τὸν ἀριθμὸν αὐτῶν.

Τὸ *οὐαὶ* ἐπίῤῥημά ἐστι σχετλιαστικόν· *σχέτλη* δὲ, τὸ ὀδύνην ἐπιφέρον καλεῖται. Ἀπῆλθεν οὖν οὐ τὸ ἐπίῤῥημα· πῶς γὰρ τὸ κατὰ συμβεβηκὸς καὶ οὐ καθ' ὑπόστασιν ὑπάρχον, ἀλλ' ἅμα τῇ γενέσει ἀφανιζόμενον, πρόοδον σχοίη; ἀλλ' ἐκείνων παρελθόντων τῶν ὀδυνηρῶν, δι' ἃ καὶ τὸ τοιοῦτον προσφώνημα γίνεται, καὶ τὸ *οὐαὶ* εἰκότως ἐλέχθη ἀπελθεῖν. *Καὶ ἤκουσα φωνὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων.*] Ἐκ τῶν τεσσάρων κεράτων ἡ φωνὴ, τῶν ἐχόντων τὸ θυσιαστήριον· ἃ *κέρατα*, τὰς περιβεβλημένας θείας δυνάμεις ἀκουστέον· ἤτοι τοῦ θυσιαστηρίου ἀπαρτιζομένου, ἐν ᾧ τὰ θύματα πυρὶ τῷ θεῷ καθήπτετο, καθ' ἑκάστην γωνίαν κερατοειδὴς ἐξοχὴ συνεςήρικται συνέξουσα τὰς σχίζας, αἷς ὁ θωμὸς ἀναπτόμενος τοῖς θύμασι, τὸ καλλιερεῖσθαι παρεῖχεν. Ἐξ οὗ καὶ τοῦ ἄνω θυσιαστηρίου κατ' εἰκόνα τὸ κάτω ὑπὸ Μωσέως ἐν τῷ Σινᾷ διετάττετο. Διὸ καὶ ὁ χρηματίζων αὐτῷ, *Ὅρα*, φησὶ, *ποιήσεις πάντα κατὰ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν τύπον τὸν δειχθέντα σοὶ ἐν τῷ ὄρει (α). Τὰς ἐξοχὰς δὴ ταύτας, ἃς νοερὰς δυνάμεις εἰρήκαμεν, συνέχειν εἰκὸς τὸ ὑπερούσιον καὶ ἀνθρωπίνῃ φύσει ἀπρόσιτον μύημα, τοῦ μήτε προχείρως τοῖς μετ' ἐκεῖνο τὴν φύσιν εἶναι ληπτὸν, μήτε τὰς λογικὰς θυσίας προσαγομένας αὐτῷ ὡς ἂν τύχοι διαῤῥυῆσκεσθαι. Τετράγωνον δὲ τὸ σχῆμα τοῦ θυσιαστηρίου, ἰσοσχημάτως τῷ τετραστοίχῳ κόσμῳ τούτῳ· ἀφ' οὗ καὶ ἐκ παντὸς αὐτοῦ μέρους αἱ λογικαὶ θυσίαι *καθαραὶ*, κατὰ τὸν προφήτην (β), προσάγονται. *Λύσον τοὺς τέσσαρας ἀγγέλους.*] Τοὺς ἀγγέλους τούτους, οἱ μὲν θεῖοι εἶναι παρέθεντο, ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ Εὐφράτῃ δεδεμένους, οἱονεὶ προσλιπαροῦντας, καὶ τῇ περὶ αὐτὸν ἐνασχολουμένους καὶ εὐφραινομένους νοητῇ θεωρίᾳ· εἶναι γὰρ τοῦτον τὸν θεόν· περὶ οὗ Ἡσαΐας μὲν φάσκει ὡς ἐξ αὐτοῦ τοῦ θεοῦ· *Ἰδοὺ, ἐγὼ ἐκκλίνω εἰς αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάῤῥους ἐπικλύζων δόξαν ἐθνῶν* (γ)· καὶ Δαυὶδ· *Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ θεοῦ* (δ). Οἱ δὲ φασὶν εἶναι τοὺς τέσσαρας τούτους ἀγγέλους τὸν παρὰ τῷ Δανιὴλ, *Μιχαὴλ*, *Γαβριὴλ* παρὰ τῷ Λουκᾷ, *Ῥαφαὴλ*, παρὰ τῷ Τωβὶτ, καὶ τὸν *Οὐριήλ* (ε). Ἀπολυθῆναι δὲ αὐτοὺς τῆς τοιαύτης θείας ἀσχολίας εἰς οὐκ ἀπᾴδουσαν λειτουργίαν τῆς τε τοῦ Θείου δικαιοδοσίας καὶ τῆς αὐτῶν μεγαλοδόξου παρουσίας. Τινὲς δὲ οὐκ ἀγγέλους, ἀλλὰ δαίμονας πονηροὺς, δεθέντας μὲν ἐν τῇ τοῦ Χριστοῦ παρουσίᾳ κατὰ τὸ Θεῖον πρόσταγμα· ἐκ τοῦ ὑπερανθρωπίνου δὲ θυσιαστηρίου ἐξελθόντας λύεσθαι ὑπὸ τοῦ θείου ἀγγέλου, ὥστε ταράξαι τὰ ἔθνη, καὶ τῇ ταραχῇ ταύτῃ διάδηλον γενέσθαι τῶν τε πιστῶν τὸ σιτῶδες καὶ πρὸς ἀποθήκας αὐτῶν ταμιεύσιμον, τῶν τε ἁμαρτω-

(α) Ἔξοδ. ΚΕ', 40.
(β) Μαλ. Α', 11.
(γ) Ἡσ. Ξς', 12. (δ) Ψαλ. ΜΕ'. 5.
(ε) Δαν. Ι', 13. 21. ΙΒ', 1. Λουκ. Α', 19. 26. Δαν. Η', 16. Θ', 21. Τωβ. Γ', 17. ΙΒ', 15. Δ' Ἔσδρ. Δ', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λῶν τὸ ἀχυρῶδες καὶ πρὸς καῦσιν ἕτοιμον καὶ ἄχρηστον. Οὐκ ἀδόκιμον δέ ἐστι τὸ φάσκειν, εἰς τὸν Εὐφράτην δεδέσθαι τοὺς δαίμονας, τάχα ἐκεῖθεν τοῦ Ἀντιχρίστου ἐξελευσομένου ἀπὸ τῶν διασωθέντων ἐν τῇ Ἱερουσαλὴμ αἰχμαλώτων Ἑβραίων καὶ τοῖς ἐκεῖ τόποις ἐναπομεινάντων. *Καὶ ὁ ἀριθμὸς τῶν στρατευμάτων τοῦ ἱππικοῦ.*] Μὴ προειπὼν *στρατεύματα*, ἀριθμὸν τούτων ποιεῖται. Δῆλον οὖν, ὡς οἱ ταξιάρχας τοὺς τέσσαρας ἐκλαβόμενοι, Μιχαὴλ, Γαβριὴλ, Οὐριὴλ, Ραφαὴλ, οὐκ ἀδοκίμως ἠνέχθησαν· φιλεῖ γάρ πως τῷ ταξιάρχῃ τὸ στῖφος ἕπεσθαι. Χιλίας δὲ χιλιάδας καὶ μυρίας μυριάδας τῶν λειτουργούντων ἐν τῷ Δανιὴλ μάθοιμεν ἂν (α)· ἐπιδιπλάσιον δὲ νῦν τοῦ μυριοστοῦ ἀριθμοῦ τὸ πλῆθος τὸ ἑπόμενον τοῖς ταξιάρχαις διέξεισιν ὁ ὁρῶν, τῷ ἀνυποστόλως μετὰ τὴν ἐνανθρώπησιν τοῦ Κυρίου ἀγγέλους ἀνθρώποις ἐνδιαιτᾶσθαι· διὸ καὶ τὸ, *Ἀναβαίνοντας καὶ καταβαίνοντας*, εἰρῆσθαι, *ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου* (β).

17 Καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ ὁράσει, καὶ τοὺς καθημένους ἐπ' αὐτῶν, ἔχοντας θώρακας πυρίνους καὶ ὑακινθίνους καὶ θειώδεις· καὶ αἱ κεφαλαὶ τῶν ἵππων, ὡς κεφαλαὶ λεόντων, καὶ ἐκ τῶν στομάτων αὐτῶν ἐκπορεύεται πῦρ καὶ καπνὸς καὶ
18 θεῖον. Ἀπὸ τῶν τριῶν πληγῶν τούτων ἀπεκτάνθησαν τὸ τρίτον τῶν ἀνθρώπων, ἀπὸ τοῦ πυρὸς καὶ τοῦ καπνοῦ καὶ τοῦ θείου τοῦ ἐκπορευομένου
19 ἐκ τῶν στομάτων αὐτῶν. Ἡ γὰρ ἐξουσία τῶν ἵππων ἐν τῷ στόματι αὐτῶν ἐστὶ, καὶ ἐν ταῖς οὐραῖς αὐτῶν· αἱ γὰρ οὐραὶ αὐτῶν ὅμοιαι ὄφεων, ἔχουσαι κεφαλὰς· καὶ ἐν αὐταῖς ἀδικοῦσι.

Τοὺς ἐφέδρους τῶν ἵππων, εἴτε δυνάμεις θείας ὑπολῃπτέον εἶναι, κατ' ἠθῶν καὶ παθῶν κληρωσαμένας τὸ ἀγκτικόν τε καὶ πρὸς τὸ κρεῖττον ῥυθμιστικόν· οὕτω γὰρ καὶ τοὺς ἵππους οἱ πωλο-

(α) Δαν. Ζ', 10
(β) Ἰωὰν Α', 52.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δάμναι ῥυθμίζουσιν ἀναβαίνοντες κημῷ τε καὶ χαλινοῖς· εἴτε καὶ θεῖα προστάγματα, ζήλῳ τῶν ἀπολλυμένων εἰς πυρίνην ἀπεικασθέντα καὶ ὑακινθίνην καὶ θειώδη παντευχίαν· ἀφ' οὗ καὶ Δαυὶδ (τῷ θείῳ, φημὶ, ζήλῳ) τὸ· *Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, μινυρίζει, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ κατεφλόγισε, καὶ ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ* (α)· ὁποτέρῳ ἂν τούτων πρόσθοιτό τις, ἐμοὶ μᾶλλον καθ' ἡδονὴν ἔσται, πρὸς πονηροὺς ἀπευθυνόμενον τὸ ἔνδαλμα. *Καὶ αἱ κεφαλαὶ τῶν ἵππων, ὡς κεφαλαὶ λεόντων.*] Τὸ ὄχημα τῶν θείων κριμάτων, εἴτε πρὸς πνευματικοὺς καὶ ἀγγελικοὺς τὸν βίον ἀνθρώπους μεταλαμβάνει τις, ἢ καὶ πρὸς ἤθη καὶ πάθη, οὐδὲν διοίσει τῷ μὴ φιλαύτως τῷ ὁράματι προσκειμένῳ. *Κεφαλαῖς δὲ λεόντων* ἀπεικάσθησαν αἱ κεφαλαὶ τῶν ἵππων, εἰς δεῖγμα, ὅτι τούτους τοὺς διακονουμένους τοῖς θείοις οὐκ ἀναβεβλημένως τὴν λειτουργίαν χρὴ μετιέναι· *Ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ, καὶ πάσης τομώτερος μαχαίρας* (β). Διόπερ ὡς ἑκατοντάρχης τὸ κεφάλαιον ἐμφανίζει τὴν ἀγανάκτησιν μετὰ λεοντιαίας σφοδρότητος, ὡς οὐκ ἂν ἄλλως, ἢ οὕτως, ἔξῃ τὸν ἀκροατὴν εἰς συγκατάθεσιν ἔμπρακτον. Οὐκ ἄμοιρος δὲ καὶ Παῦλος τῆσδε τῆς περινοίας, ὁπότε Κορινθίοις τὴν μετὰ ῥάβδου αὐτοῖς ἐπιδημίαν ἑαυτοῦ ἀπειλεῖ (γ). Τοῦτο μὲν οὖν αἱ κεφαλαὶ ὑπαινίττονται. *Τὰ στόματα δὲ*, τὸ ἀπὸ τῆς ἐγγύτητος ὀλέθριον ἆσθμα, οὐ πόῤῥωθεν διοράσεως ἐλπιζόμενον, ἀλλ' ἀγχοτάτω τῇ προσπελάσει τὸ ἀναπόδραστον ἐμπεδούμενον, πυρὸς μὲν, τὸ ἀφανιστικὸν, καπνοῦ δὲ, τὸ μετ' ὀργῆς· (*ἀνέβη γὰρ καπνὸς ἐν ὀργῇ αὐτοῦ*·) θείου δὲ, τὸ ἀπὸ θείας μήνιδος ἐμφαίνοντος· ἢ καὶ τὸ θεαρέστως τοῖς ἀκολάστοις ἐπενεχθῆναι ταῦτα. Ὅτι δὲ ὥσπερ ὀχήματι τῶν ἑαυτοῦ κριμάτων καὶ μυστηρίων εἴωθε χρῆσθαι τὸ θεῖον τοῖς ἰσαγγέλως βιοῦσιν, ἱκανῶς τὸ παρ' αὐτοῦ πρὸς Ἀ-

(α) Ψαλμ. ΙΖ', 9. (β) Ἑβρ. Δ', 12. (γ) Α' Κορ. Δ'. 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νανίαν χρηματισθὲν περὶ Παύλου παραστήσει, δι' ὧν φησὶ Παῦλον σκεῦος ἐκλογῆς εἶναι, ἀκαμάτως βαστάζειν ἔχοντα τὰ θεοπρεπῆ δόγματα, ἅπερ διὰ τοῦ ὀνόματος προεδήλωσεν, ἐπειδὰν ἔφη· *Τοῦ βαστάσαι τὸ ὄνομά μου* (α)· ὄνομα, ἀντὶ τοῦ, τὴν δόξαν, εἰπὼν, καὶ μεγαλειότητα, καὶ πᾶν τὸ ὑπὲρ λόγον, ἤγουν κατανόησιν, οὐ μόνον θνητὴν, ἀλλὰ καὶ ἀγγελικήν. *Ἡ γὰρ ἐξουσία τῶν ἵππων, ἐν τῷ στόματι αὐτῶν ἐστί.*] Τί τοῦτο; τὸ τὴν ἐξουσίαν ἀνατιθέναι τῷ στόματι, καὶ οἱονεὶ τὴν αἰτίαν τοῦ ἀπεστάλθαι τοὺς ἵππους; ἢ τὰ, *Ἀπὸ τῶν στομάτων αὐτῶν*, ἐμφαίνει ἀπειλὰς ἐκφοβούντων ἀνθρώπους, τοῦ ἀπέχεσθαι τῶν πονηρῶν ἐπιτηδευμάτων, ταῦ μὴ ταῖς οὐραῖς αὐτῶν ἐκδοθῆναι; Εἰς οὐρὰς γὰρ τὰ τέλη καὶ τὴν ἔκβασιν τῶν ἀπολλυμένων διατυπῶν, καὶ δή γε καὶ αὐτὴν τὴν ἔκβασιν διαμορφῶν, ὄφεσιν ἀπεικάζει, ὁμοίας ἔχουσι κεφαλάς· ἐξ αὐτῆς δηλαδὴ τῆς ἐφόδου τὸ ἀλέθριον ἐμφανιζούσας καὶ ἀναπόδρασον, καὶ τὸ ἀμελητὶ τὴν κάκωσιν ἐπιφέρειν, οὐκ οὔσης ἔτι περινοίας τὴν κάκωσιν διαδιδράσκειν.

20 Καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων, οἳ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς ταύταις, οὐ μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν, ἵνα μὴ προσκυνήσωσι τὰ δαιμόνια, καὶ τὰ εἴδωλα τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ καὶ τὰ λίθινα καὶ τὰ ξύλινα, ἃ οὔτε βλέπειν δύναται, οὔτε ἀκούειν, οὔτε περιπατεῖν·
21 καὶ οὐ μετενόησαν ἐκ τῶν φόνων αὐτῶν, οὔτε ἐκ τῶν φαρμακειῶν (1) αὐτῶν, οὔτε ἐκ τῆς πορνείας αὐτῶν, οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.

Ὑπερβολὴν ἀναισθησίας ὁ λόγος σημαίνει, ἤγουν ἀναλγησίας καὶ ἀκολασίας, τῶν διὰ φιλανθρωπίαν φειδοῦς ἀξιωθέντων καὶ τὸν τέως ἐπ' αὐτοὺς ὑπερτιθέμενον εἰς σωτηρίαν καιρὸν εἰς μάτην ἀναλωσάντων, εἰς τὸ τὴν κατ' ἀξίαν τῆς ῥαθυμίας αὐτῶν

(α) Πραξ· Θ'. 15. (1) Παρ' ἄλλοις, φαρμάκων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνταπόδοσιν ἀποφέρειν· καίτοι γε καὶ πρὸ ὀμμάτων ἐνεργουμένης τῆς τῶν πονηρῶν ἀντιμισθίας, οἱ δὲ οὐχ ὅπως τῇ θέᾳ τῶν φοβερῶν, τῶν αὐτοῖς ἑτοίμων, βελτίους γεγόνασιν ἑαυτῶν, εἰ μὴ καὶ χείρους καὶ τοῖς ἁμαρτωλοτέροις ἐνδολιχεύοντες. *Οὐ μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν.*] Οὐ τοῦτο φησὶν, ὅτι οἱ μὴ μετανοήσαντες ἐν τῷ ἐκεῖσε βίῳ· (πῶς γὰρ καὶ τίς ἡ μετάγνωσις ἐν τῷ ἀναλλοιώτῳ βίῳ;) ἀλλ' ὅτι οἱ ζῶντες ἔτι, καὶ μὴ ἐκ τῆς ἀκοῆς καὶ θέας τῶν τότε ἐσομένων μετανοήσαντες ἀπὸ τῶν ἔργων, ὧν κατεῖδον, παρέθεντο πρὸς τὰ πρῶτα, τὰ τῆς δαιμονομανίας καὶ εἰδωλολατρείας, καὶ τὰ πρὸς τὸ σέβας τὴν δυσμένειαν φέροντα· οὐ τὸ ἀναίσθητον ὑπειδόμενος τῶν χειροκμήτων, ἀλλ' ὅτι ἐπ' ἀνομίᾳ ἀνομίαν προσέθεσαν. Διόπερ καὶ τῆς ἀληθοῦς ἀπεκλείσθησαν δικαιοσύνης. Τίς γὰρ δικαιοσύνη φονῶντι τὸν ὁμόφυλον ἢ διὰ ξίφους ἐπιφορᾶς, ἢ διὰ φαρμάκων ἐπιβουλῆς; Τίς δὲ τὸν ἀφειδῶς ἑαυτῷ χρώμενον οὐ μισήσει, καὶ ὅσα καὶ ἐχθρὸς ἐπιβούλως διακείμενος αὐτῷ μηχανᾶσθαι εἰς αὐτὸν οὐ κατοκνοῦντα; Τίς γὰρ τὸ διὰ πορνείας μυσαρίαν καὶ προσεδρείαν τοῦ θεῖον εἶναι σκήνωμα ἑαυτὸν ἀποστερεῖν (εἴγε τῷ θείῳ Παύλῳ πειστέον (α)) οὐ βδελυγμίαν σχοίη καὶ ἀποτρόπαιον; Ὁ δὲ κλέμμασι προσλιπαρῶν, ἐκεῖνο ἂν ὠκειώσατο, ὡς καὶ ἑαυτῷ τὸ ἀσύμφορον ἐμνηστεύσατο.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ ἀγγέλου, περιβεβλημένου νεφέλην καὶ ἶριν, καὶ τὸ κοινὸν τέλος προμηνύοντος.

ΚΕΦ. X, 1 Καὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, περιβεβλημένον νεφέλην,

(α) Α' Κορ. ς', 18. 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἡ ἶρις ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ τὸ πρόσω-
πον αὐτοῦ ὡς ὁ ἥλιος· καὶ οἱ πόδες αὐτοῦ, ὡς στύ-
2 λοι πυρός. Καὶ εἶχεν (1) ἐν τῇ χειρὶ αὐτοῦ βιβλιδά-
ριον (2) ἀνεῳγμένον· καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν
δεξιὸν ἐπὶ τῆς θαλάσσης, τὸν δὲ εὐώνυμον ἐπὶ τῆς
3 γῆς· καὶ ἔκραξε φωνῇ μεγάλῃ, ὥσπερ λέων μυκᾶ-
ται. Καὶ ὅτε ἔκραξεν, ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ
τὰς ἑαυτῶν φωνάς.

Ἡ μὲν *νεφέλη*, τὸ ἀφανὲς καὶ ἀόρατον παριστᾷ· ἡ δὲ *ἐπὶ τῆς κεφαλῆς ἶρις*, τὸ κεφάλαιον ὑπογράφει τῆς ἀγγελιώτιδος τάξεως, τῆς ἐκ τῆς κτίσεως τῶν ἀρετῶν τῶν θειοτέρων καὶ τοῦ περὶ τὴν ἀποστολὴν ποικίλου τὴν ἐγγύτητα καὶ ῥᾳστώνην κατευμεγεθούσης. Τοιοῦτον γὰρ ἡ ἐν νέφεσιν ἶρις, ἐξ ἡλιακῆς ἀκτινοβολίας ποικίλοις χρώμασιν ἐνδαλλομένη. Ἡ δὲ πρὸς τὸν ἥλιον τοῦ προσώπου ὁμοίωσις, τί ἂν ἄλλο, ἢ τὸ ἡλιῶδες σημαίνοι; καὶ ὅτι, ὅποι ἂν καὶ παρῶσιν ἡμερινῶν ἔργων διάταξιν ἐκτελοῦντες, ὑπὸ φωτὶ ἀπροσίτῳ καὶ ὑπερουσίῳ καταλαμπόμενοι ἔσονται; *Καὶ οἱ πόδες αὐτοῦ, ὡς στύλοι πυρός.*] Οἱ *πόδες*, τὴν κατάβασιν ὑπαινίττονται, ἥτις οὐκ ἄλλου τινὸς ἕνεκεν, ἢ τοῦ τιμωρήσασθαι τοὺς ἀσεβεῖς γίνεται· διὸ καὶ ὡς στύλοι πυρός. *Στύλοις* δὲ *πυρὸς* ἀπεικάσθησαν, οὐ τοῦ φωτιστικοῦ, ἀλλὰ τοῦ καυστικοῦ ἕνεκεν. Τὸ δὲ ἐν τῇ χειρὶ αὐτοῦ *ἀνεῳγμένον βιβλίον*, τί ἂν βούλοιτο; Τοῦτο τὸ ἀνεῳγμένον βιβλίον καὶ παρὰ τῷ Δανιὴλ εἴρηται (a), ὅτε κριτήριον παρ' αὐτῷ κάθηται, καὶ βίβλοι ἀνοίγονται, περιέχουσαι πάντων τῶν ἀπ' αἰῶνος ζησάντων τὰς πράξεις καὶ τὰ ὀνόματα. Εἰ δὲ ἐν τῷ Δανιὴλ μὲν *βίβλοι*, ἐνταῦθα δὲ *βιβλίον* ἐμφαίνει ὁ ὁρῶν, οὐδὲν διάφωνον. Παρὰ μὲν γὰρ τῷ Δανιὴλ, βίβλοι τῆς παγκοσμίου κρίσεως, ἐμ-

(1) Παρ' ἄλλοις, καὶ ἔχων.

(2) Παρ' ἄλλοις, βιβλίον· παρ' ἄλλοις, βιβλαρίδιον.

(a) Δαν. Ζ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φαίνουσαι δικαίων καὶ ἀδίκων τὴν διάγνωσιν· ἐνταῦθα δὲ μόνον τῶν ἀθεμίτοις ἔργοις ἐμβιωσάντων· ὧν καὶ ἐξηρημένως αἱ πράξεις οὐκ ἐν βιβλίῳ, ἀλλ' ἐν *βιβλιδαρίῳ*, ὑποκοριστικῷ ὀνόματι τὴν ὀλιγότητα τῶν ἐγκειμένων παραδηλοῦντος τοῦ ἀποστόλου ἐπὶ τῇ καθολικῇ τῆς κρίσεως ἀποφάνσει, καὶ τὰ ταύτην συμπληροῦντα ἐξανυόμενα. *Καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τῆς θαλάσσης.*] Τὸ τὸν μὲν τῶν ποδῶν τῇ ὑγρᾷ ἐπερείσαι συναγωγῇ, τὸν δὲ, τῇ ξηρᾷ, τὸ μέγεθος ὑπεμφαίνοντός ἐστι τοῦ κατειληφότος. Τὸ δὲ τὸν μὲν δεξιὸν, τῇ ὑγρᾷ, τὸν ἀριστερὸν δὲ, τῇ ξηρᾷ ἐπιθεῖναι, οὐκ ἄλλως, οἶμαι, εἴρηκεν, ἢ τῇ θέσει τῶνδε τῶν στοιχείων ἑπόμενος. Ἀέρι γὰρ, λεπτομερεῖ τὴν ὑπόστασιν ὄντι, τὸ ἀβρομερέστερον ὕδωρ ὑπόκειται, ὥσπερ τῷ ὕδατι, ἡ ξηρά. Οὐκ ἄλλως οὖν, οἶμαι, εἴρηται τοῦτο, ἢ ὅτι τὰ δεξιὰ ἀεὶ δυναμικώτερα τῶν ἀριστερῶν, πλειόνων δηλαδὴ ὄντων τῶν κατὰ θάλατταν ἀνοσιουργῶν, πειρατῶν, λέγω, καὶ καταποντιστῶν ἐκ ναυμαχίας ἢ τινὸς ἄλλης ἐπιβουλῆς, τῆς ὑγρᾶς ὑποστάσεως ἀμοιχθοτέραν τοῖς κακούργοις, καθ' ὧν ἐπιβούλως διάκεινται, τὴν ἔξοδον παρεχομένης. Ἐπεὶ οὖν ταῦτα, ἐπιτετευγμένως τὸ δυναμικώτερον τοῖς κακούργοις προσνέμεται. Καὶ ὅτι τοῦτο, ὁ θεοπάτωρ ἐχέγγυος πιστώσασθαι, ἐν οἷς τὴν καθ' ἡμῶν τῶν ἐπιβούλων ἡμῖν δαιμόνων προσβολὴν, βοηθείᾳ ἡμῶν χρωμένων τῇ τοῦ ὑψίστου, ἐκ μὲν τοῦ ἀριστεροῦ κλίτους χιλιοπλασίαν τὴν πτῶσιν τῶν ἐν σκότει διαπορευομένων ἐπιβούλων ἡμῖν ὑπογράφων, τὸ δεκαπλάσιον τῷ δεξιῷ ἀφωρίσατο (α). Καὶ περὶ μὲν τῆς ἐμβολῆς τῶν ποδῶν τοιαῦτα. Τὸ δὲ *κράξαι φωνῇ μεγάλῃ καὶ λεοντιαίῳ ἀπηχήσει*, τῆς ὀργῆς ἐστι σύμβουλον· διὸ καὶ μυκηθμῷ παρεβλήθη. Ἑπομένως δὲ τῇ κραυγῇ *αἱ ἑπτὰ βρονταὶ ἐλάλησαν*. Ταύτας δὲ *τὰς ἑπτὰ βροντὰς*, ἢ ἑπτὰ φωνὰς ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ διαρθρουμέ-

(α) Ψαλμ. ιγ', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νας φοβερῶς ἀγγέλου, τὰς ἀγγελικὰς δυνάμεις εἶναι νομίζομεν· διὸ καὶ βρονταῖς ἀπεικάσθησαν· ἢ τὰ προειρημένα ἓν τοῖς ἔμπροσθεν ἑπτὰ πνεύματα. *Ὥσπερ λέων μυκᾶται.*] οὐ προσφυῶς ἐπὶ λέοντος ἡ διὰ τοῦ *μυκᾶσθαι* φωνή· ἐπὶ βοῶν γὰρ μᾶλλον τοῦτο· λέουσι δὲ τὸ *βρύχειν* ἀρώρισται. Ὅτι μέντοι τοῦτο οὐ παρέργως ἐπῆλθεν αὐτῷ ἐρεῖν, ὁ ταῦτα διεξιὼν συνετίζει, μὴ ἐπιμείνας τῇ τοῦ μυκᾶσθαι χρήσει, ἀλλὰ πρὸς τὸ, ἔκραξε, μεταβάς. Περὶ μὲν οὖν λεόντων βοῆς ἀκριβολογουμένοις ταῦτα. Ἐπὶ δὲ τῆς ἁμαρτωλῶν τιμωρουμένων ἀδυνήρᾶς φθογγῆς τί τὸ μᾶλλον κατάλληλον, ἢ τὸ *βρύκειν*, ἀφ' οὗ *βρυγμὸς*; *Βρύκειν* δὲ ὠνομάσθη, ἀπὸ τοῦ βρώσει ἐοικέναι, ὡς ἐπὶ τοῦ ἐσθίειν ἀλλήλοις τῶν ὀδόντων συγκρουομένων.

4 Καὶ ὅτε ἐλάλησαν αἱ ἑπτὰ βρονταί, ἔμελλον γράφειν· καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν· Σφράγισον, ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταί, καὶ μὴ
5 ταῦτα γράψῃς. Καὶ ὁ ἄγγελος, ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς, ἦρε τὴν χεῖρα αὐ-
6 τοῦ τὴν δεξιὰν εἰς τὸν οὐρανόν, καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ, ὅτι χρόνος
7 οὐκέτι ἔσται· ἀλλὰ ἐν ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγγέλου, ὅταν μέλλῃ σαλπίζειν, τελεσθήσεται τὸ μυστήριον τοῦ θεοῦ, ὡς εὐηγγέλισε τοῖς δούλοις αὐτοῦ τοῖς προφήταις (1).

Ἐντεῦθεν ἀριδήλως *αἱ βρονταὶ*, ἀγγελικαὶ δυνάμεις γνωρίζονται· *λαλεῖ* γὰρ ἡ οὐσία, οὐχ ἡ βροντή, ἀπήχησις οὖσα, ἅμα τῇ γενέσει καὶ τὸ εἶναι ἀφαιρουμένη. *Ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν.*] Τοῦ *γράφειν*, ἤτοι, τοῦ πρόδηλα

(1) Παρ' ἄλλοις, καὶ ἐτελέσθη τὸ μυστήριον τοῦ θεοῦ, ὡς εὐηγγέλισε τοὺς δούλους αὐτοῦ τοὺς προφήτας. Παρ' ἄλλοις, τελεσθῇ, ἀντὶ τοῦ, ἐτελέσθη· καὶ, διεὐηγγελίσατο, ἀντὶ τοῦ, ὡς εὐηγγέλισε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιεῖν ἀνθρώποις διὰ γραφῆς τὰ ὁρώμενα, ἐκωλύθη· *σφράγισον* δὲ φησιν, οἱονεὶ ἀσφαλεῖ κατοχῇ ἐν τῇ διανοίᾳ σου συντήρει· ἔκφορον δὲ διὰ γραφῆς μηδόλως ποίει, ἴσως ὅτι μὴ λυσιτελεῖ πρὸ τῆς παρουσίας τῶν τελευταίων καιρῶν ἐμφανίζεσθαι· ἐπεὶ καὶ Δανιὴλ ἐσφραγισμένους τοὺς τῶν τοιούτων λόγους ἐδιδάσκετο (α). Λυσιτελεῖν δὲ τὸ ταμιεύεσθαι, εἰκαζικῶς εἴποιμεν ἂν τῶν διατεταγμένων κολάσεων τὸ σφοδρὸν, φιλανθρωπίᾳ τοῦ ἐλεήμονος θεοῦ μὴ ἰσόσταθμον ἐπάγοντος τὴν ἀντέκτισιν· ἐξ οὗ καὶ τὸ, Μὴ κατὰ τὰς ἀνομίας ἡμῶν, μηδὲ κατὰ τὰς ἁμαρτίας τὸ ἀνταπόδομα, ὁ ὑμνογράφος φησὶν ἐπιμετρεῖσθαι ἡμῖν (β). — *Ἐλάλησαν αἱ ἑπτὰ βρονταί.*] *Τὰς βροντὰς*, δυνάμεις ἀγγελικὰς εἶναι οἰητέον, βρονταῖς ἀπεικαζομένας διὰ τὸ καταπληκτικὸν τῶν ὑπ' αὐτῶν ἐκφωνουμένων. Τοιαῦται γὰρ τῶν ἀσωμάτων ἁγίων ἀγγέλων αἱ φωναὶ, καὶ ἀπ' αὐτῆς τῆς ἐμφανείας τὸ καταπληκτικὸν ἔχουσαι, ὡς δῆλον ἀπὸ τοῦ τὸν Δανιὴλ μηδὲ προσηνῆ θέαν ἀγγέλου, μήτιγε ἀπειλητικὴν ἐνεγκεῖν (γ). *Σφραγίσαι* δὲ τὰς τῶν ἑπτὰ βροντῶν ἀγγελίας ἡ ἐντολὴ παραδίδοται, τουτέστιν, ἐν ἀπορρήτῳ κατέχειν, ὡς τῆς περὶ τούτων τελείας καταλήψεως καὶ τρανοτέρας εἰδήσεως, τοῖς τελευταίοις χρόνοις ἀποκειμένης συμφερόντως. — *Ἦρε τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν εἰς τὸν οὐρανόν.*] Ἡ τῆς δεξιᾶς ἔπαρσις, τὸ ἔμπρακτον τοῦ ὀμνύοντος ὑπαινίττεται καὶ δυναμικώτερον· διὸ καὶ εἴρηται· *Δεξιὰ Κυρίου ἐποίησε δύναμιν* (δ). Τὸ δὲ, *Ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶνας*, δοκεῖ μὲν ἀνελλήνιστον εἶναι· *ὀμνύειν* γὰρ λέγεται, *κατά τινος*, οὐκ, *ἔν τινι*. Πλὴν οὐκ ἀπαίσιον ἦν τὸ *ἐν τῷ ζῶντι* ὀμνύναι, τῷ παριστᾶν κατὰ βούλησιν εἶναι τὸν ὅρκον τοῦ καθ' οὗ οὗτος παρείληπται. Ὁ θεὸς μὲν, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὅπερ ἔθος τοῖς ὀμνύουσιν, ὀμνύει καθ' ἑαυτοῦ· *Κατ' ἐμαυ-*

(α) Δαν. ΙΒ', 4. (β) Ψαλμ. ΡΒ', 10. (γ) Δαν. Ι'. (δ) Ψαλμ. ΡΙΖ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ γὰρ ὤμοσα, *λέγει Κύριος* (α)· ἄγγελοι δὲ, ὡς κτίσματα, κατὰ τοῦ κτίσου ὀμνύουσι, τὴν ἡμετέραν ἀπιστίαν διὰ τῆς παραλήψεως τοῦ θείου πιστούμενοι· ὤμοσε γὰρ χρόνον μηκέτι εἶναι· καλῶς καὶ ἀληθῶς· ὅτι χρόνος οὐκ ἔσαι ἔτι· τὸ γὰρ τότε διαστηματικὸν ῥεῦμα τῆς χρονικῆς ὑποστάσεως ἀνέσπερόν τε ἔσαι καὶ ἀδιάκοπον, καὶ διὰ τοῦτο οὐ χρόνος. Τίς γὰρ χρεία τῆς τοῦ ἡλιακοῦ φωτὸς συστολῆς, καθ' ἣν ἀνάπαυσις τῶν ἀπὸ τῆς ἡμέρας κόπων τοῖς ζώοις ἐγγίνεται; Χωρὶς γὰρ τούτων, τίς ἡλιακοῦ φωτὸς χρεία; Ἥλιος μὲν οὖν ἔσται· ὅτι μηδ' εἰς ἀνυπαρξίαν χωρήσῃ ὁ νῦν κόσμος, ἀλλ' εἰς ἀνακαινισμόν. Ὥσπερ δὲ νῦν ἄστρα μέν ἐστι καὶ ἐν ἡμέρᾳ, οὐ μὴν δὲ καθορᾶται, ὑπερνικωσῶν τὴν ἐκείνων λαμπηδόνα τῶν τοῦ ἡλίου μαρμαρυγῶν, καὶ οὕτως, ὥστε ὅτι εἰσὶν ἐν οὐρανῷ ἀγνοεῖσθαι· οὕτω καὶ τότε. Τὸ γὰρ ἀγνοεῖν, ὅτι οὐδὲ μία αἰτία τοῦ εἰς ἀνυπαρξίαν χωρῆσαι παντελῆ τὸν νῦν κόσμον τέως, οὐχ ἡ τυχοῦσα ἄγνοια. *Ὅτι χρόνος οὐκέτι ἔσται.*] Χρόνον μὴ εἶναι ὤμοσεν, οὐκ ἀπὸ τῶν τηνικαῦτα χρόνων, ἀλλ' ἀπὸ τῶν ὅτε μέλλει σαλπίζειν ὁ ἕβδομος ἄγγελος. Διὸ καὶ οὕτως ἀκουστέον μετὰ προσθήκης, *Ὅτι χρόνος οὐκέτι ἔσται ἀπὸ τοῦ νῦν.* Οὐ γὰρ οὖν κατὰ τοῦτο ὁ ὅρκος, ἀλλ' ὅτι *ἐν ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγγέλου.* Κατὰ σχῆμα δὲ ἐλλείψεως εἴρηται· ἐλλείπει γὰρ τὸ, Τότε ἔσται τοῦ χρόνου ἡ ἀπουσία, τοῦ τὸν ἥλιον μὴ μετρεῖν τὰ χρονικὰ διαστήματα. Ὅτε γὰρ μέλλει σαλπίζειν ὁ ἕβδομος ἄγγελος, τότε καὶ τὰ χρονικὰ διαστήματα ἐλλείψει, καὶ πᾶσα ἡ τῶν ἀσεβῶν ἐπιστήσεται κόλασις, διαφόροις ἐκδικίαις συντελουμένη. Καιρῷ τοιγαροῦν τῷ προσήκοντι σαλπίζοντος, ἔσται συντέλεια, οὐ νῦν, ὅτε ἐν τῇ θεωρίᾳ τὸ σαλπίσαι. Κατὰ δὲ τὸν προσήκοντα καιρὸν καὶ τὰ σαλπίζοντα τέλος λήψεται, φησι, καὶ τὸ μυστήριον, *ὃ εὐηγγέλισε* θεὸς *τοῖς*

(α) Γεν. ΚΒ', 16. Ἑβρ. ς', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑαυτοῦ δούλοις τοῖς προφήταις. Ἄχρι γὰρ τῆς κρίσεως καὶ τῆς τῶν ἑκάστῳ βεβιωμένων ἀντιδόσεως, προεφήτευσαν οἱ προφῆται· ὃ καὶ Παύλῳ τῷ θείῳ δοκεῖ, γλώσσας τε παύσασθαι κατ' ἐκεῖνο καιροῦ, καὶ προφητείας καταργηθήσεσθαι (α). *Εὐαγγελισμὸν* δὲ, τὴν τούτων ἔκβασιν καλεῖ, διὰ τὴν ἡτοιμασμένην τοῖς ἁγίοις ἀνάπαυσιν.

8 Καὶ ἡ φωνὴ, ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ, πάλιν λαλοῦσα μετ' ἐμοῦ, καὶ λέγουσα· Ὕπαγε, λάβε τὸ βιβλιδάριον τὸ ἀνεῳγμένον ἐν τῇ χειρὶ τοῦ ἀγγέλου, τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς
9 γῆς. Καὶ ἀπῆλθον πρὸς τὸν ἄγγελον, λέγων αὐτῷ· Δός μοι (1) τὸ βιβλιδάριον. Καὶ λέγει μοι· Λάβε καὶ κατάφαγε αὐτό· καὶ πικρανεῖ σου τὴν κοιλίαν, ἀλλ' ἐν τῷ στόματί σου ἔσται γλυκὺ ὡς μέλι.

Δεῖ πρὸς ἐντελεστέραν τῶν λεγομένων γνῶσιν τῷ προκειμένῳ ῥητῷ ἢ τὸ ὑπαρκτικὸν ῥῆμα προσνέμειν, ὡς εἶναι οὕτω· *Καὶ ἡ φωνὴ, ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ, ἣν πάλιν λαλοῦσα μετ' ἐμοῦ, καὶ λέγουσα·* ἦ, Ταύτην τὴν φωνὴν ἤκουσα, πάλιν λέγουσαν μετ' ἐμοῦ. τοῦτο δέ ἐστι τὸ, Ἤκουσα πάλιν λέγουσαν. *Ὕπαγε, λάβε τὸ βιβλιδάριον τὸ ἀνεῳγμένον ἐν τῇ χειρὶ τοῦ ἀγγέλου, τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς.*] Κἀνταῦθα ἄλλη τις ἀγγελικὴ ὑπερτέρα δύναμις τῷ εὐαγγελιστῇ ἐγκελεύεσθαι φαίνεται, διὰ τοῦ βιβλίου τὴν γνῶσιν τῶν χρησμῳδηθέντων ὑποδέξασθαι. Τί δὲ ἐλάλει; Λαβεῖν τὸ βιβλίον ἐκ τοῦ ἀγγέλου. *Λάβε, καὶ κατάφαγε αὐτό, καὶ ἐξῆς.*] Κατὰ τὸ προσταχθέν μοι, φησὶν, ἀπῆλθον πρὸς τὸν ἄγγελον, αἰτῶν τὸ βιβλιδάριον, καὶ λαβὼν ἔφαγον κατὰ τὸ ἐκείνου πρόσταγμα, ὃ καὶ ἦν, ὡς ἐδόκει καὶ τῷ δεδωκότι, γλυκὺ μὲν κατ' ἀρχὰς, διὰ τὴν τῶν μελλόντων γνῶσιν·

(α) Α' Κορ. ΙΓ', 8.
(1) Παρ' ἄλλοις, δοῦναί μοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(τοῦτο γὰρ αἰνίττεται διὰ τοῦ *στόματος*, ὅτι δι' αὐτοῦ ἡ τοῦ ἐσθίειν ἀρχή·) *πικρὸν* δὲ ἐν τῇ *κοιλίᾳ· κοιλίαν*, τὸ διανοητικὸν λέγων, ἢ τὸ χωρητικὸν τῶν λογικῶν τροφῶν. Ἐπεὶ γὰρ ἔγνω τὰς τῶν ἀσεβῶν κολάσεις, ἐξ ἔργων ἐσχηκυίας τὴν ὕπαρξιν τῶν ἀπωχημένων θεῷ· ἔγνω καὶ, ὡς τῷ τῆς θεωρίας ἀξιωμένῳ διὰ συμπάθειαν τοῦ ὁμογενοῦς πικρίας παραίτιον γενήσεται ἡ γνῶσις τοῦ ὁμογενοῦς, ἐβδελυγμένου θεῷ, καὶ διὰ τοῦτο κολάσεσιν ἀξίως ὑποβληθησομένου. Ἔστι καὶ οὕτω περὶ τούτων εἰπεῖν· Καὶ ἐπειδὴ ἐν τῷ βιβλίῳ τούτῳ πᾶσα ἐναπόγραφος ἡ τῶν ἐν τῷδε τῷ βίῳ ἐμπεπολιτευμένων ἀγωγή, εἰκότως κατ' ἀρχὰς μὲν ἐν τῇ τῶν ἀγαθουργιῶν εὐτυχίᾳ γλυκανθῆναι ἐφαίνετο· ἐπὶ πολὺ δὲ προβάντι, ὅπερ ἡ *κατάβρωσις* εἰσηγεῖται, καὶ ταῖς τῶν κακούργων περιενεχθέντι βδελυρίαις, ὀδύνης ἀναπλησθῆναι καὶ πικρίας· ὀδύνης μέν, διὰ τὸν ἐκ τῶν βασάνων τῶν ἁμαρτωλῶν ὀλολυγμόν· πικρίας δέ, ὅτι μὴ ἐκάμιλλον καὶ αὐτοὶ, ὁμογενεῖς ὄντες, τοῖς κατωρθωκόσιν ἠνέχθησαν. Ἢ πῶς ἂν τὸ λόγιον ἐκτελοῖτο, τό· *Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων* (α);

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Ὅπως τὸ βιβλιδάριον ἐκ χειρὸς τοῦ ἀγγέλου ὁ εὐαγγελιστὴς εἴληφεν.

10 Καὶ ἔλαβον τὸ βιβλιδάριον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου, καὶ κατέφαγον αὐτό· καὶ ἦν ἐν τῷ στόματί μου ὡς μέλι, γλυκύ· καὶ ὅτε ἔφαγον αὐτό,
11 ἐπικράνθη ἡ κοιλία μου· καὶ λέγει μοι· Δεῖ σε πάλιν προφητεῦσαι ἐπὶ λαοῖς καὶ ἐπὶ ἔθνεσι καὶ γλώσσαις καὶ βασιλεῦσι πολλοῖς.

(α) Ῥωμ. ΙΒ', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔστι καὶ ἄλλως περὶ τοῦ πικροῦ θεωρῆσαι καὶ τοῦ γλυκέως. Ἐπεὶ γὰρ ὁ ταῦτα ὁρῶν ἅγιος, ἀπείρατος τοιούτων ἀνοσιουργιῶν ὑπῆρχε, κελεύεται διὰ τῆς καταπόσεως τοῦ βιβλίου, ᾧ αἴτε ὀνομασίαι καὶ αἱ πράξεις τῶν ἀσεβῶν ἐνεφέροντο, καὶ αἱ διὰ πάντας κολάσεις, τοῦτο οὐχ ἁπλῶς φαγεῖν, (τοῦτο γὰρ τὴν ὡς ἔτυχε πεῖραν ὑποβάλλεται,) ἀλλὰ, *καταφαγεῖν*, τουτέστιν, ἐν πλήρει πείρᾳ τοῦ πράγματος γενέσθαι, καὶ ὡς αὐτουργὸν κομισθῆναι, ὡς διὰ τῆς πολλῆς πείρας ἐληλακότος τοῦ τοιούτου· δι' ὅπερ κατ' ἀρχὰς μὲν διὰ τὴν γνῶσιν, ἥτις ἀεὶ περισπούδαστος ἀνθρώποις, *γλυκύτητος* ἔμφασιν παρασχεῖν φαίνεται· *πικρίας* δὲ, διὰ τὴν ἀπαραλόγιστον γνῶσιν τῶν τῇ ἀμοιβῇ τῶν ἀνοσιουργιῶν ὑποκεισομένων. *Δεῖ σε πάλιν προφητεῦσαι.*] Διὰ τούτων δείκνυται, μὴ αὐτίκα μετὰ τὴν ὅρασιν τῆς ἀποκαλύψεως τὴν ἔκβασιν τῶν ὁραθέντων ἐπακολουθεῖν, ἀλλὰ δεῖν τὸν μακάριον τοῦτον πολλοῦ τοῦ χρόνου, παρατεινομένου μέχρι τῆς συντελείας τοῦ θνητοῦ κόσμου τούτου, καθ' ὃ ταῦτα τὴν πλήρωσιν λάβοι, πολλοῖς προφητεύσειν, εἴτε διὰ γνώσεως τοῦ εὐαγγελίου αὐτοῦ, ἐν ᾧ τινὰ τῶν μελλόντων ἐμφέρεται, ἢ καὶ διὰ τῆς προκειμένης ἀποκαλύψεως, ὡς ἤδη εἴρηται. Οὐκ ἀγνοεῖν δὲ δεῖ, καὶ ὡς ἀπὸ τούτου τοῦ ῥητοῦ, τοῦ, *Δεῖ σε πάλιν προφητεῦσαι*, ἔχουσι δόξαν οἱ πολλοὶ, ὡς μέχρι τῆς συντελείας ὁ μακάριος οὗτος ζῇ, καὶ ἥξει κατὰ τὸν καιρὸν τοῦ Ἀντιχρίστου μετὰ Ἐνὼχ καὶ Ἠλιοῦ, ἅμα αὐτοῖς ἐπανορθούμενος τοὺς τηνικαῦτα ἀνθρώπους, καὶ ὑπὸ τοῦ Ἀντιχρίστου ἀποκτανθήσεται.

ΚΕΦ. XI, 1 Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ, λέγων· Ἔγειραι, καὶ μέτρησον τὸν ναὸν τοῦ θεοῦ, καὶ τὸ θυσιαστήριον, καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ· 2 καὶ τὴν αὐλὴν τὴν ἔξωθεν τοῦ ναοῦ ἔκβαλε ἔξω, καὶ μὴ μετρήσῃς αὐτὴν, ὅτι ἐδόθη τοῖς ἔθνεσι· καὶ τὴν πόλιν τὴν ἁγίαν πατήσουσι μῆνας τεσσαρακονταδύο.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸν *κάλαμον*, ὃν δεδόσθαι αὐτῷ ὁ εὐαγγελιστής φησιν, εἴτις γνῶσιν ἐθέλει καλεῖν νοερῶν πραγμάτων, καθὸ καὶ Δαυὶδ *κάλαμον ὀξυγράφου* κεκτῆσθαι τὴν ἑαυτοῦ γλῶσσαν αὐχεῖ (α), οὐκ ἂν ἁμάρτοι. Τοίνυν καὶ ὁ εὐαγγελιστὴς τὴν γνῶσιν, τὴν νοερῶς αὐτῷ ἐγγινομένην, διὰ καλάμου δόσεώς φησι χρηματίσαι, ὃς καὶ *ῥάβδῳ* τῇ ὁμοιώσει ἀπείκαστο, τῆς ῥάβδου πάλιν τὸ ὑπερειστικὸν αἰνιττομένης. Τὴν τῶν νοερῶν τοίνυν γνῶσιν κἀνταῦθα διὰ τῆς τοῦ καλάμου δόσεως ὑποδιδόντα τὸν χρηματισμὸν, ὡς δι' ἄλλων ἀψύχων, τοῦ θυσιαστηρίου, λέγω, καὶ τοῦ θρόνου, καὶ τῶν τοιούτων, οὐκ ἀπεικὸς ὑπολαβεῖν. Οὐ γὰρ ἄψυχα ταῦτα νοεῖν, οὐδ' ὡς ὁρᾶται, κατὰ τὸ κρεῖττον δὲ τῆς ὑπάρξεως καὶ νοερὸν, ἤγουν, τὴν διακριτικὴν γνῶσιν τῶν ὁρωμένων, εἰς δόσιν ἄν τις ἀλληγοροῖ. Πῶς γὰρ ὁ κάλαμος, ἄψυχος ὤν, ἔλεγεν· *Ἔγειραι, καὶ μέτρησον τὸν ναὸν τοῦ θεοῦ;* Ἐκ τούτου οὖν δείκνυται, ἀγγελικῇ συνέσει μετρεῖσθαι τὸν τοῦ θεοῦ ναόν. Ἐπειδὴ δέ τινες ἑτέρως περὶ τούτων καὶ διαφόρως ἠνέχθησαν, λέγω δὴ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, ἃ καὶ μετρηθῆναι τὸ πρόσταγμα, *καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ, ναὸν θεοῦ* καὶ *θυσιαστήριον*, τὴν παλαιὰν Διαθήκην ἀποφηνάμενοι· *αὐλὴν* δέ, τὴν Νέαν, οὐ κατὰ σκοπὸν βάλλοντες· (οὕτω γὰρ ἂν εἶησαν μυστικώτερά τε καὶ ἱερώτερα ἐκεῖνα τῆς κατὰ Χριστὸν διαθήκης, εἴγε ὁ ναὸς καὶ τὸ θυσιαστήριον τῆς αὐλῆς τιμιώτερα·) οὐχ οὕτω τὸ ἐπιτεταγμένον τοῦ ἐξηγουμένου προβαίνειν εἰκός. Ἀλλ' εἰ μὲν ὅτι στοιχειωδέστερα τῆς Νέας ἐκεῖνα, καὶ πρὸς θεοσέβειαν ἀρχαΐζοντα, ἐξ οὗ καὶ μετρητοὶ οἱ κατ' αὐτὴν τὸ ἀριστεῖον ἀπενεγκάμενοι, ἔχει τινὰ λόγον ἡ ἔκληψις. Εἰ δὲ πρὸς θεοπρέπειαν καὶ ἀνθρωπίνου ἤθους κατάστασιν, καὶ, ἵνα τρανώτερον φῶ, τὴν τοῦ πλάστου πρὸς ἡμᾶς κηδεμονικὴν φιλοστοργίαν, ἀπαράβλητος τῇ νέᾳ Διαθήκῃ ἡ κατὰ νόμον. Εἴη

(α) Ψαλμ. ΜΑ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ἐν οὖν *αὐλῇ*, ἡ τοῦ θεοῦ ἐκκλησία, ἀπεριόριστος οὖσα καὶ τόπῳ καὶ τοῖς κατ' αὐτὴν τοποχωροῦσιν ἔθνεσιν ἀνεικάστοις. Μὴ θορυβείτω δὲ τὸ πρόσταγμα, τὸ ἔξωθεν τοῦ ναοῦ ἐκβάλλειν αὐτὴν λέγον· οὐ γάρ τι ἄλλο, ἢ τῆς νομικῆς στενοχωρίας τῶν ἀριθμάτων, περιτομῆς, σαββατισμῶν, καὶ τῶν ἄλλων περιττῶν ἁγνισμάτων ἐλευθέραν ἀποφαίνοντός ἐστιν. Εἶναι δὲ τὸν λόγον καὶ τὸ αἴτιον, ὅτι ἀπαρατήρητον τοῖς ἔθνεσι, τοῖς κατὰ Χριστὸν βιοῦν ἐθέλουσιν, ἐδόθη ἡ αὐλή. Τῷ δὲ *τὴν πόλιν τὴν ἁγίαν πατηθῆναι μῆνας τεσσαρακονταδύο, πόλιν ἁγίαν*, τὴν ἐκκλησίαν ἐκάλεσεν, ἣν ἴσμεν πατεῖσθαι ὑπὸ ἐθνῶν, οἷς ἐδόθη οἰονεὶ ἐν αὐτῇ ἀναστρέφεσθαι, ὑπὸ μὲν χριστιανῶν θεοφιλῶς· ὑπὸ δὲ ἀπίστων, καταφρονητικῶς καὶ ὀλεθρίως. Ἐπεὶ δέ τινες τὸ ἐκβεβλῆσθαι τὴν αὐλὴν, τὴν τῶν ἀπίστων ἐθνῶν τε καὶ Ἰουδαίων συναγωγὴν ἐξεδέξαντο, οὓς καὶ ἐφυβρίστως ἐν αὐτῇ διαδιώκειν φασὶ τοὺς πιστούς, μάλιστα κατὰ τὸν τοῦ Ἀντιχρίστου καιρὸν, κατὰ τῶν χριστιανῶν τοῦτο ἐξειλήφασι. *Καὶ τὴν πόλιν τὴν ἁγίαν πατήσουσι μῆνας τεσσαρακονταδύο.*] Τῶν τεσσηκονταδύο μηνῶν τὸν χρόνον, συντομίας εἶναι δηλωτικὸν ὑπειλήφαμεν κατὰ τὴν παρουσίαν τοῦ Ἀντιχρίστου, δι' ἣν, θλιβερὰν οὖσαν τοῖς φιλοθέοις, ὁ ἀληθὴς θεὸς, ὁ Χριστὸς, κολοβοῦσθαι αὐτὰς τὰς ἡμέρας λέγει (α). Εἰσὶ δὲ οἱ τεσσαρακονταδύο μῆνες, τρία ἥμισυ ἔτη, ἐν οἷς συμβήσεται τοὺς πιστοὺς καὶ δοκίμους πατεῖσθαι καὶ διώκεσθαι.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Περὶ Ἐνὼχ καὶ Ἠλία, διελέγχειν μελλόντων τὸν Ἀντίχριστον.

(α) Ματθ. ΚΔ', 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

3 Καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου, καὶ προφητεύσουσιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα, περιβεβλη-
4 μένοι σάκκους. Οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι καὶ αἱ δύο λυχνίαι, αἱ ἐνώπιον τοῦ Κυρίου (1) τῆς γῆς ἑστῶ-
5 τες (2) Καὶ εἴ τις αὐτοὺς θέλει ἀδικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν, καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν· καὶ εἴτις θέλει αὐτοὺς ἀδι-
6 κῆσαι, οὕτω δεῖ αὐτὸν ἀποκτανθῆναι. Οὗτοι ἔχουσι τὸν οὐρανὸν ἐξουσίαν κλεῖσαι, ἵνα μὴ ὑετὸς βρέχῃ τὰς ἡμέρας τῆς προφητείας αὐτῶν· καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων, στρέφειν αὐτὰ εἰς αἷμα, καὶ πατάξαι τὴν γῆν, ὁσάκις ἐὰν θελήσωσιν, ἐν πάσῃ πληγῇ.

Ἐπειδὴ πάντα ἐν τῇ ὀπτασίᾳ διεπλάσθη τῷ εὐαγγελιστῇ τὰ κατὰ τὴν ἔνσαρκον τοῦ Κυρίου οἰκονομίαν, ἡ γέννησις, οἱ πειρασμοί, αἱ διδασκαλίαι, ὁ σταυρὸς ἐπὶ τούτοις καὶ ἡ ἀνάστασις, ἡ δευτέρα τε παρουσία· καὶ πρὸς τούτοις ἡ τῶν ἁγίων τε καὶ τῶν ἁμαρτωλῶν ἀντίδοσις, μόνα δὲ παρελείφθη τὰ τῆς δευτέρας παρουσίας, ἐξ ὑποστροφῆς νῦν τὰ περὶ τούτων διδάσκεται. Καὶ ὅτι μὲν Ἠλίας ἥξει ὁ προφήτης, δῆλον, προαγορευσάσης τῆς Γραφῆς διὰ Μαλαχίου, χρησμῳδοτοῦντος· *Ἰδοὺ, ἐγὼ ἀποστέλλω ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ· ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ* (α). Περὶ δὲ τοῦ Ἐνὼχ μαρτυρίαν μὲν ὅσον πρὸς τὴν παρουσίαν ἀπὸ τῆς Γραφῆς οὐκ ἔχομεν, πλὴν τοῦ διὰ μεταθέσεως ἀπαθανατισθῆναι (β)· λόγος δὲ φέρεται, ἐκ παραδόσεως φωτῶν τῇ ἐκκλησίᾳ ἀπαρατρέπτως, καὶ αὐτὸν ἥξειν μετὰ Ἠλιοῦ τοῦ Θεσβίτου· ἥξουσι γὰρ ἄμφω, προδιαμαρτύρασθαι τοῖς οὖσι τότε, μὴ τοῖς ἀπατηλοῖς τοῦ Ἀντιχρίστου παράγεσθαι σπ-

(1) Παρ' ἄλλοις, τοῦ θεοῦ. (2) Παρ' ἄλλοις, τῆς γῆς ἑστῶσαι.
(α) Μαλαχ. Δ', 4. (β) Γεν. Ε', 24. Σιρ. ΜΔ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μείοις· καὶ τῇ ἰδίᾳ μαρτυρίᾳ ταύτῃ τριβῆναι χρόνον τριετίας καὶ ἡμίσεως· τοῦτο γὰρ αἱ χίλιαι διακόσιαι ἑξήκοντα ἡμέραι χρονικὸν ἀποτελοῦσι διάστημα. Ἡ δὲ *τῶν σάκκων περιβολὴ*, τὸ μετὰ εὐτελείας προβῆναι καὶ πένθους καὶ σκυθρωπότητος παριστᾷ τούτους τοὺς δύο, οὓς *ἐλαίαις* Ζαχαρίας ὁ προφήτης ἀπεικάζει, καὶ λυχνίαις δυσίν (α)· *ἐλαίαις*, διὰ τὸ τὸ ἔλαιον τὴν τροφὴν τοῦ φωτὸς πηγάζειν· *λυχνίαις* δὲ, ὅτι ὄχημα τῆς ἀληθείας γεγόνασιν· ἥτις τε δι' ἀρετῶν τὸ ἀληθινὸν φῶς ὀνομαζόμενον ὑποδύεται, καὶ φρυκτωρεῖ τοὺς πελάζοντας, ὃ καὶ αὐτοῖς περιγίνεται παῤῥησιάζουσι. Τὸ δὲ *ἐνώπιον ἑστῶσαι τοῦ Κυρίου τῆς γῆς* τί ἂν ἄλλο σημαίνοι, ἢ τό ἀγχοτάτω τοῦ κριτοῦ ζώντων καὶ νεκρῶν τῆς αὐτῶν παρουσίας τὴν ἔφοδον γενέσθαι; *Πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν.*] Σημείοις, φησὶ, χρήσονται καὶ αὐτοὶ δυνατοῖς, διὰ τοῦ ἀληθινοῦ ἑαυτῶν τὰ κατὰ πλάνην καὶ ἀπάτην ἐλέγχοντες, καὶ τοὺς ὁρῶντας εἰς πίστιν καὶ συγκατάθεσιν ἕλκοντες. Βαβαὶ τῆς θείας ἀγαθότητος, ἀντίῤῥοπον τῇ πλάνῃ τὴν ἀλήθειαν ἀντιταξάσης! Ἐν δυνάμει γὰρ ἀληθινῶν σημείων καὶ τεράτων τοὺς ἁγίους τούτους καθοπλίσας, λόγοις διδασκαλικοῖς ἐπιστρέφοντας· καὶ πρὸς τούτοις καὶ μάστιξιν, ἀνημβρίας, λέγω, καὶ πυρὸς, καὶ ταῖς τῶν στοιχείων μεταπτώσεσιν ἐπὶ τὸ βλαπτικὸν προχωρούσαις τοῖς ἀνεπιστρόφως διακειμένοις, τοὺς ἐναντίους αὐτοῦ καταισχυνεῖ μετὰ τῶν τεράτων τῶν ἀληθῶν. Καὶ οὕτω μὲν οἱ ἀσύνετοι· οἱ δὲ βελτίους καὶ πρὸς ἐπιστροφὴν ἀπιδόντες κατὰ τό· *Ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα* (β)· καὶ τό· *Ὃν ἀγαπᾷ Κύριος παιδεύει* (γ), ἐκέρδαναν, εἰ καὶ διαίως, ἀλλ' οὖν τὸ σωτήριον αὐτοῖς ἐπιβραβευθὲν παρὰ τοῦ μὴ τοῦ ἁμαρτωλοῦ τὸν θάνατον θέλοντος, ἀλλὰ τὴν μετάνοιαν (δ). *Καὶ πατάξαι τὴν γῆν.*]

(α) Ζαχ. Δ', 3, (β) Ἡσ. Ν', 4.
(γ) Παροιμ. Γ', 11. Ἑβρ. ΙΒ', 6. (δ) Ἰεζ. ΙΗ', 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀντιῤῥόπως κατὰ θείαν χρηστότητα τῇ πληγῇ ἐπιφέρεται καὶ ἡ ἴασις. Ἐπειδὴ γὰρ ὁ Ἀντίχριστος ἐν πᾶσι σημείοις καὶ τέρασι ψεύδους, πάντων τῶν φαρμακῶν ἔσαι περιφανέστερος κατ' ἐνέργειαν τοῦ σατανᾶ (α), ὁ ἀγαθὸς θεὸς τοὺς ἁγίους τούτους καθοπλίσει ἐν δυνάμει σημείων ἀληθινῶν, τὸ ψεῦδος ἀπελέγξοντας· καὶ τοὺς μὲν πεπλανημένους, ἐπιστρέψοντας, τὸν δὲ πλάνον, παραδειγματίσοντας, καὶ μηδὲν πεισομένους ὑπ' ἐκείνου λυπηρὸν ἄχρι τοῦ πέρατος τῆς ἑαυτῶν προφητείας.

7 Καὶ ὅταν τελέσωσι τὴν μαρτυρίαν αὐτῶν, τὸ θηρίον, τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου, ποιήσει μετ' αὐτῶν πόλεμον, καὶ νικήσει αὐτοὺς, καὶ ἀποκτενεῖ
8 αὐτούς. Καὶ τὰ πτώματα αὐτῶν (1) ἐπὶ τῆς πλατείας τῆς πόλεως τῆς μεγάλης, ἥτις καλεῖται πνευματικῶς Σόδομα καὶ Αἴγυπτος, ὅπου καὶ ὁ Κύριος
9 αὐτῶν ἐσταυρώθη. Καὶ βλέπουσιν ἐκ τῶν λαῶν καὶ φυλῶν καὶ γλωσσῶν καὶ ἐθνῶν τὰ πτώματα (2) αὐτῶν ἡμέρας τρεῖς καὶ ἥμυσι, καὶ τὰ πτώματα
10 αὐτῶν οὐκ ἀφήσουσι τεθῆναι εἰς μνῆμα (3). Καὶ οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς χαρήσονται (4) ἐπ' αὐτοῖς, καὶ εὐφρανθήσονται· καὶ δῶρα πέμψουσιν (5) ἀλλήλοις, ὅτι οὗτοι οἱ δύο προφῆται ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς.

Καὶ ὅταν τελέσωσι τὴν μαρτυρίαν.] Ποίαν; Ὅτι οὗτος ὁ παρὼν οὐκ ἔστιν ὁ Χριστός· ἀπατεὼν δὲ καὶ ὀλέθριος πλάνος· ἥξει δὲ ὅπον οὔπω ὁ τοῦ θεοῦ υἱός, ᾧ καὶ πιστευτέον ὡς σωτῆρι, καὶ ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων καὶ πάλαι παραγεγονότι, καὶ νῦν παραγινομένῳ. *Τὸ θηρίον, τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου.*] *Θηρίον*, τὸν Ἀντίχριστον λέγει, διὰ τὸ ὠμὸν καὶ ἀπάν-

---

(α) Β' Θεσ. Β', 9.
(1) Παρ' ἄλλοις, καὶ τὸ πτῶμα αὐτῶν. (2) Τὸ πτῶμα.
(3) Εἰς μνήματα. (4) Παρ' ἄλλοις, χαίρουσιν ἢ, χαροῦσιν.
(5) Παρ' ἄλλοις, δώσουσιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θρωπον καὶ αἱμοβόρον· *ἄβυσσον* δὲ, τὸν τῶν ἀνθρώπων βίον, τὸν πικρὸν ταῖς ἁμαρτίαις, καὶ λυπηρὸν, καὶ ἀστατοῦντα ταῖς περιφυσήσεσι καὶ ἀντιπνοίαις τῶν πονηρῶν πνευμάτων. Οὐ γὰρ ἐξ ἄλλης φύσεως ἐγερθήσεται ὁ ἀλιτήριος οὗτος, ἀλλ' ἐκ τῆς ἡμετέρας καὶ ἀνθρωπίνης οὐσίας· ἄνθρωπος γὰρ ἔσται κατ' ἐνέργειαν τοῦ σατανᾶ (α), ὡς ἤδη εἰρηται. Τοῦτο οὖν, φησὶ, τὸ θηρίον πολεμήσει τοῖς ἁγίοις τούτοις προφήταις, *καὶ νικήσει αὐτοὺς, καὶ ἀποκτενεῖ αὐτοὺς*, καὶ τὰ σώματα αὐτῶν ἀταφα ῥίψει ἐν ταῖς πλατείαις τῆς Ἱερουσαλήμ· ἐν αὐτῇ γὰρ βασιλεύσει, ὡς Ἰουδαίων βασιλεὺς, οὓς ἀπατήσει, καὶ ἕξει αὐτοὺς πρὸς πάντα ὑπουργοῦντας καὶ πειθομένους. Καὶ ὁ Κύριος παρὰ Ἰωάννῃ· *Ἐγὼ ἐλήλυθά, φησιν, ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε* (β). *Σόδομα* δὲ καὶ *Αἴγυπτον* τὴν Ἱερουσαλὴμ πνευματικῶς φησὶ καλεῖσθαι, οἱονεὶ κατὰ ἀλληγορίαν· *Σόδομα*, διὰ τὴν τότε ἀσέλγειαν καὶ κακοξενίαν τῶν ἐν αὐτῇ ἐσομένων Ἰουδαίων· *Αἴγυπτον*, ὡς καταδουλουμένην καὶ ἀδικοῦσαν τοὺς Χριστοῦ δούλους, ὡς ἐκείνη τὸν Ἰσραήλ. *Ὅπου καὶ ὁ Κύριος αὐτῶν ἐσταυρώθη.*] *Ὁ Κύριος αὐτῶν*, τῶν δύο μαρτύρων δηλονότι. *Καὶ βλέπουσιν ἐκ τῶν λαῶν.*] Ὁρῶντες δὲ οἱ τῷ Ἀντιχρίστῳ ἐκ πάσης φυλῆς ἐξηπατημένοι Ἰουδαῖοι τὴν ἀναίρεσιν τῶν δύο μαρτύρων, χαίρουσι, ὡς τοῦ σφῶν βασιλέως νενικηκότος, καὶ δῶρα χαριστήρια δεξιώσονται ἀλλήλους, καὶ τὰ σώματα αὐτῶν, ἄταφα ποιήσουσι μεῖναι, ἀμοιβὴν τοῦτο παρέχοντες τοῖς δύο προφήταις.

(α) Β' Θεσ. Β'. 3. 9.
(β) Ἰωάν. Ε', 43.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Ὅπως ἀναιρεθέντες ὑπὸ τοῦ Ἀντιχρίστου ἀναστήσονται Ἐνὼχ καὶ Ἠλίας, καὶ τοὺς ἡπατημένους ἐκπλήξουσιν.

11 Καὶ μετὰ τὰς τρεῖς ἡμέρας καὶ ἥμισυ, πνεῦμα ζωῆς ἐκ τοῦ Θεοῦ εἰσῆλθεν εἰς αὐτούς· καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ φόβος μέγας ἔπεσεν ἐπὶ
12 τοὺς θεωροῦντας αὐτούς. Καὶ ἤκουσα (1) φωνὴν μεγάλην ἐκ τοῦ οὐρανοῦ, λέγουσαν αὐτοῖς· Ἀνάβητε ὧδε. Καὶ ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέ-
13 λῃ· καὶ ἐθεώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν. Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ (2) ἐγένετο σεισμὸς μέγας, καὶ τὸ δέκατον τῆς πόλεως ἔπεσε, καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα ἀνθρώπων χιλιάδες ἑπτά· καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο, καὶ ἔδωκαν δόξαν τῷ
14 Θεῷ τοῦ οὐρανοῦ. Ἡ οὐαὶ ἡ δευτέρα ἀπῆλθεν· ἡ οὐαὶ ἡ τρίτη, ἰδοὺ, ἔρχεται ταχύ.

Ἰσαρίθμους ἡμέρας τοῖς ἔτεσι τῆς αὐτῶν προφητείας νεκρωθέντας, πάλιν ἀναστήσεσθαί φησι, ἔτι ἐκ τῆς χρονικῆς δηλώσεως ἀπὸ μελλούσης συντελείας εἰς παρῳχημένην μετακρουσθείς, κἀντεῦθεν τὸ ἀπαράβατον τῶν δηλουμένων σαφῶς πως ἐμφανὲς μετὰ τῆς πρεπούσης καθιστῶν ἀκριβείας. *Καὶ φόβος μέγας ἔπεσε.*] *Φόβος μέγας* εἴρηται, ἤτοι καὶ αἰσθητῶς συμβαίνων τότε, τούτων μελλόντων γίνεσθαι, ἢ καὶ ἑτέρως· παρ' οὐδὲν δὲ περὶ τούτων ἀσχολεῖσθαι χρὴ, ἀφ' ἑκατέρου τῇ ψυχῇ τῶν ἐγρηγορέναι φιλούντων τοῦ σωτηρίου θεαρέστως προιζομένου. *Καὶ ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ.*] *Νεφέλη* ἀεὶ τῶν θείων πραγμάτων ὑπουργὸς, ἤτοι περιπολοῦσα, ὡς ἐν τῷ· *Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ* (a)· ἡ γὰρ *νεφέλη* εἴρηται ἀπὸ τῶν νε-

(1) Παρ' ἄλλοις, ἤκουσαν.
(2) Παρ' ἄλλοις, ὥρᾳ.
(a) Ψαλ. ϙϛ'. 2.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

φῶν, τὸ παχὺ καὶ ὑδατῶδες ἀποβαλόντων· ἃ νέφη ἐξ ἀναθυμιάσεως τῆς ὑγρᾶς οὐσίας πέφυκε τὴν ὑπόστασιν λαμβάνειν τῇ ἐξατμίσει. Τοιγαροῦν τῶν νεφῶν τῆς νεφέλης τὸ εἶναι οἰκειουμένων, ἐνθεωρεῖται ἐν αὐτῇ ἀδηλία τις μετά τινος αἴγλης, ἥτις ἐξ ἀνακλάσεως ἡλιακῆς ἀκτῖνος κατ' ἔμπτωσιν ἐκτελεῖται· διόπερ καὶ ἀεὶ τοῖς θείοις δηλώμασι συμπαρομαρτεῖ, ἐκεῖνο αἰνιττομένη, ὡς τὰ θεῖα οὔτε πάντη ἄδηλα ἡμῖν, οὔτε πάντως ἐκδήλως παρεχόμενα, ἀλλ' οἷον ἀκράτου φωτὸς ἔλλαμψις τῇ κρυφιότητι ὑπογυμναζομένη. Κατ' αὐτὸ δὴ τοῦτο καὶ νῦν ἡ νεφέλη τῇ πρὸς οὐρανὸν ἀνόδῳ τῶν προφητῶν ὑπηρετεῖ· διό καὶ, ὡς ἔθος ἐν τοῖς τοιούτοις, μετὰ τοῦ ἄρθρου παρείληπται· *ἐν τῇ νεφέλῃ* γὰρ *ἀναβῆναι* φησίν, οὕτω τῆς μυήσεως ἐντελλομένης, τῶν ἄρθρων, ὡς πρὸ μικροῦ ὑπεμνήσαμεν, προεγνωσμένου τινὸς ἀναπόλησιν εἰσηγουμένων· Καὶ περὶ μὲν νεφέλης, ταύτῃ τεθεωρείσθω, ἥτις, κατὰ τὸ ἔτυμον τῆς λέξεως, *νεφέλη*, εἴρηται διὰ τὸ ἀπὸ νέφους τὴν ὑπόστασιν ἐσχηκέναι, ἀποτινάξαντος πᾶν τὸ παχὺ καὶ ὑδατῶδες· ἀναθυμίασις γὰρ ὑγρὰ τὰ νέφη συνίστησιν· ἧς ἀποτιναχθείσης εἰς υἱετὸν, καὶ οἱονεὶ πέψεως γενομένης, τὸ ἄπεπτον τούτου εἰς νεφέλης χωρεῖ γέννησιν· ἢ τινι διὰ λεπτότητα καὶ δι' ἀφάνειαν καὶ ἔλη, ἤτοι φῶς ἡλιακὸν, ἐμφιλοχωρεῖ, ὡς εἶναι οἱονεὶ νέφος πεφωτισμένον καὶ διαυγές. *Καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα.*] Ἰδικώτερον κέχρηται τῇ ἀπαγγελίᾳ. Οὐ γὰρ τὰ ὀνόματα ἀπεκτάνθη· πῶς γὰρ τὰ ἐν τάξει συμβεβηκότων κείμενα, ἃ χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς γίνεται καὶ ἀπογίνεται, ὡς οἱ περὶ ταῦτα δεινοὶ ἐμφανίζουσιν; ἀλλὰ περὶ ἐκείνων ἀναιρεθέντων, τῶν καθ' ὧν τὰ ὀνόματα τέθειται, τὸ λεγόμενον νοητέον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Περὶ τῆς ἑβδόμης σάλπιγγος, καὶ τῶν ὑμνούντων τὸν θεὸν ἁγίων ἐπὶ τῇ μελλούσῃ κρίσει.

15 Καὶ ὁ ἕβδομος ἄγγελος ἐσάλπισε, καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ, λέγουσαι· Ἐγένετο ἡ βασιλεία (1) τοῦ κόσμου, τοῦ Κυρίου ἡμῶν, καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας
16 τῶν αἰώνων. Καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι, οἱ ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ, οἳ κάθηνται (2) ἐπὶ τοὺς θρόνους αὐτῶν, ἔπεσον ἐπὶ τὰ πρόσωπα
17 αὐτῶν, καὶ προσεκύνησαν τῷ θεῷ, λέγοντες· Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ὢν καὶ ὁ ἦν, ὅτι εἴληφας τὴν δύναμίν σου τὴν μεγά-
18 λην, καὶ ἐβασίλευσας. Καὶ τὰ ἔθνη ὠργίσθησαν, καὶ ἦλθεν ἡ ὀργή σου· καὶ ὁ καιρὸς τῶν νεκρῶν, κριθῆναι, καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου τοῖς προφήταις, καὶ τοῖς ἁγίοις καὶ τοῖς φοβουμένοις τὸ ὄνομά σου, τοῖς μικροῖς καὶ τοῖς μεγάλοις· καὶ διαφθεῖραι τοὺς διαφθείροντας τὴν γῆν.

Τὰ τῆς τρίτης *Οὐαὶ*, ἡ τοῦ ἑβδόμου ἀγγέλου σάλπισις παριστᾷ, *φωνὰς μεγάλας ἐν οὐρανῷ ἐξηχουμένας*, δήλωσιν ἐμποιούσας· τοῦτο γὰρ βούλεται λέγειν. Τί οὖν τὸ δηλούμενον; *Ἐγένετο ἡ βασιλεία.* Ἀεὶ μὲν ὁ θεὸς βασιλεύει, οὔτε ἀρξάμενος, οὔτε παυσάμενος, νοουμένων τε πάντων καὶ ἀνεννοήτων· (ὅτι μηδὲ πάντων ἡ ἀνθρωπίνη περιδράττεται νόησις·) ἀλλὰ καὶ ἀνάρχως καὶ ἀτελευτήτως ἐστὶ πάντων κύριος ὁ δεσπότης. Ἐπειδὴ δὲ ἡ κοσμικὴ ἀρχὴ καὶ βασιλεία ἔσθ' ὅτε τὸ

(1) Παρ' ἄλλοις, ἐγένοντο αἱ βασιλεῖαι.
(2) Παρ' ἄλλοις, οἱ ἐνώπιον τοῦ θεοῦ καθήμενοι ἐπὶ —

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνυπότακτον ἐπεδείξατο αὐτῷ, οἰκείαις ματαιότησι κορυφουμένη, ἦκε δὲ ἀπὸ τούτου ὀνειρώττουσα δόξα τῷ θνητῷ τούτῳ κόσμῳ πρὸς φθορὰν, κατὰ τῶν σαλευθέντων καὶ παυσαμένων τῶν ἐπὶ γῆς βασιλευόντων καὶ τυραννούντων, οὐκ ἀληθῶς, ἀλλ' ἐν ἐσόπτρῳ τε καὶ ἐνδάλματι· μόνος ὁ τῷ ὄντι θεὸς καὶ βασιλεὺς κρατεῖν καὶ βασιλεύειν εἰς τοὺς αἰῶνας ἀδιαδόχῳ κράτει καὶ ἐξουσίᾳ εἴρηται. *Ἔπεσον ἐπὶ τὰ πρόσωπα αὐτῶν.*] Ἐπειδὴ ἡ πτῶσις καὶ τὴν ἁπλῶς κάθεξιν τοῦ σώματος σημαίνει, ἵνα μὴ τοῦτο ὑποληφθείη, ἐπήγαγεν, *ἐπὶ τὰ πρόσωπα αὐτῶν*, ὅπερ τῇ δεσποτικῇ ἐποφείλεται παρὰ τῶν ὑποδεεστέρων τιμῇ. *Καὶ ἦλθεν ἡ ὀργή σου.*] Πολλά, φησι, μακροθυμήσας ἔτι τοῖς πάλαι, ἐπεὶ μηδὲν ἀπώναντο τῆς χρηστότητός σου, νῦν κατὰ καιρὸν ἦλθες. *Καιρὸν* δὲ *τῶν νεκρῶν*, τὸν τῆς παγκοσμίου φησὶν ἀναστάσεως, ἐν ᾧ ἑκάστῳ καταλλήλως δοθήσεται τὰ ἐπίχειρα. Διὰ δὲ *τῶν προφητῶν*, καὶ *τῶν ἁγίων* καὶ *τῶν φοβουμένων* τὸν θεὸν, τὰ τρία εἰκὸς νοεῖσθαι τάγματα, τῶν ρ', καὶ ξ', καὶ τριάκοντα καρποφορούντων (α)· τῶν ἀποστόλων ὁμολογουμένως τῆς πρώτης λήξεως ἀξιουμένων, καὶ τῆς ἐπὶ δώδεκα θρόνων ἱδρύσεως. *Τοῖς μικροῖς καὶ τοῖς μεγάλοις.*] *Μικροὺς*, τοὺς ἧττον ἁγίους λέγει, *μεγάλους*, τοὺς μᾶλλον ὑπερέχοντας ἁγιότητι. Ἐπεὶ δὲ διττὸς ὁ *φόβος*, ὁ μὲν *προκαταρκτικὸς*, ὁ δὲ, *τελειωτικὸς* (1)· καὶ τοῦ μὲν προκαταρκτικοῦ, τοῖς οὔπω τὴν ἀθώωσιν εἰληφόσι συνόντος· τοῦ τελειωτικοῦ δὲ, τοῖς ἤδη ὑπὸ θεοῦ ἀνειλημμένοις, οἷς καὶ διὰ φόβου ἀεὶ τὸ μή τι αὐτοῖς ἐνδεῖ, ὧν εἰκὸς ὑπεῖναι τοῖς σφόδρα ἀγαπῶσιν· οὐκ ἀποβλητέον, οἶμαι, τὸ ἀπὸ τῶν ἁγίων ὑποσταλῆναι *τοὺς φοβουμένους*, ὡς τῶν μὲν μικρῶν, τῷ ὄντι φόβῳ ἐνεχομένων, τῶν δὲ μεγάλων, οἳ ἔχουσι τὸ θαῤῥεῖν, ὥσπερ εἴρηται, καὶ τῷ θάῤῥει τὸν φόβον παρομαρτεῖν. Ἑκατέροις τοί-

(α) Ματθ. ΙΓ', 22. Μαρκ. Δ', 20. (1) Ἰδ. Α' Πετρ. Α', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νυν ὁ φόβος, διὰ τὴν ἀντίδοσιν, τὴν πρὸς ἀξίαν τῶν εὐσεβωμένων, καὶ τὴν ἀντιμισθίαν, τοῖς μὲν μεγάλοις, διὰ τὸ μὴ πεποιθέναι ἑαυτοῖς αὐτὸ τοῦτο, προσεῖναι τὸ ἀνελλιπές· τοῖς μικροῖς δὲ, διὰ τὸ ἀνενδοιάστως ἐλπίζειν σώζεσθαι, καὶ ὅτε τοὺς τοῦ θεοῦ δούλους ὑπέβαλλον ἀπηνέσι κακοῖς, καὶ οἷς ἄλλοις ἀπόποις αὐτῶν ἔργοις ἐμίαναν τὴν γῆν καὶ διέφθειραν.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ τῶν διωγμῶν τῆς ἐκκλησίας, τῶν προτέρων καὶ τῶν ἐπὶ τοῦ Ἀντιχρίστου.

19 Καὶ ἠνοίχθη ὁ ναὸς τοῦ θεοῦ ἐν τῷ οὐρανῷ, καὶ ὤφθη ἡ κιβωτὸς τῆς διαθήκης τοῦ Κυρίου ἐν τῷ ναῷ αὐτοῦ· καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταὶ, καὶ σεισμὸς καὶ χάλαζα μεγάλη.

Μετὰ τὴν εὐχαριστήριον δόξαν τῶν ἀγγέλων καὶ τῶν ἰσαγγέλως ζησάντων, ἠνοῖχθαι τὸν οὐρανόν φησι, καὶ ὀφθῆναι τὴν κιβωτὸν τῆς διαθήκης, *οὐρανὸν* τὴν ὑπεράνθρωπον λέγων γνῶσιν, ἐν ᾧ καὶ τεθησαύρισται *ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν* (α). Ἐν τούτῳ τῷ τῆς γνώσεως οὐρανῷ, καὶ *ἡ κιβωτὸς ὤφθη τῆς διαθήκης*. Τί δὲ δὴ αὐτῆς δηλοῦν ἐθέλει ἡ ὀπτασία; Τὸ ὅτι, ὥσπερ ἐν ἐκείνῳ τῷ καιρῷ εἴρηται Μωϋσῇ, συμβολικὰ ταῦτα τὰ προσταττόμενα αὐτῷ (β), ἀλλ' οὐκ ἐνεργείας ἀληθείας ἐχόμενα· (*ὅρα γάρ*, φησι, *ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει* (γ)·) οὕτω καὶ νῦν ταῦτα εἰσηγεῖται,

(α) Α' Κορ. Β', 9. (β) Ἐξοδ. ΙΘ'. Κ'. (γ) Ἐξοδ. ΚΕ', 40.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ὁρωμένων καταλλήλως τῷ οὐρανίῳ ὕψει μετεωρίζων τὴν γνῶσιν. Καὶ ἐπειδὴ τῇ ὑποδείξει Μωϋσῆ τῆς κιβωτοῦ τῆς Διαθήκης προτέλεια αἱ ἀστραπαὶ καὶ βρονταὶ κατὰ τὸ ὄρος, ἐν ᾧ ταῦτα χρηματισθῆναι εὐδόκητο, ἅπερ τοῖς ἀλόγοις καὶ θηριωδέσιν ἀπειργάζοντο· οὕτω καὶ ἐνταῦθα τῇ ὑποδείξει τῆς κιβωτοῦ, καὶ τὰ καθήκοντα ταύτῃ τῇ ὑπτασίᾳ ἐπηκολούθει. *Καὶ ἐγένοντο ἀστραπαί,*] Αὕτη ἐστὶν ἡ τρίτη *Οὐαί*, ἥτις τοῖς ἁμαρτωλοῖς ἡτοιμάσθη, ὥσπερ ἡ ἐποψία τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἁγίοις, τέως ἀδιαγνώστοις ἀνθρώποις, διὰ δὲ τῆς ἀνοίξεως τοῦ ναοῦ τοῦ θεοῦ τοῦ ἐν τῷ οὐρανῷ, εἰς γνῶσιν ἀφικομένοις. Τότε γὰρ οἱ καλῶς βιώσαντες, τῆς παλινζωΐας ἠξιωμένοι, τῶν ἀποκειμένων τοῖς ὁσίοις ἀγαθῶν ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς τεύξονται.

ΚΕΦ. XII, 1 Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ· Γυνὴ περιβεβλημένη τὸν ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ τῆς κεφαλῆς αὐ-
2 τῆς στέφανος ἀστέρων δώδεκα· καὶ ἐν γαστρὶ ἔχουσα, ἔκραζεν ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν.

Τὴν *γυναῖκα* ταύτην, τὴν τοῦ Κυρίου ἔφησάν τινες εἶναι μητέρα· τὰ γὰρ κατὰ τὸν Ἀντίχριστον πρὸ βραχέως διεξελθόν, ἐπειδὴ τοῦ ἐπισῆναι τοῦτον καὶ ὑπὸ τοῦ σατανᾶ προχειρισθῆναι οἱ λόγοι εἴρηνται, σπουδῇ τοῦ σατανᾶ πείθειν ἐξ ἀπάτης βουλομένου τοὺς ἤδη προσνεμηθέντας Χριστῷ ἐξ ὑποστροφῆς πρὸς αὐτὸν αὐτομολῆσαι· ὃς καὶ τοῖς ἀπ' ἀρχῆς τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου κακούργως ἐπιβαλὼν, ἐξ ὁμοιώσεως τούτων τὴν ἀπάτην προέθετο ἐνστήσασθαι· καὶ μάλιστα Ἑβραίοις τὰς περὶ Χριστοῦ προφητείας ἐκείνῳ μᾶλλον προσοικειοῦσιν ἢ τῷ Χριστῷ· ταύτῃ τοι τὴν ἀπάτην διορθουμένην, τὴν τοῦ Κυρίου δι' ἡμᾶς προβάλλεται οἰκονομίαν, ὡς ἤδη τελεσθεῖσαν, καὶ μὴ ἂν ἄλλης αὐτῇ ἐναμίλλου ἔσεσθαι δυναμένης. Διὸ περὶ μὲν τῆς μητρὸς, ἅτε καθαρᾶς καὶ τῶν γηΐνων ἀπηλλαγμένης, ἐν οὐρανῷ ταύτην

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γράφει, καὶ οὐκ ἐν γῇ, ὡς ἰσάγγελον· τὸ δὲ περιβεβλῆσθαι αὐτὴν τὸν ἥλιον, καὶ τὴν σελήνην ἔχειν ὑποπόδιον, ὁ Ἀββακοὺμ ἱκανὸς παραστῆσαι, δι' ὧν φησίν· *Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς* (α)· *ἥλιον* λέγων *τῆς δικαιοσύνης* τὸν σωτῆρα Χριστὸν, ἅτε αὐτοῦ τῷ εὐαγγελικῷ κηρύγματι ὑψωθέντος καὶ μετεωρισθέντος, *τῆς δὲ σελήνης*, τουτέστι, τῆς τῶν Ἰουδαίων συναγωγῆς, οὐκέτι προσθήκην δεξαμένης· οὐ γὰρ ἔτι μετὰ τὴν τοῦ Χριστοῦ ἐπιφάνειαν προσθήκην ἔλαβε διὰ προσηλύτων, μᾶλλον μὲν οὖν καὶ ὠλίγωται, χριστιανοῖς προσχωρούντων Ἰουδαίων. Ἀλλὰ τὸ *περιβεβλῆσθαι τὸν ἥλιον*, καὶ τὸ ἐσκεπάσθαι τὴν ἁγίαν Παρθένον τῷ ἡλίῳ τῷ νοητῷ, ἤτοι τῷ Χριστῷ, δυνάμεθα ὑπολαβεῖν· καὶ τὴν *σελήνην*, τὴν κατὰ νόμον λατρείαν, ἅτε ὑποβεβασθεῖσαν καὶ παρὰ πολὺ μείονα ἑαυτῆς γενομένην, τῷ εὐαγγελικῷ κινηθεῖσαν πνεύματι. Ἴσως δὲ πρὸς τὸ δηλούμενον ἀκολουθότερον ἦν εἰπεῖν, μὴ τῷ ἡλίῳ περιβεβλῆσθαι τὴν γυναῖκα, περιβεβληκέναι δὲ τὸν ἐν γαστρὶ ἔχόμενον ἥλιον. Ἀλλ' ἵνα δείξῃ, ὅτι καὶ κυοφορούμενος ὁ Κύριος, καὶ τῆς οἰκείας μητρὸς καὶ πάσης τῆς κτίσεως ὑπερεῖχε, σκέπῃ αὐτὸν ἔφη περιβεβληκέναι τὴν μητέρα. Ἕτεροι δὲ πάλιν ταύτην τὴν *γυναῖκα*, τὴν ἐκκλησίαν ἔφησαν εἶναι, ἥτις τὸν τῆς δικαιοσύνης ἥλιον Χριστὸν περιβέβληται, καὶ τὴν σελήνην, τουτέστι τὴν συναγωγὴν, ὑποκάτω τῶν ποδῶν, ὡς ἤδη παλαιωθεῖσαν, ἔθηκε. Καὶ τὰ ἑξῆς πάντα ἁρμοδίως, ὡς Ἀνδρέας καὶ Μεθόδιος (1). *Καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος.*] Ὁ ἐπὶ τῆς κεφαλῆς τῆς γυναικὸς ἐξ ἀστέρων δώδεκα συνιστάμενος στέφανος, οἱ ἅγιοί εἰσιν ἀπόστολοι. Τὸ δὲ τὴν ἐν γαστρὶ ἔχουσαν κράζειν βασανιζομένην τῷ τόκῳ, τὸν τοῦ Ἀμὼς φασιν Ἡσαΐαν ἀπολύσασθαι, δι' ὧν φάσκει· *Πρὶν ἢ τὴν ὠδίνουσαν τεκεῖν*,

(α) Ἀββ. Γ', 11.
(1) Μεθόδιος ἐν τῷ συμποσίῳ τῶν δέκα παρθένων, ἐν λόγῳ Β'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ πρὶν ἡ ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε, καὶ ἔτεκεν ἄῤῥεν (α). Ἀμφότερα δὲ συνέβη τῇ Παρθένῳ· καὶ γὰρ ἔκραζε, καὶ ἐν ἀθυμίᾳ ἦν, τὸν μνηστῆρα ὑπονοοῦσα μοιχείας αὐτὴν ἐγκλήματι ὑπόδικον καταστήσειν· ὃ καὶ τὸ εὐαγγέλιόν φησι διὰ τοῦ *λάθρα ἀπολῦσαι αὐτὴν* βουλεύεσθαι (β). Ἐπεὶ δὲ ἀγγέλῳ θείῳ τῆς ὑπονοίας ταύτης ἀπηλλάγη, ἐκ Πνεύματος ἁγίου τὴν κυοφορίαν εἶναι ἐμπεδοῦντι, τότε καὶ αὐτὴ ἐξέφυγε πᾶσαν τὴν ὠδίνουσαν αὐτὴν πραγματείαν.

3 Καὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ· καὶ, ἰδοὺ, δράκων πυῤῥὸς μέγας, ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ἑπτὰ διαδή-
4 ματα· καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων τοῦ οὐρανοῦ, καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν·

Οὐρανὸν ἐνταῦθα, τὸν ἀέρα φάσκει, ὡς ἐξ αὐτοῦ μὴ πεπτωκότος τοῦ διαβόλου· πῶς γὰρ ἐκπέπτωκε τούτου, ὁ τὴν ἐξουσίαν, κατὰ Παῦλον, ἔχων ἐν αὐτῷ, *κατὰ τὸν ἄρχοντα*, λέγοντα, *τῆς ἐξουσίας τοῦ ἀέρος τούτου* (γ); *Δράκοντα* δὲ, τὸν σατανᾶν καλεῖ, διὰ τὸ σκολιόν· *πυῤῥὸν* δὲ, διὰ τὸ αἱμοβόρον καὶ ὀργίλον· *κεφαλὰς* δὲ αὐτοῦ, τὰς πονηροτέρας αὐτοῦ δυνάμεις καὶ ταῖς πνευματικαῖς ἐνεργείαις ἀντιθέτους· ἢ τὰς ἑπτὰ κακίας, ἃς Σολομὼν ἐν καρδίᾳ εἶναί φησι τοῦ ἐχθροῦ (δ). *Καὶ κέρατα δέκα.*] Τὸ *κέρας*, δυνάμεως καὶ δόξης σημαντικόν ἐστιν· *δέκα* δὲ τὰ *κέρατα*, ἢ τὰ ἀντιδιαστελλόμενα ταῖς δέκα ἐντολαῖς τοῦ νόμου πλημμελήματα καὶ τὰ τελειωτικὰ τῆς σατανικῆς ἀποστασίας ἐγχειρήματα, ἢ τὰς διαιρέσεις τῆς βασιλείας, κόσμον φερούσας αὐτῷ, ὡς ταῖς διχοστασίαις χαίροντι· *ἑπτὰ* δὲ *διαδήματα*, τὰ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ, ἰσάριθμα ταῖς κεφαλαῖς· διότι οἱ ἐν ταῖς δαιμονικαῖς ἐνεργείαις νικῶντες, ἐκεῖθεν τοὺς

(α) Ἡσ. ΞϚ', 7. (β) Ματθ. Α', 19.
(γ) Ἐφεσ. Β', 2. (δ) Παροιμ. ΚϚ', 25.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στεφάνους κομίζονται, ὅθεν πόνοις καὶ ἱδρῶσι τὴν νίκην ἥραντο. *Καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων.*] Τρίτον μέρος τῶν ἀστέρων ἐκλήθησαν οἱ περὶ ἕνα τοῦ ἀριθμοῦ τῆς ἁγίας Τριάδος ἐσφαλμένοι, ὡς Ἄρειος καὶ Μακεδόνιος. Ἡ ἔρημος δὲ, εἰς ἣν ἐλθοῦσα τρέφεται, ἡ ἐκκλησία, ἡ κακῶν ἐρήμη καὶ στεῖρα φθορᾶς. Τὸ δὲ *τὴν οὐρὰν ἕλκειν τὸ τρίτον τῶν ἀστέρων*, καὶ οὕτω θεωρητέον. Δύο τινὰ νομίζομεν δηλοῦσθαι διὰ τούτων· ἢ τὴν προτέραν αὐτοῦ [τοῦ διαβόλου] ἐξ οὐρανοῦ πτῶσιν μετὰ τῶν συναποστατῶν ἀγγέλων διὰ τοῦ ἐσχάτου κινήματος τοῦ φθόνου· τοῦτο γὰρ ἡ *οὐρά*· πρῶτον γὰρ ἡ ἔπαρσις, ἡ σύρασα ἐκεῖνον, πρὸς φθόνον ἐφώπλισε, καὶ τούτους εἰς τὴν γῆν κατέρραξεν· ἢ τὴν τοῦ ἐχθροῦ, μετὰ τὴν θλάσιν αὐτοῦ τῆς κεφαλῆς, ἣν ὑπὸ τῶν τοῦ Κυρίου ὑπέστη μαθητῶν, λαβόντων ὑπ' αὐτοῦ ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τὴν κακήν (α), οὐραίαν κίνησιν, ἤγουν τὴν ἐσχάτην, τὴν τοὺς ἀστηρίκτους κατενεγκοῦσαν ἐκ τοῦ οὐρανίου φρονήματος, *ἀστέρας* τροπικῶς ὀνομασθέντας, διὰ τὴν ἐκ τοῦ ἁγίου *βαπτίσματος* λαμπρότητα. *Καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν.*] Συγκατέβαλε γὰρ ἑαυτῷ πλείστην ἀγγέλων μοῖραν, συναποστατῆσαι πείσας ἀπὸ θεοῦ, καὶ πεποίηκε χθονίους, τοὺς οὐρανίους, καὶ σκότος, τοὺς λαμπροὺς ὡς ἀστέρας.

4 Καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τεκεῖν, ἵνα, ὅταν τέκῃ, τὸ τέκνον αὐτῆς
5 καταφάγῃ. Καὶ ἔτεκεν υἱὸν ἄρρενα, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ· καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν θεὸν καὶ πρὸς τὸν
6 θρόνον αὐτοῦ. Καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει ἐκεῖ τόπον ἡτοιμασμένον ὑπὸ τοῦ θεοῦ, ἵνα ἐκεῖ ἐκτρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα.

(α) Λουκ. Ι', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τό *ἑστηκέναι τὸν δράκοντα*, ἐπιβούλως κατὰ τοῦ τόκου ἐνσκευαζόμενον, τοῦτο δηλοῖ, ὅτι πολλὴν ἐπιμέλειαν πεποίηται τῷ τεχθέντι ἐξαρτίσαι τὰ δυσχερῆ· καὶ τίνα ταῦτα, εἴρηται. *Καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν θεόν.*] Ὁ μὲν ἰοβόλος δράκων ἐνήδρευσε, καὶ παρέθηξε τὸν Ἡρώδην, ἀνελεῖν τὰ ἐν Βηθλεὲμ βρέφη, ὡς ἐν ἐκείνοις καὶ τὸν Χριστὸν ἀναιρήσοντα· τὸ δὲ παιδίον, προνοίᾳ τοῦ θεοῦ πατρὸς, χρηματίσαντος τῷ Ἰωσὴφ, παραλαβόντα αὐτὸ καὶ τὴν μητέρα αὐτοῦ φεύγειν εἰς Αἴγυπτον, διέφυγε τὴν ἐπιβουλὴν (α). Τὴν σωτηρίαν τοίνυν εἰς *ἁρπαγὴν* ἔταξε, *πρὸς τὸν θεὸν, λέγων, καὶ πρὸς τὸν θρόνον αὐτοῦ*, οἱονεὶ ἐκ τῆς θείας προνοίας καὶ δεσποτείας διακειμένης τῆς σωτηρίας τῷ παιδίῳ· τοῦτο γὰρ *ὁ θρόνος* βούλεται δηλοῦν. *Καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον.*] Ἡ τῆς γυναικὸς εἰς τὴν ἔρημον φυγὴ, τὴν τῶν ἐκλεκτῶν φυγὴν σημαίνει, ἣν ἐπὶ τῆς παρουσίας τοῦ Ἀντιχρίστου, ὑπὸ τοῦ διαβόλου ἐνεργουμένης, φεύξονται οἱ κορυφαιότατοι τῆς ἐκκλησίας, τῶν πολιτικῶν θορύβων καὶ τῶν κοσμικῶν ἡδονῶν καταπτύοντες, ἐπὶ ἔτη τρία ἥμισυ· τοῦτο γὰρ *αἱ χίλιαι διακόσιαι ἑξήκοντα ἡμέραι* χρονικὸν συντελοῦσι διάστημα.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Περὶ τοῦ γενομένου πολέμου μεταξὺ τῶν ἁγίων ἀγγέλων καὶ τῶν πονηρῶν δυνάμεων, καὶ τῆς καταπτώσεως τοῦ δράκοντος.

7 Καὶ ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ· ὁ Μιχαὴλ καὶ

(α) Ματθ. Β'. 12. 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ ἄγγελοι αὐτοῦ ἐπολέμησαν (1) κατὰ τοῦ δράκοντος, καὶ ὁ δράκων ἐπολέμησε, καὶ οἱ ἄγγελοι
8 αὐτοῦ· καὶ οὐκ ἴσχυσεν (2), οὐδὲ τόπος εὑρέθη αὐ-
9 τῷ ἔτι ἐν τῷ οὐρανῷ. Καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας, ὁ ὄφις ὁ ἀρχαῖος, ὁ καλούμενος Διάβολος καὶ Σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην, ἐβλήθη εἰς τὴν γῆν· καὶ οἱ ἄγγελοι αὐτοῦ μετ' αὐτοῦ ἐβλήθησαν.

Ὁ *ἐν τῷ οὐρανῷ πόλεμος*, διὰ τὴν πρώτην ἀλαζονείαν καὶ τὸν κατὰ τοῦ Ἀδὰμ φθόνον συνέστη. Τοῦ ἀρχιστρατήγου τοίνυν Μιχαὴλ μὴ φέροντος τὴν τοῦ διαβόλου ἀλαζονείαν, καὶ πολεμικῷ κράτει τῆς οἰκείας συνδιατριβῆς ἀπορρίψαντος ἐκεῖνον πάλαι, αὖθις ἐν τῇ τοῦ Ἀντιχρίστου παρουσίᾳ μετὰ τῶν Ἰουδαίων καὶ τῶν ἀγγέλων αὐτοῦ, τῶν διακονουμένων αὐτῷ τοῖς κατὰ τῶν πιστῶν καὶ ἁγίων πειρασμοῖς, ὡς ἠτιμωμένος δοῦλος, τοῦ αὐτοῦ ἀπορρίψαντος αὐτόν, ἐκπεσεῖται τελεώτερον ὁ διάβολος. Τινὲς δὲ ταύτην τὴν ἔκπτωσιν τοῦ διαβόλου μετὰ τὸ βάπτισμα καὶ τὸν πειρασμὸν τοῦ Χριστοῦ γεγονέναι λέγουσι, καὶ μετὰ τὸ εἰρηκέναι αὐτῷ τὸν Χριστόν· *Ὕπαγε, σατανᾶ* (α)· καὶ σφόδρα τοῦτο τοῖς περὶ τῆς Θεοτόκου εἰρημένοις ἁρμόζειν δοκεῖ. *Ὁ καλούμενος Διάβολος καὶ Σατανᾶς.*] Διώνυμος καλεῖται· Σατανᾶς μέν, ὡς ἀντικείμενος τῷ δεσπότῃ· *Διάβολος* δέ, ὡς διαβάλλων θεὸν ἀνθρώποις, ὡς τῷ Ἀδάμ (β).

10 Καὶ ἤκουσα φωνὴν μεγάλην ἐν τῷ οὐρανῷ, λέγουσαν· Ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ βασιλεία τοῦ θεοῦ ἡμῶν, καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ αὐτοῦ· ὅτι κατεβλήθη ὁ κατήγορος τῶν ἀδελφῶν ἡμῶν, ὁ κατηγορῶν αὐτῶν ἐνώπιον τοῦ θεοῦ ἡμῶν

(1) Παρ' ἄλλοις, πολεμῆσαι, ἢ, τοῦ πολεμῆσαι μετά.
(2) Παρ' ἄλλοις, ἴσχυσαν . . , αὐτῶν.
(α) Ματθ Δ', 10. (β) Γεν. Γ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

11 ἡμέρας καὶ νυκτός. Καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ ἀρνίου, καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν· καὶ οὐκ ἠγάπησαν τὴν ψυχὴν αὐτῶν
12 ἄχρι θανάτου. Διὰ τοῦτο εὐφραίνεσθε οἱ οὐρανοὶ, καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες· Οὐαὶ τῇ γῇ καὶ τῇ θαλάσσῃ (1), ὅτι κατέβη ὁ διάβολος πρὸς ὑμᾶς ἔχων θυμὸν μέγαν, εἰδὼς, ὅτι ὀλίγον καιρὸν ἔχει.

Τῆς οὐρανίας ἀξιωθεὶς ἀνόδου, ἀφ' οὗ καὶ τὸν πόλεμον ἐθεάσατο καὶ τὴν κατὰ τοῦ διαβόλου νίκην, ἀκοῦσαι φησὶ καὶ φωνὴν *λέγουσαν*, ὡς πολλάκις παρεθέμην, ἀντὶ τοῦ, *δηλοῦσαν*, παραλαμβανομένην. Τί δὲ δηλοῦσαν; Τὴν εὐφροσύνην, ἣν ἔσχον ἐπὶ τῇ νίκῃ τοῦ σατανᾶ. Τίς δὲ ἡ φωνή; *Ἄρτι ἐγένετο ἡ σωτηρία, καὶ ἡ δύναμις καὶ ἡ βασιλεία* ἡ τοῦ θεοῦ διέλαμψεν ἀκριβεστάτη. Τὸ δὲ, *Ἄρτι*, οὐ τὸ νεαρὸν σημαῖνον ἐνταῦθα παρείληπται, ἀλλὰ τὸ ἐντελὲς καὶ ἀπαραλόγιστον, καὶ τῇ ἀρχῇ κατάλληλον. *Τῶν ἀδελφῶν ἡμῶν.*] *Ἀδελφοὺς* οἱ ἄγγελοι τοὺς ἀνθρώπους καλοῦσι, μιμησει τοῦ ἑαυτῶν δεσπότου. Αὐτὸς γὰρ διὰ τοῦ προφήτου φησίν· *Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου* (a). *Ἡμέρας δὲ καὶ νυκτὸς*, τὴν κατηγορίαν τὴν κατὰ τῶν ἀδελφῶν ἡμῶν φησι συγκροτεῖν τὸν κατήγορον, τὸ ἐνδελεχὲς καὶ ἀδιάλειπτον παριστῶν τῆς τοῦ πονηροῦ καθ' ἡμῶν ἐπηρείας. *Καὶ αὐτοὶ ἐνίκησαν αὐτόν, διὰ τὸ αἷμα τοῦ ἀρνίου.*] *Ἐνίκησαν* οἱ μάρτυρες τὸν δοκοῦντα ἀήττητον εἶναι, ὡς καὶ κατὰ τοῦ θεοῦ τολμῆσαι, συνεργῷ χρησάμενοι τῷ αἵματι τοῦ ἀρνίου. Ὥσπερ γὰρ ἐκεῖνος οὐχ ὑπὲρ ἑαυτοῦ τὸ ἴδιον αἷμα ἐξέχεεν, ἀλλ' ὑπὲρ ἡμῶν· οὕτω καὶ οἱ τοῦ Χριστοῦ μάρτυρες, ζήλῳ τῆς σφαγῆς τοῦ ἑαυτῶν δεσπότου, καὶ τῆς ἑαυτῶν ψυχῆς καὶ τῆς ζωῆς προέκριναν τὴν μίμησιν τοῦ δεσποτικοῦ πάθους. *Οὐαὶ τῇ γῇ καὶ τῇ θαλάσσῃ.*] Οὐ τῇ ἀναισθήτῳ κτίσει τὸ, *Οὐ-*

(1) Παρ' ἄλλοις, Οὐαὶ τοῖς κατοικοῦσι τὴν γῆν καὶ τὴν θάλασσαν.
(a) Ψαλμ. ΚΑ', 23. Ἑβρ. Β', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἰ, ἀλλὰ τοῖς γήϊνα φρονοῦσι, καὶ τοῖς σποδός οὖσι· κατὰ τούτων γὰρ ὁ κοινὸς ἐχθρὸς στρατευόμενος, τὸ ἑαυτοῦ καταθύμιον ἀνύσει· τοῖς νήφουσι γὰρ, καὶ πρὸς θεὸν ἀνατεινομένοις, οὐ μόνον πρὸς βλάβην οὐ καταβήσεται, ἀλλὰ καὶ πρὸς ὠφέλειαν, ὡς διαγυμναζομένοις ὑπὸ παιδοτρίβῃ, καὶ τοῖς πειρασμοῖς δοκιμωτέροις ἀποτελουμένοις. Πλείονα δὲ τὸν θυμὸν ἔξειν φησὶ, τὸ ὑπόγυιον τῆς αὐτοῦ πτώσεως λογιζόμενος.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Ὅπως ὁ δράκων διώκων τὴν ἐκκλησίαν οὐ παύεται.

13 Καὶ ὅτε εἶδεν ὁ δράκων, ὅτι ἐβλήθη εἰς τὴν γῆν, ἐ-
14 δίωξε τὴν γυναῖκα, ἥτις ἔτεκε τὸν ἄῤῥενα. Καὶ ἐδόθησαν τῇ γυναικὶ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς τὴν ἔρημον εἰς τὸν τόπον αὐτῆς, ὅπως τρέφηται ἐκεῖ καιρὸν καὶ καιροὺς, καὶ
15 ἥμισυ καιροῦ, ἀπὸ προσώπου τοῦ ὄφεως. Καὶ ἔβαλεν ὁ ὄφις ἐκ τοῦ στόματος αὐτοῦ ὀπίσω τῆς γυναικὸς ὕδωρ ὡς ποταμὸν, ἵνα αὐτὴν ποταμοφόρη-
16 τον ποιήσῃ. Καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικὶ, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ κατέπιε τὸν ποταμὸν, ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ.
17 Καὶ ὠργίσθη ὁ δράκων ἐπὶ τῇ γυναικὶ, καὶ ἀπῆλθε ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τοῦ σπέρματος αὐτῆς, τῶν τηρούντων τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ (1).

Οἱ *τὴν γυναῖκα* εἰς τὴν τοῦ Κυρίου μητέρα ἐξειληφότες, ἐπαλήψιν φασι ταῦτα τῶν ἤδη εἰρημένων. Οὐ γὰρ τοῦτο λέγει,

(1) Παρ' ἄλλοις, τοῦ Ἰησοῦ Χριστοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι μεθ' ὃ εἶδεν ὁ δράκων, ὅτι ἐβλήθη εἰς τὴν γῆν, εὐθὺς ἐδίωξε τὴν γυναῖκα· ἀλλ' ἐπειδὴ εἶδεν ἑαυτὸν ὁ δράκων ἐν οἷς ὑπῆρχε κακοῖς, καὶ ὅτι ἐκπέπτωκε τῆς ἀγγελικῆς ἀξίας, πικρὸς γέγονε λίαν κατὰ τῶν ἀνθρώπων. Οἱ δὲ ταύτην, δηλαδὴ *τὴν γυναῖκα*, πρὸς τὴν ἐκκλησίαν μεταλαμβάνοντες, οὕτω πως περὶ αὐτῆς φασίν· Ὅτι, ὅτε εἶδεν ὁ διάβολος, τῷ Χριστῷ μετὰ τὸ βάπτισμα προσπαλαίσας, ὅτι ἡττήθη· ὡσαύτως καὶ ὅτι πρὸς τοὺς αὐτοῦ μαθητὰς ὁπλισάμενος ἠχύνθη, διὰ θανάτου ζωὴν εὐραμένους αὐτοὺς θεασάμενος, ἑαυτὸν δὲ εἰς γῆν καταδικασθέντα, εἰς τὸ γῆν ἐσθίειν, τοὺς γεώδεις δηλαδὴ τὸ φρόνημα καὶ μηδὲν τῆς οὐρανίου κεκτημένους παλιγζωΐας τε καὶ λαμπρότητος, ἤρξατο πάλιν τὴν ἐκκλησίαν διώκειν, ἐξ ἧς ὁ ἄῤῥην τοῦ Κυρίου λαός, ὁ μηδὲν θηλυπρεπὲς φέρων τῶν ταῖς ἡδοναῖς τοῦδε τοῦ βίου περυκότων ἐκλύειν καὶ μαλακίζειν, ἐτέχθη. *Καὶ ἐδόθησαν τῇ γυναικὶ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου·*] Οὐ γέγονεν ἡ γυνή, φησιν, ὑπὸ χεῖρα τοῦ σατανᾶ, ἀλλὰ ταῖς δοθείσαις αὐτῇ δυσὶ πτέρυξιν ἔφυγεν εἰς τὴν ἔρημον. *Πτέρυγας δὲ δύο* λέγει τοὺς παρὰ τῶν ἀγγέλων χρηματισμούς· ἕνα μέν, τὸν τοὺς Μάγους *μὴ ἀνακάμψαι πρὸς Ἡρῴδην* διαστειλάμενον· ἕτερον δὲ, τὸν, *Φεῦγε εἰς Αἴγυπτον*, φάσκοντα, ἥτις ἦν ἔρημος θεοσεβείας, *καὶ ἴσθι ἐκεῖ* (α)· ὃ καὶ παράδοξον, ἐν ἀσεβέσι τὸ θεῖον ἐκτραφῆναι παιδίον. *Καιρὸν δὲ καὶ καιροὺς καὶ ἥμισυ καιροῦ*, διαλαμβάνειν λέγουσι τὴν διατριβὴν εἰς τὴν ἔρημον, ἤτοι εἰς τὴν Αἴγυπτον, ὃ εἰς τρία ἔτη καὶ ἥμισυ συγκεφαλαιοῦται τοῦ τῆς ζωῆς Ἡρῴδου χρόνου. *Καὶ ἔβαλεν ὁ ὄφις ἐκ τοῦ στόματος αὐτοῦ.*] Τῆς ἐπιβουλῆς ἀποτυχὼν τῆς κατὰ τῆς Παρθένου ὁ ὄφις, ἄλλην ἡμῖν ἐνεκαίνισε κατὰ τῆς Παρθένου καὶ τοῦ ταύτης υἱοῦ δραματουργίαν κατὰ τὸν σταυρὸν, δι' ὧν καὶ τῇ μητρὶ τὴν διὰ τὸ πάθος ἀπιστίαν ἐνεσκευα-

(α) Ματθ. Β'. 12. 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζε, καὶ τῷ υἱῷ τὴν διὰ θανάτου ἀπώλειαν. *Ποταμὸν* δὲ *ἐκ τοῦ στόματός* φησι τὸν ὕφιν ἐκβαλεῖν, τοὺς πειρασμούς, ὡς σύνηθες, τούτους εἰς ὕδωρ καὶ ποταμοὺς ἀλληγορεῖν (α). *Ποταμὸν* οὖν, τὸν ἐν τῷ πάθει τοῦ Κυρίου τῇ μητρὶ ἐγγινόμενον πειρασμὸν λέγει· ὃν καὶ Συμεὼν ὁ προεσβύτης φησὶ τῇ παρθένῳ· *Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία* (β)· καὶ τὸ αἴτιον, εἰς παράστασιν τοῦ ἀληθῶς αὐτὴν ὠδινῆσαι καὶ τεκεῖν, ἀλλ' οὐ φαντασίᾳ. *Καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί.*] Τὸ *καταπιεῖν τὴν γῆν τὸν ποταμὸν*, δηλοῖ τὸ διὰ θανάτου τὸν Κύριον δέξασθαι ἐν τῷ μνήματι. Τίνα δὲ τρόπον ἐβοήθησεν ἡ γῆ τῇ γυναικί; Καταπίνουσα τὸν ποταμὸν, ὃν ὁ δράκων ἔβαλεν ἐκ τοῦ στόματος αὐτοῦ. Πόλεμος δὲ γίνεται πρὸς τοὺς χρηματίσαντας υἱοὺς καὶ ἀδελφοὺς τοῦ Χριστοῦ, καθ' ὃ εἴρηται· *Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου* (γ). Τούτοις δὲ ἐξ ὀργῆς πολεμεῖν ἔκρινε τοῖς πιστοῖς τοῦ Κυρίου, οἳ τῇ πρὸς αὐτὸν εἰλικρινεῖ πίστει καὶ διαθέσει καὶ εἰς συγγένειαν αὐτοῦ ἀνελήφθησαν, καθὼς ἐστιν αὐτοῦ ἀκοῦσαι· *Μήτηρ μου καὶ ἀδελφοί μου εἰσίν, οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου, τοῦ ἐν οὐρανοῖς* (δ).

ΚΕΦΑΛΑΙΟΝ Λς'

Περὶ τοῦ θηρίου, τοῦ ἔχοντος κέρατα δέκα καὶ κεφαλὰς ἑπτὰ, ὧν μίαν ὡς ἐσφαγμένην ἔφη.

18 Καὶ ἐστάθην ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης.
ΚΕΦ. XIII, Καὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον, ἔχον κέρατα δέκα καὶ κεφαλὰς ἑπτά· καὶ ἐπὶ

(α) Ψαλμ. ΞΗ', 15. 16. (β) Λουκ. Β', 35.
(γ) Ψαλμ. ΚΑ', 23. Ἑβρ. Β', 12. (δ) Λουκ. Η', 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν κεράτων αὐτοῦ δέκα διαδήματα, καὶ ἐπὶ τὰς
2 κεφαλὰς αὐτοῦ ὀνόματα βλασφημίας. Καὶ τὸ θηρίον, ὃ εἶδον, ἦν ὅμοιον παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτου, καὶ τὸ στόμα αὐτοῦ, ὡς στόμα λέοντος· καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ, καὶ ἐξουσίαν μεγάλην.

Ἐν μὲν τῇ πρὸ ταύτης θεωρίᾳ, *δράκων πυρρὸς ἐν τῷ οὐρανῷ ὁρᾶται*· νῦν δὲ ἐκ τῆς θαλάσσης ἀναβαίνων. Ὁ μὲν οὖν ἀπ' οὐρανοῦ δράκων, τὸν κατ' ἀρχὰς τῆς οὐρανίου δόξης ἐκπεπτωκότα σημαίνει· ὁ νῦν δὲ πάλιν, τὸν αὐτὸν ἐκ τῆς θαλάσσης ἀναβαίνοντα, *θάλασσαν*, τὸν ἄστατον τοῦτον καὶ ταραχώδη παριστῶν βίον· ἀφ' ἧς καὶ ἀναβαίνει τὸ θηρίον, τὰς τῶν ἄλλων πλημμελεῖς καὶ ἀστηρίκτους ἐπὶ τοῖς ἀγαθοῖς πράξεις λαβὸν εἰς ἐμφάνειαν· ὃ οὐκ ἄλλο, ἢ ὁ Ἀντίχριστος ἐπὶ τῷ πρώτῳ καὶ δευτέρῳ σατανᾷ, τρίτος αὐτὸς προϊών. Τὸ δεύτερον δὲ καὶ μέσον, ὃ καὶ νῦν πρόκειται εἰς θεωρίαν, δύναμίς τις τυγχάνει, τῷ ἀποστάτῃ σατανᾷ συνεκπεπτωκυῖα, ἐκείνου μὲν ἥττων, τῶν δὲ λοιπῶν εἰς κακίαν προέχουσα, ὅς ἐστιν ὁ Ἀντίχριστος, ὁ κατ' ἐνέργειαν τοῦ σατανᾶ καὶ τῶν συγκαταβεβλημένων αὐτῷ, ἀγγελικῶν μὲν τὸ πρὶν ὑπαρχουσῶν δυνάμεων, ὕστερον δὲ, ἐκ διαβεβλημένης προαιρέσεως πρὸς τὴν τῶν δαιμόνων μετασχηματισθεισῶν ζόφωσιν. Τὰ *κέρατα* δὲ τὰ *δέκα*, τὸ τέλειον τῶν εἰς κακίαν συντελούντων προσεῖναι τῷ Ἀντιχρίστῳ παραδηλοῖ, ἐξ ὧν καὶ δόξα αὐτῷ παρομαρτεῖ· διότι τὸ *κέρας*, τὴν δόξαν ἔθος σημαίνειν. Ἀλλὰ καὶ ἐκ τούτων τινὲς εἰρήκασιν, εἰς δέκα τότε βασιλείας διηρῆσθαι τὴν οἰκουμένην. Τὰς δὲ *ἑπτὰ κεφαλὰς*, τῷ τὰς βασιλείας ἐν τῷδε τῷ συστοίχῳ τοῦ ἑβδοματικοῦ ἀριθμοῦ κόσμῳ ὑπάρξαι, συγκαταλυομένῳ ὡς αἰσθητῷ τῇ κατὰ σάρκα βιώσει, ἀνατέλλοντος δὲ τοῦ ἀφθάρτου τε καὶ διαιωνίζοντος, ἐν ᾧ καὶ ἡ βασι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λεία διαιωνίζουσά τε καὶ ἀδιάδοχος. *Καὶ τὸ θηρίον, ὃ εἶδον, ἦν ὅμοιον παρδάλει.*] Ἅμα τῇ ἀρχῇ τῆς βλασφημίας ἄλλον ἔχεσθαι παραδηλοῖ, τουτέστι, τὸν Ἀντίχριστον. Αὐτὸς δέ ἐστι ὁ Ἀντίχριστος ὁ προοιμίοις χρησάμενος τοῖς ἑλληνίζουσιν ἄρχουσι, καὶ δὴ καὶ τοῖς μετὰ Κωνσταντῖνον τὸν μέγαν, ὧν ἐστιν Ἰουλιανὸς καὶ Οὐάλης, καὶ οἱ καθ' ἑξῆς αἱρετίζοντες βασιλεῖς· τότε καὶ αὐτὸς ἐπιστήσεται, εἰς δέκα πρὸ μικροῦ τῆς αὐτοῦ ἀφίξεως μερισθείσης τῆς Ῥωμαϊκῆς ἀρχῆς, ἀρκούντως μεταβεβλασφημένης τῆς τῶν χριστιανῶν πίστεως. Περὶ τοῦ ἀριθμοῦ δὲ τοῦ *δέκα* καὶ ἑπτὰ εἴρηται. Ὁποῖον δὲ τὸ θηρίον; Ὅμοιόν, φησι, παρδάλει, *καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτου, καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα* λέοντος· διὰ μὲν τῆς παρδάλεως τὴν Ῥωμαίων σημαῖνον ἀρχήν, ὡς ταχυεργῆ, καθ' ὧν ἂν τὴν ὁρμὴν σχῇ, καὶ καρτερικὴν μέχρις ἂν πρὸς τέλος τοῦ ἐνάρξασθαι φθάσῃ· ὃ καὶ διὰ τῶν τῆς ἄρκτου ποδῶν δηλοῖ. Ἀναφέρονται δὲ ταῦτα καὶ εἰς τὴν Περσῶν βασιλείαν. Διὰ δὲ τοῦ λέοντος, ἡ Βαβυλωνίων σημαίνεται βασιλεία, (ἣν ἄν τις ἀπαραλογίστως τὴν τῶν Σαρρακηνῶν ἐκδέξεται· καθότι καὶ ἐν Βαβυλῶνι νῦν ἐστι τὸ ἀρχεῖον αὐτῶν·) ὧν δὴ ὁ Ἀντίχριστος, ὡς Ῥωμαίων βασιλεὺς ἐλευσόμενος, κρατήσει. *Καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ.*] Δώσει γὰρ τῷ Ἀντιχρίστῳ ὁ σατανᾶς, ὁ νοητὸς δράκων, πᾶσαν ἐξουσίαν ἐν σημείοις καὶ τέρασι ψεύδους πρὸς ἐξαπάτην τῶν ἀστηρίκτων. *Θρόνον* δὲ τί νοητέον, εἰ μὴ τὴν ἐξουσίαν τοῦ ἀέρος τοῦ σκότους τούτου, ἣν καὶ αὐτὸς ἔσχε, τῆς οὐρανίου δόξης ἐκπεπτωκώς;

3 Καὶ εἶδον μίαν ἐκ τῶν κεφαλῶν αὐτοῦ ὡσεὶ ἐσφαγμένην εἰς θάνατον· καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ἐθεραπεύθη, καὶ ἐθαύμασεν ὅλη ἡ γῆ ὀπίσω
4 τοῦ θηρίου. Καὶ προσεκύνησαν τῷ δράκοντι, τῷ δεδωκότι τὴν ἐξουσίαν τῷ θηρίῳ, καὶ προσεκύνησαν τῷ θηρίῳ, λέγοντες· Τίς ὅμοιος τῷ θηρίῳ;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

5 τίς δυνατὸς πολεμῆσαι μετ' αὐτοῦ; Καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλασφημίας· καὶ ἐδόθη αὐτῷ ἐξουσία πόλεμον ποιῆσαι μῆνας τεσσαρακον-
6 ταδύο. Καὶ ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς βλασφημίαν πρὸς τὸν θεὸν, βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ τοὺς ἐν τῷ οὐρανῷ σκη-
7 νοῦντας. Καὶ ἐδόθη αὐτῷ ποιῆσαι πόλεμον μετὰ τῶν ἁγίων, καὶ νικῆσαι αὐτούς· καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν καὶ λαὸν καὶ γλῶσσαν καὶ ἔθνος.

Καὶ εἶδον μίαν ἐκ τῶν κεφαλῶν αὐτοῦ ὡσεὶ ἐσφαγμένην.] Τοῦτο διαφόρως ἐκληπτέον. Ἤτοι γὰρ οὕτω νοητέον· κεφάλαιον τοῦ σατανᾶ, τὰ ὑπ' αὐτοῦ πεπλανημένα ἔθνη· τούτων δὲ ἡ πρὸς εὐσέβειαν ἐπαναγωγὴ, *σφαγὴ εἰς θάνατον* ἐλογίσθη. Καὶ ὅτι οὐ κυρίως σφαγὴ, ἀλλ', ὡς σφαγὴ, τὸ ῥητὸν παριστᾷ, οὐκ ἐσφαγμένην, ἀλλ', *ὡς ἐσφαγμένην*, φάσκον, καὶ τῷ, ὡς, ὁμοιωματικῷ μορίῳ χρησάμενον. Ταύτῃ γοῦν πάλιν τῇ εἰς θεογνωσίαν ἐπαναστροφῇ, ἡ πρὸς τὴν ἐξ ἀρχῆς ἀσέβειαν ἐπαναδρομὴ, *θεραπεία* ὠνόμασται *πληγῆς*. Ἤ τοίνυν οὕτω τὰ τῆς ἀναπτύξεως τοῦ ῥητοῦ· ἢ καὶ οὕτω· *Κεφαλὴν ὡς ἐσφαγμένην*, εἴτε τινα τῶν ἀρχόντων αὐτοῦ τεθανατῶσθαι, καὶ ὑπ' αὐτοῦ [τοῦ Ἀντιχρίστου] διὰ γοητείας ἀπατηλῶς ἀνίστασθαι δόξαι· ἢ τὴν Ῥωμαίων ἀρχὴν ἀπολλυμένην διὰ τῆς εἰς πολλὰ διαιρέσεως, σφαγὴν τρόπον τινὰ νομισθῆναι ὑπομένουταν· αὐτοῦ δὲ τοῦ Ἀντιχρίστου ταύτην καταλελυκότος, τὴν κατάλυσιν *θεραπείαν* νομισθῆναι. *Καὶ ἐθαύμασεν ὅλη ἡ γῆ ὀπίσω τοῦ θηρίου.*] Ἀντὶ τοῦ, Θάμβους ἐπλήσθη, ὥσπερ προηγουμένου τοῦ θηρίου διὰ τῶν τεράτων, αὐτῶν δὲ ἐξόπισθεν ἐπακολουθούντων τῇ συγκαταθέσει. Τὸ δὲ, *ὅλη ἡ γῆ*, ἀντὶ τοῦ, πᾶς ἄνθρωπος, εἴρηται, μετωνυμικῷ τῷ τρόπῳ, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. *Καὶ προσεκύνησαν τῷ δράκοντι.*] Τὸ ὑπὸ τοῦ Ἀντι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρίστου ἐν πλάνῃ ἐνεργούμενον θαῦμα, εἰς τὸν δι' αὐτοῦ ἐνεργοῦντα διάβολον τὴν ἀναφορὰν ἔξει· δι' ἐκείνου γὰρ ὁ δράκων προσκυνηθήσεται. *Καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλασφημίας.*] Διττὸν τὸ λέγειν· ἢ γὰρ τῆς ἀνεκφράστου τοῦ θεοῦ ἀνοχῆς τοῦτο, ὡς γυμνασίας χάριν καὶ δοκιμῆς τῆς πρὸς αὐτὸν ἡμῶν διαθέσεως ἀνεχομένου τὰ τοιαῦτα· ἢ τό, *ἐδόθη*, ὑπὸ τῶν ἠπατημένων προσκυνησάντων αὐτῷ ἀνθρώπων. Τὸ δὲ *μεγάλα λαλεῖν*, τὸ ὑπερηφανίας μεστὰ ῥήματα προφέρειν. *Καὶ ἐδόθη αὐτῷ ἐξουσία πόλεμον ποιῆσαι μῆνας τεσσαράκοντα δύο.*] Ἐν τοῖς φθάσασιν εἴρηται, ὡς ὁ τῆς ἐπιδημίας τοῦ Ἀντιχρίστου καιρὸς καὶ τῆς ἀπατηλῆς αὐτοῦ ἐξουσίας εἰς τρία ἥμισυ ἔτη συντελεῖται. Τοῦτο γὰρ οἱ τεσσαρακονταδύο μῆνες χρονικὸν διάστημα συνάγουσιν.

8 Καὶ προσκυνήσουσιν αὐτὸν πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὰ ὀνόματα ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου τοῦ ἐσφαγμένου
9 ἀπὸ καταβολῆς κόσμου. Εἴ τις ἔχει οὖς, ἀκουσά-
10 τω. Εἴ τις αἰχμαλωσίαν συνάγει, εἰς αἰχμαλωσίαν ὑπάγει· εἴ τις ἐν μαχαίρᾳ ἀποκτενεῖ, δεῖ αὐτὸν ἐν μαχαίρᾳ ἀποκτανθῆναι. Ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων.

Καὶ *προσκυνήσουσιν αὐτὸν πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς.*] Περιληπτικὴν ἔννοιαν ἐπισυρομένου τοῦ, *πᾶς*, μορίου, ἵνα μὴ κάνταῦθα τοῦτο παραληφθὲν, ἐκ παντὸς τοῦ ἀνθρωπίνου γένους σχεῖν τὸν Ἀντίχριστον τὴν προσκύνησιν, ἐννοηθῇ, γνώρισμα παρέσχε τῶν προσκυνούντων τούτῳ, ἐκείνους λέγων προσκυνῆσαι, τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς· οὓς καὶ Ἡσαΐας *πεσεῖσθαι* μελῳδεῖ, οὐ πεσούμεθα, φάσκων, *ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς* (α)· τουτέστιν, οἱ μηδὲν τῶν οὐρανίων καὶ τῆς ἐκεῖ δόξης περροντικότες, ἀλλὰ τῇ

(α) Ἡσ. ΚΣ', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γηΐνη ἑστία, καὶ τῇ κατ' αὐτὴν χοιρώδει βιώσει προσαρμοζόμενοι· διὸ καὶ τῆς ἐν τῷ βιβλίῳ τῆς ζωῆς διημαρτήκασιν ἐγγραφῆς. *Τοῦ ἀρνίου τοῦ ἐσφαγμένου ἀπὸ καταβολῆς κόσμου.*] Ἐν ὑπερβατῷ ἀκουστέον τοῦτο, ἵνα ᾖ ὁ νοῦς· *Ὧν οὐ γέγραπται τὰ ὀνόματα ἀπὸ καταβολῆς κόσμου ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου τοῦ ἐσφαγμένου·* ἐπεὶ, ὧν γέγραπται, *ἀπὸ καταβολῆς κόσμου* γέγραπται. Οὕτω γὰρ δεῖ νοεῖν, οὐχ ὡς ἡ γραφὴ ἔχει· ὅτι μηδὲ ἀπὸ καταβολῆς κόσμου ἡ τοῦ ἀρνίου σφαγή. Τίνες δὲ οἱ μὴ προσκυνήσαντες τῷ δράκοντι, ὧν τὰ ὀνόματα ἐν τῇ βίβλῳ τοῦ ἀρνίου ἐγράφησαν; Οἱ τοιοῦτοι, φέρ' εἰπεῖν, ὡς ὁ Ἰὼβ καὶ οἱ τέσσαρες αὐτοῦ φίλοι, καὶ πάντες οἱ δι' εὐσέβειαν μαρτυρούμενοι ἐν τῇ Παλαιᾷ. Τούτου τοῦ βιβλίου καὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν καί Λουκᾶς φησὶν ἐν τῷ εὐαγγελίῳ μνημονεῦσαι, ἡνίκα λέγει· *Χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς* (α). *Εἴ τις ἔχει οὖς, ἀκουσάτω.*] *Εἴ τίς*, φησιν, *ἔχει οὖς*, τῷ ἡγεμόνι νῷ παραπέμπων τὴν διὰ τῶν ῥημάτων ἐκφερομένην ἔννοιαν, *ἀκουσάτω* τῶν εἰρημένων, καὶ γνώτω, ὅτι ὁ περὶ τὸ αἰχμαλωτίζειν ἑτέρους πρόχειρος, δέξεται τὰ ἐπίχειρα τῶν πεπραγμένων αὐτῷ· τοῦτο γὰρ βούλεται παριστᾶν τὸ, *ὑπάγει*, οἱονεί, εἰς ἀντέκτισιν ἑαυτῷ τὸν μόχθον καταβάλλει, τοῦ καὶ αὐτὸν αἰχμαλωτισθῆναι ὑπὸ τοῦ θηρίου, μηδεμιᾶς ἀναλήψεως τυγχάνων ὑπὸ τοῦ θεοῦ τοῦ μὴ ἁπαχθῆναι. *Ὧδέ ἐστιν ἡ ὑπομονή.*] Ὧδε ἐνοῦται ἡ ὑπομονὴ τῶν διὰ τῶν θλίψεων, τῶν ὑπὸ τοῦ σατανᾶ ἐγγινομένων τοῖς εὐσεβέσι, καρτερικώτατα διαβεβηκότων, καὶ διὰ τῆς πίστεως δεδοκιμασμένων ἁγίων· ὅτι καὶ αὐτοὶ πίστει κατώρθωσαν τὰ ἐπαινετὰ πάντα, εἴγε Παύλῳ πειστέον, Ἑβραίοις οὕτω διεξιόντι ταῦτα πλατύτερον (β).

(α) Λουκ. ι', 20. (β) Ἑβρ. ια'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Περὶ ἑτέρου θηρίου, δύο κέρατα ἔχοντος, καὶ τῷ πρωτῳ τοὺς ἀνθρώπους προσάγοντος.

11 Καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχε
12 κέρατα δύο ὅμοια ἀρνίῳ· καὶ ἐλάλει ὡς δράκων. Καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ· καὶ ἐποίει (1) τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας, ἵνα προσκυνήσωσι τὸ θηρίον τὸ πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου
13 αὐτοῦ. Καὶ ποιεῖ σημεῖα μεγάλα, καὶ πῦρ ἵνα ἐκ τοῦ οὐρανοῦ καταβαίνῃ (2) ἐπὶ τὴν γῆν, ἐνώπιον τῶν
14 ἀνθρώπων. Καὶ πλανᾷ τοὺς ἐμοὺς (3), τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς, διὰ τὰ σημεῖα, ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου·

Πολλὰς ἐκδρομὰς ποιησάμενος ἐκ τῶνδε τῶν ἀρχῶν, εἰς προγενεστέρας ἀρχὰς ἀναβὰς, ἔφθασεν εἰς τὸ σπουδαζόμενον· ὅπερ οὐκ ἄλλο, ἢ τὸ διηγήσασθαι τὰ περὶ τῆς παρουσίας τοῦ Ἀντιχρίστου· καὶ ὅρα τί φησι περὶ αὐτοῦ, *ἐκ τῆς γῆς δηλαδὴ ἀναβαίνειν* αὐτόν, ὅθεν καὶ πᾶσιν ἀνθρώποις ἡ γένεσις· ἄνθρωπος γὰρ καὶ αὐτὸς κατ' ἐνέργειαν τοῦ σατανᾶ, ὡς καὶ Παύλῳ τῷ θείῳ δοκεῖ (α). Τὰ *κέρατα* δὲ, οὐκ ἀρνίου, ἀλλ', *ὅμοια ἀρνίῳ*, ἐπειδὴ φαντάζει ἑαυτὸν ἐπιεικῆ ὡς ὁ Χριστὸς, ἵνα πλανᾷ· διὰ τοῦτο ἡ ὁμοιότης τῶν κεράτων, ἤγουν τῆς δόξης. Καὶ *ὡς δράκων ἐλάλει*, οὐκ ὢν δράκων· οὐ γὰρ ὁ σατανᾶς ἐστιν αὐτόχρημα, ἀλλ' ὡς ἐκεῖνος ἐνεξουσιάζων, τουτέστι, διάδοχος γίνεται τῆς ἐξουσίας τοῦ διαβόλου. *Ἐνώπιον δὲ αὐτοῦ*, οἱονεὶ

(1) Παρ' ἄλλοις, ποιεῖ.
(2) Παρ' ἄλλοις, ἵνα καὶ πῦρ ποιῇ καταβαίνειν ἐκ τοῦ οὐρανοῦ εἰς τὴν γῆν.
(3) Παρ' ἄλλοις λείπει τὸ, τοὺς ἐμούς.

(α) Β' Θεσ. Β', 3. 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀκολούθως ἐκείνῳ, κατ' οὐδὲν παραλλάττων τῆς παρουσίας τοῦ πρώτου σατανᾶ. *Οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ.*] Εἰπὼν, ὅτι *τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ* (πρῶτον δὲ πάντων εἶρηκε τὸν δράκοντα τὸν πυρρὸν, ὃν ἔδειξεν ἐν τῷ οὐρανῷ γεγραμμένον ἐν τῇ ὀπτασίᾳ·) ἵνα μή τις νομίσῃ νῦν λέγειν αὐτὸν περὶ ἐκείνου, ὃς τὴν ἐξουσίαν ἔλαβε τοῦ πρώτου θηρίου, οὐ περὶ ἐκείνου, φησὶ, τοῦ πρώτου λέγω, ἀλλὰ περὶ τοῦ μετ' ἐκεῖνον μέν, πρὸ δὲ τοῦ Ἀντιχρίστου, ὃν ἡ ὀπτασία ἔδειξεν ἐκ τῆς θαλάσσης ἀναβαίνειν, ὅμοιον ὄντα παρδάλει· τούτου γὰρ ἡ πληγὴ ἰάθη κατὰ τὸ πρότερον εἰρημένον. Σημεῖα γὰρ καὶ τέρατα αὐτὸν ποιεῖν κατ' ἐνέργειαν τοῦ διαβόλου· τὰ δὲ σημεῖα, πυρὸς ἀπ' οὐρανοῦ καταφορὰ, καὶ ἕτερά τινα μεγάλα, ὡς τῇ μεγαλειότητι ἐκστήσοντα καὶ τοὺς ἤδη πιστούς· τοῦτο γὰρ διὰ τοῦ εἰπεῖν, *Καὶ πλανᾷ τοὺς ἐμοὺς*, σημαίνει. Ἵνα δὲ παραστήσῃ, τίνας πλανήσῃ τῶν τοῦ Χριστοῦ πιστῶν, ἐπήγαγε γνώρισμα τούτων, *τοὺς κατοικοῦντας*, προσθεὶς, *ἐπὶ τῆς γῆς*, οὐ διαστέλλων ἀγγέλους ἀνθρώπων· τίνα γὰρ ἔξουσιν ἀπατᾷν τῶν ἀγγέλων, οἷς ἡ φυσικὴ καθαριότης οὐδὲν εἰς ἐπίκρυψιν ἀληθείας ἐμποδὼν γίνεσθαι ἐᾷ; ἐκείνους δὲ οὕτως ἐκστήσει, ὧν τὸ φρόνημα, οὐκ ἀνθρώπινον, ἀλλὰ γήϊνον. *Ἐνώπιον τῶν ἀνθρώπων.*] Κλέπτων τοὺς ὀφθαλμοὺς τῶν ὁρώντων, ταῦτα πράξει, φησὶν, ὁ τοῦ Ἀντιχρίστου πρόδρομος διὰ γοητείας, πρὸς τὸ νομισθῆναι Χριστὸν τὸν Ἀντίχριστον, ὡς ὑπὸ τοιούτου τερατουργοῦ μαρτυρούμενον, καὶ ἀναμφισβήτητον τὴν δόξαν λαμβάνοντα, κατὰ μίμησιν τοῦ βαπτιστοῦ Ἰωάννου, Χριστῷ μαρτυροῦντος τῷ σωτῆρι, καὶ τούτου προάγοντος.

14 Λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς, ποιῆσαι εἰκόνα τῷ θηρίῳ, ὃ ἔχει (1) τὴν πληγὴν τῆς

(1) Παρ' ἄλλοις, εἶχε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

15 μαχαίρας, καὶ ἔζησε. Καὶ ἐδόθη αὐτῷ, πνεῦμα δοῦναι τῇ εἰκόνι τοῦ θηρίου, ἵνα καὶ λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου, καὶ ποιήσῃ, ὅσοι ἂν μὴ προσκυνήσωσι
16 τῇ εἰκόνι τοῦ θηρίου, ἵνα ἀποκτανθῶσι. Καὶ ποιεῖ πάντας, τοὺς μικροὺς καὶ τοὺς μεγάλους, καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχοὺς, καὶ τοὺς ἐλευθέρους καὶ τοὺς δούλους, ἵνα δώσωσιν αὐτοῖς χαράγματα (1) ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ ἐπὶ τοῦ
17 μετώπου αὐτῶν (2)· καὶ ἵνα μή τις δύνηται ἀγοράσαι ἢ πωλῆσαι, εἰ μὴ ὁ ἔχων τὸ χάραγμα·

Ἐπειδή, φησιν, εἰκὼν ἀνεστηλώθη τῷ θηρίῳ, ἐδόθη αὐτῷ καὶ πνεῦμα δοῦναι τῇ εἰκόνι, ἵνα δῆθεν λαλήσῃ ἡ εἰκών. Τοῦτο δὲ πρὸς τὰ ἀγάλματα λογιστέον, ἃ πολλὰ καὶ ἱδροῦντα καὶ λαλοῦντα ἱστόρηται ἐν τοῖς ἑλληνικοῖς χρόνοις ἐνεργείᾳ διαβολικῇ. Κατὰ κοινοῦ δὲ τό, *ἵνα*, ληπτέον, ὡς ἂν ἢ οὕτως· *Ἵνα καὶ λαλήσῃ, ἵνα καὶ ποιήσῃ, ὅσοι ἂν μὴ προσκυνήσωσι τῇ εἰκόνι τοῦ θηρίου, ἵνα καὶ οὗτοι ἀποκταν θῶσιν.* Ὅτι δὲ τὰ ἀγάλματα, ὡς εἴρηται, ἐλάλει, ἐξ ἱστορίας μαθεῖν ἔνεστιν, ὡς διὰ γοητείας καὶ δένδρα καὶ ὕδατα λαλῆσαι ἱστόρηται διά τε Ἀπολλωνίου καὶ ἑτέρων ποιητῶν. Καὶ *ποιεῖ πάντας, τοὺς μικροὺς καὶ τοὺς μεγάλους*, καὶ ἑξῆς.] Ἰδιωτικωτέρα ἡ σύνταξις, διὸ καὶ ἀνόητος. Πότερον γὰρ λέγει, τοὺς μικροὺς καὶ τοὺς μεγάλους λαβεῖν, ἢ δοῦναι; Διὸ προσθήκῃ τῆς, *εἰς*, προθέσεως, τὸ ἀνόητον ἐπανορθωθείη ἂν πρὸς σύνεσιν οὕτω· *Καὶ ποιεῖ εἰς πάντας, τοὺς μικροὺς καὶ τοὺς μεγάλους*, καὶ τοὺς ἑφεξῆς, *ἵνα δώσωσιν αὐτοῖς χαράγματα ἐπὶ τῆς δεξιᾶς χειρὸς, ἢ ἐπὶ τοῦ μετώπου.* Τοῦτο δὲ εἰς γνώρισμά, φησι, τοῦ ἐμπορευτέου καὶ μή. *Ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς.*] Ἐπὶ τῆς χειρὸς τῆς δεξιᾶς καὶ ἐπὶ τοῦ μετώπου τὸ γνώρισμα· ἀντίθετος

(1) Παρ' ἄλλοις, ἵνα δώσῃ αὐτοῖς χάραγμα.
(2) Παρ' ἄλλοις, ἐπὶ τῶν μετώπων αὐτῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ τῶν ἀγαθῶν ἡ τοῦ ὀλεθρίου ὀνόματος ἐγχάραξις· ἐν μὲν ταῖς δεξιαῖς, ἵνα τῶν δεξιῶν καὶ ἀγαθῶν ἔργων ἐκκόψῃ τὴν ἐνέργειαν· ἐν δὲ τοῖς μετώποις, ἵνα τὸ τοῖς ὀφθαλμοῖς ἐπικείμενον μέρος προσληφθὲν, σκοτασμὸν ἐμποιήσῃ τοῖς ἀπατωμένοις, τοῦ μὴ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως ἀντέχεσθαι τῆς εὐσεβείας. Ἀλλ' οὐ δέξονται τοῦτο οἱ τὰ πρόσωπα σημειωθέντες τῷ φωτὶ τοῦ θείου προσώπου.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

Περὶ τοῦ ὀνόματος τοῦ θηρίου.

17 Τὸ ὄνομα (1) τοῦ θηρίου, ἢ τὸν ἀριθμὸν τοῦ ὀ-
18 νόματος αὐτοῦ. Ὧδε ἡ σοφία ἐστίν· ὁ ἔχων νοῦν, ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γὰρ ἀνθρώπου ἐστὶ, καὶ ὁ ἀριθμὸς αὐτοῦ χξς'.

Καὶ τί τὸ χάραγμα, ἐπιφέρει, *Τὸ ὄνομα τοῦ θηρίου*. Διττὴ δὲ τούτου ἡ γνῶσις· ἢ διὰ παραφορᾶς αὐτοῦ τοῦ ὀνόματος, ἢ διὰ ψήφου. Καὶ τὴν ψῆφον δὲ τοῦ ὀνόματος τοῦ θηρίου, παντα-χοῦ πλατῦναι ἐπετηδεύθη, ἔν τε πράσεσι καὶ ὠναῖς, ἵν' ὁ μὴ τοῦτο ἐπιφερόμενος, ἐν ταῖς τῶν ἀναγκαίων ἐνδείαις τελευτήσῃ. *Ἀριθμὸν* δὲ *ἀνθρώπου* τὸ ὄνομα εἶναι, ἀντὶ τοῦ, οὐ ξένον, οὐδὲ ἄηθες καὶ ἐπικεκρυμμένον, καὶ διπλόης ἐχόμενον, ἀλλὰ ψῆφον ἐντριβῆ καὶ ἐγνωσμένην ἀνθρώποις. Ἀριθμὸς δὲ τῆς τοῦ ὀνόματος ψήφου, *ἑξακόσια ἑξήκοντα ἕξ*. Σαφῶς δὲ αὐτὸ τὸ ὄνομα οὐ παρέθετο, διὰ τὸ μηδὲ ἄξιον εἶναι τῆς ἐν τῷ βιβλίῳ γραφῆς. Διόπερ γυμνασίας χάριν ἐπανελέσθαι οὐκ ἄκαιρον τὰ τὴν ψῆφον ἐπιφερόμενα ὀνόματα, κύριά τε καὶ προσηγορικά. Κύρια μὲν, οἷον *Λαμπέτις*, *Τειτᾶν*, ἀπὸ τοῦ, τείνω, *Λατεῖνος*, ὁμοί-

(1) Παρ' ἄλλοις, Ἢ τὸ ὄνομα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ως διὰ διφθόγγου (1), *Βερέδικτος*, ὅπερ ἑρμηνεύεται *εὐλογημένος*, ἢ *εὐλογητὸς*, κατὰ μίμησιν τυχὸν τοῦ ἀληθῶς εὐλογημένου Χριστοῦ τοῦ θεοῦ ἡμῶν. Προσηγορικὰ δὲ, *Ὁ Νικητής*· ἴσως γὰρ οὕτως ἑαυτὸν ὀνομάσει· καὶ, *Κακὸς ὁδηγὸς*, καὶ, *Ἀληθὴς βλαβερὸς*, καὶ, *Παλαιβάσκανος*, καὶ, *Ἀμὸς ἄδικος*, οἷς ἐκ τῶν ἐναντίων αὐτῷ ἐπικληθήσεται, τὴν οἰκείαν δόξαν ἐν τῇ αἰσχύνῃ καρπούμενος. Ἀλλὰ τὴν μὲν ἀκρίβειαν τῆς ψήφου, ὡς καὶ τὰ λοιπὰ περὶ αὐτοῦ γεγραμμένα, ὁ χρόνος ἀποκαλύψει καὶ ἡ πεῖρα τοῖς νήφουσιν. Εἰ γὰρ ἔδει, καθώς φασί τινες τῶν διδασκάλων, σαφῶς γνωσθῆναι τὸ τοιοῦτον ὄνομα, ὁ τεθεαμένος αὐτὸ ἂν ἀπεκάλυψεν. Ἀλλ' οὐκ ηὐδόκησεν ἡ θεία χάρις ἐν θείᾳ βίβλῳ τὸ τοῦ λυμεῶνος ταγῆναι ὄνομα. Ὡς δὲ ἐν γυμνασίας λόγῳ πολλὰ ἐστιν εὑρεῖν κατὰ τὸν μακάριον Ἱππόλυτον καὶ ἑτέρους πολλοὺς ὀνόματα, τὸν ἀριθμὸν τοῦτον περιέχοντα, προσηγορικά τε καὶ κύρια, ὡς ἤδη εἴρηται.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

Περὶ τῶν ρμδ' χιλιάδων τῶν σὺν τῷ ἀρνίῳ ἑστώτων ἐν ὄρει Σιών.

ΚΕΦ. XIV, 1 Καὶ εἶδον, καὶ, ἰδοὺ, τὸ ἀρνίον (2) ἑστηκὸς ἐπὶ τὸ ὄρος Σιὼν, καὶ μετ' αὐτοῦ ἀριθμὸς (3) ρμδ' χιλιάδες, ἔχουσαι τὸ ὄνομα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώ-

(1) Περὶ τοῦ ὀνόματος Λατεῖνος γράφει ὁ Ἱππόλυτος. «Φανερόν ἐστι πᾶσιν, ὅτι οἱ κρατοῦντες ἔτι νῦν εἰσι Λατῖνοι. Εἰς ἑνὸς οὖν ἀνθρώπου ὄνομα μεταγόμενον, γίνεται Λατεῖνος. Ὥστε οὔτε προκηρύσσειν δεῖ, ὡς ὄντος τούτου ὀνόματος, οὔτε πάλιν ἀγνοεῖν, ὅτι μὴ ἄλλως δύναται λέγεσθαι· ἔχοντες δὲ τὸ μυστήριον τοῦ θεοῦ ἐν τῇ καρδίᾳ, μετὰ φόβου φυλάσσειν πιστῶς τὰ ὑπὸ τῶν μακαρίων προφητῶν προειρημένα, ἵνα, γινομένων αὐτῶν, προϊδόντες μὴ σφαλλώμεθα. Τῶν γὰρ καιρῶν ἐπιγινομένων, καὶ αὐτὸς, περὶ οὗ ταῦτα εἴρηται, φανερωθήσεται. »

(2) Παρ' ἄλλοις χωρὶς τοῦ ἄρθρου, τό.

(3) Παρ' ἄλλοις λείπει τὸ, ἀριθμός.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

2 πων αὐτῶν. Καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ, ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ ἡ φωνή, ἣν ἤκουσα, ὡς κιθαρῳδῶν κι-
3 θαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν. Καὶ ᾄδουσιν ὠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων ζώων, καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς ἐδύνατο μαθεῖν τὴν ᾠδὴν, εἰ μὴ αἱ ρμδ' χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς.

Ἐπὶ τὸ ὄρος Σιών.] Οὐ τῆς παλαιᾶς Σιών· ὅτι μηδὲ αὐτὴ ὑπήκοος τῷ ἀρνίῳ, ὅ ἐστιν ὁ Χριστός· ἀλλὰ τῆς νέας· ἥτις ἐστὶ πόλις θεοῦ ζῶντος, ἧς νῦν δείκνυται ἐπιβεβηκὸς τὸ ἀρνίον, τὴν ἐπ' ἐσχάτων ἐπιστροφὴν τοῦ Ἰσραὴλ παραδηλούσης τῆς ὁπτασίας· ἣν καὶ Παῦλος ὁ θεῖος ᾐνίξατο, δι' ὧν φησιν· Ὅταν τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται (α), οἰκειωθεὶς δηλαδὴ τῷ Χριστῷ. *Καὶ μετ' αὐτοῦ ἀριθμὸς ρμδ' χιλιάδες.*] Ὁ ἀριθμὸς τῶν χιλιάδων οὐχ ὁ αὐτὸς τῶν ἀφ' ἑκάστης φυλῆς προειρημένων πεπιστευκέναι τῷ Χριστῷ· ἦ γὰρ ἂν μετὰ τοῦ ἄρθρου προήνεγκεν, *αἱ ρμδ' χιλιάδες*, εἰπών· ἀλλ' ἐπειδὴ ἀσυνάρθρως, λείπεται νοεῖν τοὺς ἀπὸ τῶν ἐθνῶν αὐτὸν εἰρηκέναι, τῆς ἐν ἑκάστῳ χάριτος τοῦ θείου καὶ ἀποστολικοῦ σπόρου δωδεκάκις χιλιοστὸν, ἤγουν τέλειον, ἀπεργαζομένης τὸν καρπὸν τῆς τῶν σωζομένων πίστεως, οἷς καὶ παρθενίαν κατωρθωκέναι προσμαρτυρεῖ, ὃ σπάνιον παρ' Ἑβραίοις. Τὸ δὲ ἔχειν τὸ ὄνομα αὐτοῦ καὶ τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων, δηλοῖ, ὡς τῷ θείῳ φωτὶ τοῦ προσώπου αὐτοῦ τοῦ θείου σφραγίζονται, δι' οὗ τοῖς ἀντιτίμοις ἐπὶ τούτου καὶ ὀλεθρίοις δαίμοσι φοβεροὶ γίνονται. *Ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης.*] Ἡ τῶν ὑδάτων, καὶ τῶν βροντῶν, καὶ τῶν κιθαριζόντων φωνὴ, τὸ διαπρύσιον δηλοῖ τῆς τῶν ἁγίων ὑμνῳδίας, καὶ τῆς ἐμμελοῦς αὐτῶν καὶ εὐήχου καὶ

(α) Ῥωμ. ΙΑ', 25. 26.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συμφώνου ᾠδῆς, τῆς πᾶσαν περιηχούσης τὴν τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων πρωτοτόκων ἐκκλησίαν καὶ πανήγυριν, οἷς ἡ πρωτότοκος ἐπιφημίζεται κλῆσις. Τὰ δὲ τῆς καινῆς ταύτης ᾠδῆς μυστήρια, οὐδείς, φησίν, ἀκοῦσαι δύναται, εἰ μὴ οἱ τοῦ ᾄδειν αὐτὰ ἠξιωμένοι· ἑκάστῳ γὰρ ἡ γνῶσις κατὰ τὴν ἀναλογίαν τῆς καθαρότητος δίδοται.

4 Οὗτοί εἰσιν, οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν· οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ, ὅπου ἂν ὑπάγῃ· οὗτοι ὑπὸ Ἰησοῦ (1) ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων, ἀπαρχὴ τῷ θεῷ καὶ
5 τῷ ἀρνίῳ· καὶ οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτῶν ψεῦδος· ἄμωμοι γάρ εἰσιν (2)· Οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ (3).

Οὐκ ἀτιμωμένου τοῦ γάμου τὰ παρόντα λέγονται· *τίμιος* γὰρ ὁ *γάμος* (α)· καὶ οὐ τῷ ἀξιεπαίνῳ τῆς παρθενίας ὁ γάμος ὑποδύεται τὸ ἀνάξιον· ἀλλ' ἐπειδὴ καὶ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ (β), τούτους μετὰ τοὺς ὠνομασμένους εἰκοσιτέσσαρας πρεσβυτέρους, τῶν λοιπῶν εἶναι ἡγούμεθα προὔχοντας, διά τε τὴν παρθενίαν καὶ τὸ ἐν γλώσσῃ τε καὶ ἐν χερσὶν ἄμωμον, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν κτωμένους τὴν ἐν ἀρεταῖς λαμπρότητα· δι' ἧς καὶ τὴν καινὴν ᾠδὴν διδάσκονται, τὴν τοῖς πολλοῖς οὐ μόνον κατὰ τὸν παρόντα βίον, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἄγνωστον. Εἰ γὰρ καὶ τὸ τέλειον τῆς γνώσεως ἐκεῖ, κατὰ τὸν Ἀπόστολον (γ), ἀλλ' ἀναλόγως τῇ ἐνταῦθα καθάρσει ἑκάστῳ ἐφαπλουμένης τῆς γνώσεως. *Οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ.*] Οὐ διαφορὰν παριστῶντος τοῦ ἀρνίου, ἀλλὰ τὸ πρὸς ἀρετὴν διάφορον δηλοῦντος τῶν τῆς μαθήσεως τῆς ᾠδῆς κατευ-

(1) Παρ' ἄλλοις χωρὶς τοῦ, ὑπὸ Ἰησοῦ.
(2) Παρ' ἄλλοις, οὐχ εὑρέθη δόλος· ἄμωμοι γάρ εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ.
(3) Τοῦτο κοινῶς λείπει.
(α) Ἑβρ. ΙΓ', 4. (β) Α' Κορ. ΙΕ', 41. (γ) Α' Κορ. ΙΓ', 10. 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τυχησάντων· οἱ μὲν γὰρ ἁπλότητι ψυχῆς καὶ ἀκακίᾳ περικρατούμενοι, ἀκολουθεῖν τῷ ἀρνίῳ ἐπιτήδειοι γεγόνασιν· οἱ δὲ ἀνδρικώτερον διακείμενοι, καὶ λελογισμένῃ διαθέσει περιστοιχούμενοι, τῷ ἀνδρωθέντι Χριστῷ προσηνέχθησαν, πρός τε τὰ πάθη, πρός τε τοὺς τυράννους τὸ νικητήριον ἀνελόμενοι κράτος· οἳ καὶ διὰ τὸ μιμήσασθαι, τοὺς μὲν, τὴν ἀκακίαν Χριστοῦ τοῦ διδασκάλου, τοὺς δὲ, τὸ ἀρνικὸν πρὸς τὴν ὑπὲρ αὐτοῦ τοῦ διδασκάλου τοῦ ἰδίου αἵματος ἔκχυσιν, οὕτω τῆς ἀπ' αὐτοῦ κτήσεως ἔτυχον. Ὥσπερ δὲ τῆς δόξης αἱ μοναὶ διάφοροι (α), οὕτω καὶ τῆς κολάσεως· διὸ καὶ εἴρηται τὸ· *Ἕκαστος τὸν ἑαυτοῦ μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον (β).*

ΚΕΦΑΛΑΙΟΝ Μ'.

Περὶ ἀγγέλου, προαγορεύοντος τὴν ἐγγύτητα τῆς κρίσεως τῆς μελλούσης.

6 Καὶ εἶδον ἄλλον ἄγγελον πετόμενον ἐν μεσουρανήματι, ἔχοντα εὐαγγέλιον αἰώνιον, εὐαγγελίσαι τοὺς καθημένους ἐπὶ τῆς γης, καὶ πᾶν (1) ἔθνος καὶ
7 φυλὴν καὶ γλῶσσαν καὶ λαὸν, λέγων (2) ἐν φωνῇ μεγάλῃ· Φοβήθητε τὸν Κύριον (3), καὶ δότε αὐτῷ δόξαν· ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ· καὶ προσκυνήσατε αὐτόν, τὸν ποιήσαντα (4) τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πηγὰς ὑδάτων.

Τὸ *μεσουράνημα*, διττὴν νόησιν ἐμποιεῖ. Καὶ γὰρ τὸ ὑψηλὸν καὶ μετέωρον δηλοῖ, καὶ ὅτι ἀπ' οὐρανοῦ τό τε εὐαγγελιζό-

(α) Ἰωάν. ΙΔ', 2· (β) Α' Κορ. Γ', 8.
(1) Παρ' ἄλλοις, καὶ ἐπὶ πᾶν ἔθνος. (2) Κοινῶς, λέγοντα.
(3) Παρ' ἄλλοις, τὸν Θεόν (4) Παρ' ἄλλοις, τῷ ποιήσαντι, χωρὶς τοῦ προηγουμένου, αὐτόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μενον ὑπ' αὐτοῦ, καὶ αὐτὸς ὁ ὑπὸ θεοῦ ἀποσταλείς· καὶ ὅτι ἤγγικεν ἤδη τὸ ἀπ' αἰῶνος ἐλπιζόμερον κριτήριον. Καὶ, εἰ καὶ σωτήριον τοῦτο τοῖς ἐκ παντὸς ἔθνους τὰ εὐάρεστα διαπραξαμένοις θεῷ, ἀλλὰ καὶ ἔμφοβον δαίμοσι καὶ ἁμαρτωλοῖς. Ἀμφότερα δὲ ὑπηνίξατο, τοῖς μὲν ἀγαθοῖς, διὰ τοῦ μεγάλου, τὸ καταθύμιον εἶναι τὴν τοῦ δικαίου κριτοῦ παρουσίαν, καὶ ὅτι ἀποκαταστήσει αὐτοὺς πρὸς τὸν δί ὃν ἐναθλεῖν αὐτοῖς ὑπῆρξεν ἐν τῷ μοχθηρῷ τούτῳ βίῳ τοῖς τῶν προσταγμάτων αὐτοῦ ἀντεχομένοις· τοῖς δαίμοσι δὲ καὶ τοῖς ὑπ' αὐτῶν ἐκβακχευθεῖσιν ἀνθρώποις, φόβον, οὐ πρὸς ἀσφάλειαν, ἀλλ' ἐκ προσδοκίας τῶν ἔργων, ὧν ἔπραξαν. Διὸ καὶ ὁ προφήτης φησίν· *Ἰδοὺ, Κύριος ἔρχεται, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ* (α)*; Καὶ προσκυνήσατε αὐτόν.*] Ἐνδίκως τὸ προσκυνεῖν αὐτὸν προστάσσει, ὡς ποιητὴν οὐρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. Διὰ μὲν γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῆς θαλάσσης, ἡ ὁρωμένη δηλοῦται κτίσις· διὰ δὲ τῶν πηγῶν, ἡ ὑποχθόνιος· ἄδηλον γὰρ ὁπόθεν ταῖς πηγαῖς ἡ ἀνάδοσις, ὥσπερ καὶ τὰ ὑπὸ γῆν. Εἰ δὲ τούτῳ ἐπαξίως, ὡς παραιτίῳ τούτων, ἡ δουλικὴ ὑπόπτωσις, ἐνδίκως ἂν καὶ τῷ ἀλιτηρίῳ διαβόλῳ ἡ ἀτιμία καὶ ἐξουδένωσις.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Περὶ δευτέρου ἀγγέλου, τὴν πτῶσιν Βαβυλῶνος κηρύσσοντος.

8 Καὶ ἄλλος δεύτερος ἄγγελος ἠκολούθησε, λέγων· Ἔπεσεν, ἔπεσε Βαβυλὼν ἡ μεγάλη (1)· ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πεπότικε πάντα τὰ ἔθνη.

(α) Μαλαχ. Γ', 2. (1) Πρ' ἄλλως, ἡ πόλις ἡ μεγάλη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ, *δεύτερος*, οὐχ ἁπλῶς εἴρηται· ἀλλ' εἰς δήλωσιν τοῦ ὅτι, ἐναρξαμένου τοῦ πρώτου τῶν τιμωρητικῶν ἀπειλῶν, ἄλλος ἄγγελος τὰς αὐτὰς ἐπιφρωννύων συμφορὰς παραγέγονε· τοῦτο γὰρ παρεμφαίνει τὸ, *ἠκολούθησεν*. Ἐπὶ γὰρ τῇ ἐκβάσει τῶν ἀπηγγελμένων οὐδὲν πρὸς ὑστέρησιν τοῦ μὴ πᾶσαν τὴν τοῦ παρόντος βίου σύγχυσιν πτῶσει ὑποβληθῆναι· τί γὰρ ἂν ἄλλο ἡ πτῶσις παρασήσῃ; ὥσπερ οὐδὲ ἡ *Βαβυλὼν*, οὐδὲν ἕτερον, εἰ μὴ τὴν σύγχυσιν. Καὶ τίς ἡ *Βαβυλών*; Οὐκ ἄλλη, ἢ οὗτος ὁ φθαρτὸς κόσμος· ταύτης δηλαδὴ τῆς Βαβυλῶνος οὐκ ἀλλοθέν ποθεν κατασεισθείσης, ἢ ἐκ τοῦ ἐξισᾶν ἄλλους. *Πορείαν* δὲ οὐ μόνον οἶδεν ἡ Γραφὴ τὴν πρὸς τὸ θῆλυ τοῦ ἄῤῥενος ἀσελγῆ συνδρομὴν καλεῖν, ἀλλὰ καὶ πᾶσαν τὴν ἀπὸ τοῦ ἀγαθοῦ ἔκκλισιν, εἴγε πιστὸν τό· *Ἐξωλόθρευσας πάντα τὸν πορεύοντα ἀπὸ σοῦ* (α). Καὶ ὅτι μὲν εἰς Βαβυλῶνα ὁ κόσμος μετείληπται, δηλοῖ τὸ, *μεγάλη*, προστιθέμενον, οὐ πρὸς ἀντιδιαστολὴν τῆς μικρᾶς, ἀλλ' αὐτὸ τὸ ὂν εἰσηγούμενον. Εἰ δὲ καὶ πρὸς τὴν Χαλδαίαν Βαβυλῶνά τις κατευθύνειν θέλει τὸν λόγον, οὐδὲν διοίσει τῷ κατὰ ζῆλον ἐκείνης ματαιωθέντι κόσμῳ τοσαῦτα συνηντηκότα αὐτὴν ἐκείνην τὴν ἀρχέτυπον ὑποστῆναι, εἴπερ πρὸς τὸ αἴτιον πᾶν τὸ ἐπ' ἐκείνου συμβαῖνον ἀναφέρεται.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

Περὶ τρίτου ἀγγέλου, ἀσφαλιζομένου τὸν τοῦ Κυρίου λαὸν, μὴ δέξασθαι τὸν Ἀντίχριστον.

9 Καὶ ἄλλος ἄγγελος τρίτος ἠκολούθησεν αὐτοῖς, λέγων ἐν φωνῇ μεγάλῃ· Εἴτις προσκυνεῖ τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ λαμβάνει χάραγμα

(α) Ψαλμ. ΟΒ', 27.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπὶ τοῦ μετώπου αὐτοῦ, ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ,
10 καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ θεοῦ,
τοῦ κεκερασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς
ὀργῆς αὐτοῦ· καὶ βασανισθήσεται ἐν πυρὶ καὶ
θείῳ ἐνώπιον τῶν ἁγίων ἀγγέλων, καὶ ἐνώπιον
11 τοῦ ἀρνίου. Καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτῶν
εἰς αἰῶνα αἰώνων ἀναβαίνει· καὶ οὐκ ἔχουσιν ἀνά-
παυσιν ἡμέρας καὶ νυκτὸς οἱ προσκυνοῦντες τὸ
θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ εἴ τις λαμβάνει
τὸ χάραγμα τοῦ ὀνόματος αὐτοῦ.

Τὸ *ἀκολουθεῖν* εἴρηκεν, ὡς τὸ συνεχὲς καὶ ἀδιάσπαστον καὶ ἀνένδοτον βουλόμενος παριστᾶν. Ἡ δὲ *μεγάλη φωνὴ*, τὸ ἐκπληκτικὸν καὶ τὸ διὰ πάσης χωρεῖν ἀκοῆς τὰ δηλούμενα σημαίνει· ἡ δὲ *τοῦ θηρίου προσκύνησις* καὶ τὸ *λαβεῖν αὐτοῦ τὴν σφραγῖδα*, τὸ τὸν Ἀντίχριστον ἡγήσασθαι θεὸν, καὶ ἢ λόγῳ ἢ ἔργῳ τὰ καταθύμια τούτῳ διεξιέναι καὶ κηρύσσειν· τοῦτο γὰρ τὸ *ἐπὶ τοῦ μετώπου καὶ τῆς χειρὸς χάραγμα* σημαίνει, ἀντὶ τοῦ λόγου, τοῦ μετώπου, καὶ ἀντὶ ἔργου, τῆς χειρὸς, παραληφθέντων. *Εἰκόνα* δὲ, τὴν δυσσεβῆ πολιτείαν καλεῖ· *οἶνον* δὲ, τὴν ὀργὴν φάσκει, οὐκ ἀπὸ τῆς εὐφροσύνης, ἀλλ' ἐκ τῆς σκοτώσεως καὶ τῆς παραφορᾶς· τοιοῦτο γὰρ καὶ ὁ *θυμός*. *Κεκεράσθαι* δὲ, ἀντὶ τοῦ ἐκχεῖσθαι, ἢ ἐπιδίδοσθαι. Εἴρηται δὲ οὕτω, καθότι ἑκάτερα παρὰ τοῖς παλαιοῖς τὰ ποτήρια. *Οἶνος δὲ θυμοῦ* εἴρηται, ὡς καὶ *εὐφραίνων οἶνος* (α). Ὡς γὰρ ὁ εὐφραίνων οἶνος λήθην ἐμποιεῖ τῶν δυσχερῶν· οὕτω καὶ νῦν *οἶνος θυμοῦ* εἴρηται ἡ κόλασις, ἐπακολούθημα οὖσα τοῦ τῆς ἀσεβείας οἴνου, τοῦ τοὺς πίνοντας μεθύσκοντος· ὅτι, δι' ὧν τις ἁμαρτάνει, δι' αὐτῶν καὶ κολάζεται. *Τοῦ κεκερασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς.*] Ἐπιτευκτικῶς τὸ *ἄκρατον τοῦ θυμοῦ* οἴνῳ ἀπείκασεν ἀκράτῳ, κεκερασμένῳ ἐν τῷ ποτηρίῳ.

(α) Ψαλμ. ΡΓ', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄκρατος γὰρ οἶνος, μεθύσκειν δύναται πλεῖον τοῦ κεκραμένου· ἐπεὶ καὶ κατὰ τὸν μέλλοντα αἰῶνα οἱ ἀνταποδιδόμενοι τῶν βεβιωμένων μισθοί, ἄκρατοι καὶ ἀμιγεῖς τοῦ ἐναντίου ἐλέου καὶ ἀγαθῶν ἔργων ἀειμνηστίας· ὅτι καὶ ὁ ἐκεῖ βίος ἀληθὴς καὶ παντὸς ἀγνεύων τοῦ προσποιητοῦ καὶ ἐπιπλάστου. Ἀλλ' εἰ τοιοῦτος, πῶς κεκέρασται ἐν τῷ ποτηρίῳ; Ἢ δῆλον, ὡς τὸ *κεκεράσθαι* οὐκ ἐπιμιξίαν τινὰ σημαίνει, ἀλλ' ἐπίδοσιν· ὡς ἂν οὕτω νοοῖτο· *Τοῦ κεκερασμένου*, τουτέστι, τοῦ ἐπιδοθέντος ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς· δι' ὅπερ ἀκολούθως τῇ ὀργῇ, καὶ ἡ βάσανος ἐκ πυρὸς καὶ θείου, ἀμφοῖν καυστικωτάτοιν, *πυρὸς* μὲν, φλέγειν πεφυκότος, τοῦ *θείου* δὲ, ἀνερεθίζειν διαρκῶς εἰωθότος. Τὸ δὲ, *Ἐνώπιον τῶν ἁγίων ἀγγέλων, καὶ ἐνώπιον τοῦ ἀρνίου*, τοῦτο βούλεται παριστᾶν· διὰ μὲν τῶν ἀγγέλων, τὸ ἀδυσώπητον τὸ πρὸς τὴν βάσανον· διὰ δὲ τοῦ ἀρνίου, ἀνάμνησιν φέροντος τῆς ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων αὐτοῦ σφαγῆς, ὅπως αὐτὸς μὲν ἀγαπήσας αὐτοὺς ἐκδέδωκεν ἑαυτόν· αὐτοὶ δὲ τῆς ἑαυτῶν ἀπαλλαγῆναι ἀπωλείας οὐκ ἐβουλήθησαν. *Καπνὸν* δὲ *τοῦ βασανισμοῦ*, ἢ τὴν πρὸς πάντας δήλωσιν τοῦ διὰ πυρὸς ἐκτελεῖσθαι τὴν τιμωρίαν, ἢ τὸ ἄσθμα τὸ ἐκ τῆς τῶν κολαζομένων οἰμωγῆς, οἱονεὶ νέφος, οὐ πρὸς ὀλίγον, ἀλλ' αἰωνίως ἀναβαῖνον, εἴρηκεν. *Καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτός.*] *Ἡμέραν* καὶ *νύκτα* λέγει, οὐχ ὡς ἡλίῳ μετρουμένην τὴν τοῦ μέλλοντος αἰῶνος κατάστασιν, ἐν ᾗ μὴ ἔχειν ἀνάπαυσιν τοὺς ἀσεβεῖς προαγορεύει· ἀλλ' ἢ πρὸς τὴν ἐν τῷ παρόντι χρόνῳ συνήθειαν, τῷ νυξὶ καὶ ἡμέραις ἀριθμουμένῳ· ἢ *ἡμέρας* μὲν, τῆς τῶν ἁγίων ζωῆς νοουμένης· *νυκτὸς* δὲ, τῆς τῶν βεβήλων κολάσεως· ἧς τεύξονται οἱ τὰς διαβολικὰς πράξεις καὶ τὰς [κατὰ Χριστοῦ βλασφημίας, δι' ὧν πράττουσιν, εἰκονίζοντες, τὴν εἰκόνα τοῦ ἀποστάτου θηρὸς καὶ τὸ τούτου ἄτιμον ὄνομα ταῖς ἑαυτῶν καρδίαις ὡς τίμιον ἐγχαράττοντες.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

12 Ὧδε ἡ ὑπομονὴ τῶν ἁγίων ἐστίν· οἱ τηροῦντες (1)
13 τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ τὴν πίστιν Ἰησοῦ. Καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ, λεγούσης· Γράψον· Μακάριοι οἱ νεκροὶ, οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες ἀπάρτι. Ναὶ, λέγει τὸ πνεῦμα, ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων αὐτῶν· τὰ δὲ ἔργα αὐτῶν ἀκολουθεῖ μετ' αὐτῶν.

Ἐν τούτῳ, φησὶ, τῷ καιρῷ, τῷ τοῦ Ἀντιχρίστου, ἡ ὑπομονὴ τῶν ἁγίων δείκνυται. Εἶτα ὡς ἐξ ἐρωτήσεως ὁ λόγος ἐσχημάτισται. Καὶ τίνες, φησὶν, οὓς λέγεις *ἁγίους* ὑπομονητικούς; Εἶτα, ὡς ἀποκρινόμενος· *Οἱ τηροῦντες*, φησὶ, *τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ τὴν πίστιν Ἰησοῦ*. Οὗτοι γὰρ, καὶ πειρασμῶν παρόντων καὶ θανάτου, πάντα δεύτερα θήσονται τῆς τοῦ θεοῦ ἀγάπης καὶ πίστεως Ἰησοῦ. Οὐ διαιρῶν δὲ καὶ ἀποδιϊστῶν τὴν εἰς θεὸν πίστιν τῆς τοῦ Κυρίου πίστεως, τοῦτο φησίν· ἀλλ' εἰσαγωγικώτερον τῷ λόγῳ χωρῶν, οὕτω πρόεισιν. Ἐπὶ γὰρ μόναις Ἰουδαίοις ἡ τοῦ θείου εὐσεβὴς ὑπόληψις ἐνορᾶτο, ἀπὸ τῶν πολλῶν καὶ ματαίων θεῶν εἰς ἕνα θεὸν περιϊστᾶσα τὸ σέβασμα· ὁ δὲ Χριστὸς, διὰ τὸ ἄνθρωπος ὁρᾶσθαι καὶ χρηματίζειν, οὕπω τοῖς πολλοῖς ἐδόκει θείας φύσεως εἶναι θησαυρὸς ὑπερούσιος· διὰ τοῦτο διακριτικώτερον ταῖς ἐντολαῖς τοῦ θεοῦ, τοῦ Ἰησοῦ πίστιν ὑπέστησε. Πλὴν ἐστιν εἰπεῖν, ὡς μᾶλλον ἐντεῦθεν ἡ κατὰ Χριστὸν θεολογία κρατύνεται. Εἰ γὰρ ταῖς ἐντολαῖς τοῦ θεοῦ καὶ ἡ κατὰ Ἰησοῦν πίστις παρομαρτεῖ, τίς ἡ ἀνάγκη ἀνταναιρεῖν τῶν θείων ἐντολῶν τῶν τοῦ Ἰησοῦ, μᾶλλον ἐκ τούτου τῶν ἐντολῶν τὸ κράτος οἰκειουμένων; δι' ἃς κατολιγωρουμένας, καὶ τὴν ἀνθρώπου εὐτελῆ φύσιν οὐκ ἀπηξίωσεν ὑποδῦναι, ὡς ἂν δι' ἑαυτοῦ ὑποδείξῃ, ὡς τῆς ἀνθρωπίνης οὐσίας ἀδυνατούσης πρὸς ἔργον ἀγαγεῖν τὰς ἐντολὰς, ταύτῃ ἑαυτὸν ἥνωσεν ἐνανθρωπήσας. *Μακάριοι οἱ νεκροὶ*, ο

(1) Παρ' ἄλλοις, ὧδε οἱ τηροῦντες.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ἐν Κυρίῳ ἀποθνήσκοντες.] Ἡ ἐξ οὐρανοῦ φωνὴ, οὐ πάντας μακαρίζει τοὺς νεκροὺς, ἀλλὰ τοὺς ἐν Κυρίῳ ἀποθνήσκοντας, τοὺς νεκρωθέντας τῷ κόσμῳ, *καὶ τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντας* (α)· ἐκείνοις γὰρ τῷ ὄντι ἡ ἐκ τοῦ σώματος ἔξοδος, ἀνάπαυσις ἐκ κόπων. *Ναὶ, λέγει τὸ πνεῦμα.*] Ἡ σύνταξις οὕτω· *Τὸ πνεῦμα λέγει· Γράψον ἀπάρτι·* οἱονεὶ ὑπολιχνεύων τοὺς ἀθλοῦντας, τῇ ἐπαγγελίᾳ τῆς ἐκλείψεως μὲν τῶν ἐπιμόχθων αὐτοῖς, ἐντυχίας δὲ τῶν ἀναπαυστικῶν ἀγαθῶν· ἅμα γὰρ τῷ ἀφανισμῷ τῶν κόπων, ἐπεισαχθήσεται ἡ διὰ τῶν ἔργων ἀντίδοσις.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

Ὅτι ὁ ἐν τῇ νεφέλῃ καθήμενος, τῷ δρεπάνῳ συντελεῖ τὰ ἐκ τῆς γῆς βλασάνοντα.

14 Καὶ εἶδον, καὶ, ἰδοὺ, νεφέλη λευκὴ, καὶ ἐπὶ τὴν νεφέλην καθήμενον ὅμοιον (1) υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ
15 αὐτοῦ δρέπανον ὀξύ. Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ, κράζων ἐν φωνῇ μεγάλῃ τῷ καθημένῳ ἐπὶ τῆς νεφέλης· Πέμψον τὸ δρέπανόν σου, καὶ θέρισον· ὅτι ἦλθεν ἡ ὥρα τοῦ θερίσαι· ὅτι ἐξη-
16 ράνθη ὁ θερισμὸς τῆς γῆς. Καὶ ἔβαλεν ὁ καθήμενος ἐπὶ τὴν νεφέλην τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἐθερίσθη ἡ γῆ.

Τὴν *νεφέλην*, εἰς Μαρίαν τὴν ἀειπάρθενον ἐξειλήφασιν οἱ θεῖοι Πατέρες, κατὰ τὸ ὑπὸ Ἡσαΐου εἰρημένον· *Ἰδοὺ, Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον* (β)· ἐκ γῆς μὲν οἷον ἐξατμισθεῖσαν, τουτέστιν, ἐκ τῆς περιγείου παχύ-

(α) Β' Κορ. Δ', 10.
(1) Παρ' ἄλλοις, καθήμενος ὅμοιος. (β) Ἡσ. ΙΘ, 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τητος ἀποδράσασαν· *κουφότης* δὲ, ταῖς οὐρανοδρόμοις ἀρεταῖς κατηρτισμένη, ἀποδίδοται, τῷ δι' αὐτῆς ἐνδημῆσαι τὸν τοῦ θεοῦ υἱὸν εὐμοιρήσαντα. Ἢ *κεφάλην* νοοῦμεν ἀγγελικήν τινα δύναμιν, διὰ τὸ καθαρὸν καὶ μετεωρότερον τῆς ἀγγελικῆς φύσεως, παρ' ὃ καὶ *λευκὴ* εἶναι λέγεται. *Ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν.*] Ὁ *στέφανος*, τὸν Κύριον Ἰησοῦν βασιλέα αἰνίττεται· βασιλεὺς γὰρ τῶν τε νοητῶν καὶ τῶν αἰσθητῶν ὁ Χριστός. *Χρυσοῦν* δὲ *τὸν στέφανον* λέγει, ἐκ τῶν παρ' ἡμῖν τιμίων τὸ ἔνδοξον ὑπογράφων. *Τὸ δὲ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ἔχειν*, τὸ ἐν τῇ ἐξουσίᾳ αὐτοῦ κεῖσθαι τὴν τοῦ αἰῶνος τούτου συντέλειαν παραδηλοῖ· *ὀξὺ* δὲ, διὰ τὴν ταχυτῆτα τῆς ἐφόδου. *Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ, κράζων.*] Διὰ τί δὲ ἐξῆλθεν οὗτος ὁ ἄγγελος, *κράζων*; Περιφραστικῶς διὰ τούτων δηλοῦται ἡ ἱκεσία τῶν ἐπουρανίων δυνάμεων, ἐφιεμένων μὲν τῆς τῶν δικαίων τιμῆς, ὡς μιμησαμένων αὐτὰς ἐν τῇ ἑαυτῶν προσκαίρῳ ζωῇ, οὐκ ἀπαναινομένων δὲ τὴν τῶν ἀπεναντίον αὐτοῖς βεβιωκότων ἐκδικίαν θεάσασθαι· διὸ ἐπισπεύδουσιν, ἐφ' ᾧ παύσασθαι μὲν τὰ κινούμενά τε καὶ ἀλλοιούμενα, φανερωθῆναι δὲ τὰ ἀναλλοίωτα καὶ ἀνακίνητα. *Ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς.*] Τὸ *ξηρανθῆναι τὸν θερισμὸν* οὐκ ἄλλο δηλοῖ, ἢ τὸ ἐπιστῆναι τὸν τῆς συντελείας καιρὸν, ὅτε πεπανθεὶς ὡς σῖτος ὥριμος ὁ τῶν ἀνθρώπων σπόρος, ὁ μέντοι εὐσεβείᾳ φυτοκομηθεὶς, τῶν θείων ταμιείων τῆς ἀποθέσεως ἀξιωθήσεται· ὁ δὲ ὑλομανήσας, καὶ οὐδὲν σιτῶδες καὶ τρόφιμον καὶ τοῦ θείου ἐπάξιον σπόρου ἀπενεγκάμενος, τῷ αἰωνίῳ πυρὶ ὑποβληθήσεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΜΔ΄

Περὶ ἑτέρου ἀγγέλου τρυγῶντος τὴν τῆς πικρίας ἄμπελον.

17 Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν
18 τῷ οὐρανῷ, ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ. Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου, ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρός· καὶ ἐφώνησεν ἐν κραυγῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξύ, λέγων· Πέμψόν σου τὸ δρέπανον τὸ ὀξύ, καὶ τρύγησον τοὺς βότρυας τῆς ἀμπέλου τῆς γῆς· ὅτι ἤκμασεν
19 ἡ σταφυλὴ τῆς γῆς (1). Καὶ ἐξέβαλεν ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν, καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς, καὶ ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ
20 τοῦ θεοῦ τὴν μεγάλην (2). Καὶ ἐπατήθη ἡ ληνὸς ἔξωθεν τῆς πόλεως, καὶ ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ ἄχρι τῶν χαλινῶν τῶν ἵππων, ἀπὸ σταδίων χιλίων ἑξακοσίων.

Οὐ μάτην τίθεται τὸ γνώρισμα τοῦ ἀποσταλέντος ἀγγέλου, ὡς ἀπὸ τοῦ οὐρανίου δηλαδὴ ναοῦ ἀπέσταλται, περὶ τοῦ πρὸ αὐτοῦ οὐδενὸς τοιούτου ἐπισημανθέντος, εἰ μὴ ὅτι μόνον ἀπὸ τοῦ ναοῦ ἀπεστάλη· ἐνταῦθα δὲ καὶ τοῦ τόπου παραληφθέντος, ἐν ᾧ ὁ ναός. Φαμὲν οὖν, ὡς, ἐπειδὴ διάφοροι λατρεῖαι τῷ παντοκράτορι θεῷ ὑπὸ τῶν ἀσωμάτων αὐτοῦ λειτουργῶν ἐκτελοῦνται· ὧν οἱ μὲν, τῶν κατὰ γῆν θυσιαστηρίων ἔφοροι ἐκληρώθησαν, ἀφ' οὗ θεοσέβεια τοῖς ἐπὶ γῆς κατηγγέλθη· ὃ δὴ ἀπὸ Ἀβραὰμ καὶ Μωϋσέως μέχρι τῆς Χριστοῦ παρουσίας, καὶ ἐπ' αὐτῆς παρατείνεται τῆς τοῦ παρόντος αἰῶνος συντελείας· εἰκότως ἐπ' ἐκείνου μὲν, οὐδενὸς τοιούτου γέγονε μνεία, εἰ μήτις καὶ ἐπ' ἐκείνου

(1) Παρ' ἄλλοις, ὅτι ἤκμασαν αἱ σταφυλαὶ αὐτῆς.
(2) Παρ' ἄλλοις, τὸν μέγαν, εἰς τὸν θυμὸν ἀναφερόμενον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γνώρισμα λογίζοιτο τὴν τοῦ ἀρνίου μνείαν, οὗ χάριν τῆς ἐπὶ γῆς παρουσίας καὶ χρηματισμὸς ἀγγέλων πρὸς ἀνθρώπους ὑπῆρξε, καὶ προκαταγγελία θεοφόρων ἀνδρῶν περὶ τῆς ἐπὶ γῆς ἐλεύσεως αὐτοῦ. Ὡς ἂν οὖν ἐκδηλότερον γένηται, ὡς οὐ μόνον ἐπὶ γῆς λατρεῖται, ἀλλὰ καὶ ἐν οὐρανῷ τῷ παντοκράτορι προσάγονται θεῷ, ἀναγκαίως ἐπὶ τούτου τοῦ ἀγγέλου καὶ τοῦ τόπου τῆς προεδρίας αὐτοῦ μνεία γέγονεν. Ὀξεῖ δὲ δρεπάνῳ καὶ τοῦτον καθοπλίσθαι λέγει, τὸ σύντομον τῆς ἐκβάσεως ἐπισημαίνων. *Ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρός.*] Τοῦτον ἐπὶ τῆς κολάσεως νόει τῶν ἀσεβῶν τετάχθαι. Ἐξ οὗ μανθάνομεν, ὅτι πᾶσι τοῖς κτίσμασιν ἀγγελικαὶ δυνάμεις ἐπισταποῦσιν, ὕδατι δηλαδὴ, καὶ ἀέρι, καὶ ἄλλοις τῆς κτίσεως μέρεσι· τοῦτον δὲ τοῦ τιμωρητικοῦ πυρὸς ἐπιστατοῦντα, καὶ τῶν ὑπερτέρων ἀγγέλων ὄντα· διὸ καὶ ἐγκελεύσασθαί φησι μετὰ κραυγῆς τῷ τὸ δρέπανον ἔχοντι. *Καὶ τρύγησον τοὺς βότρυας τῆς ἀμπέλου τῆς γῆς.*] *Ἡ τρύγησις τῶν σταφυλῶν*, τοὺς λίαν ἀνόμους αἰνίττεται, ἀφ' ὧν τὸ ἐν τῇ χειρὶ Κυρίου ποτήριον *μεθύσκεται*, τουτέστι, πληροῦται, οὐ πρὸς εὐφρόσυνον μέθην, ἀλλὰ πρὸς τιμωρίαν. Διὸ καὶ πίεσθαί φησι πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς (α). *Καὶ* ὅτι τοῦτο ἡ ὀπτασία διαζωγραφεῖν βούλεται, δῆλον ἐξ οὗ οὔτε ὁ κύριος αὐτὸς ἀξιοῖ τὴν συλλογὴν ποιήσασθαι, ὡς περὶ τῶν πρώτων· οὔτε τὸ μὲν, εἰς τὰς ἀποθήκας, τὸ δὲ, εἰς τὸ ἀτελεύτητον παρακέμπει πῦρ· ἀλλά τις τῶν ἀγγέλων, ὃς καὶ διὰ τὸ ὑπερβάλλον τῆς ἀσελγείας αὐτῶν *εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ θεοῦ* εὐθέως ἐμβάλλει, μηδὲ ἀπολογίας ἀξιῶν, *μηδὲ* ἐρωτήσεως. *Καὶ ἐξέβαλεν ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν.*] *Εἰς τὴν γῆν* τὸ δρέπανον βάλλεται, τὸ ὑπὸ τοῦ ἀγγέλου φερόμενον, τοῦτ' ἔστι τὸ τιμωρητικὸν θέρος ἐκείνων ποιῆσαι, τῶν περὶ γῆν εἰλυσσωμένων, ὅσα

(α) Ψαλμ. ΟΔ', 9. Ἱερ. ΚΗ', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ χοῖροι τὰ βορβορώδη ῥοφῶντες ἔργα. *Καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς.*] Ἀπεναντίας αὕτη ἡ ἄμπελος τῆς ἀπ' Αἰγύπτου παρὰ τῷ θεοπάτορι μετεωρουμένης (α). Ἐνταῦθα γὰρ *ἄμπελον*, τὴν κεχαρηκυῖαν τῇ δυσσεβείᾳ, καὶ τοὺς πρὸ αὐτῆς ἅπαντας καλύψασαν ἀσελγείᾳ, ἅτε καὶ τοὺς ὑπ' αὐτοῦ τοῦ υἱοῦ τῆς ἀπωλείας, τοῦ Ἀντιχρίστου, ἐκβακχευθέντας, ἀφειδῶς τρυγῆσαι κελεύεται ὁ ἄγγελος, καὶ ἀπότομος ἡ ἐπιχείρησις ὑπῆρξε. *Καὶ ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ θεοῦ.*] Ἀνθρωπινώτερον προβαίνει τῷ λόγῳ, τὸ ὑπερβάλλον πρὸς ἀσέλγειαν τοῦ κατ' ἐκεῖνο καιροῦ παραστῆσαι βουλόμενος· ἐπεί, τίς ἡ πίστις ἡ τὴν μακαρίαν καὶ ἀναλλοίωτον φύσιν πάθεσιν ἁλίσκεσθαι παραχωροῦσα; Τῷ δὲ *ἔξω τῆς πόλεως πατηθῆναι τοὺς βότρυας, πόλιν*, τὸ κατὰ τὸν ἐνεστῶτα βίον ἐμπορικὸν πολίτευμα καλεῖ· καὶ ἐπειδὴ μετὰ τὴν συντέλειαν τούτου, ἡ τῷ ὄντι ἀμοιβὴ τῶν πεπραγματευμένων ἀνθρώποις, εἰκότι λόγῳ *ἔξω τῆς πόλεως* εἴρηκε. Ἐκ δὲ τοῦ λέγειν, ὅτι *ἐκ τῆς ληνοῦ αἷμα* τῇ συμπατήσει τῶν βοτρύων ἀποῤῥεῖ, *βότρυας*, τοὺς ἁμαρτωλοὺς παραλείπεται νοεῖν. Διὸ καὶ *τὸ αἷμα*, εἰς τὰς πονηρὰς αὐτῶν πράξεις τροπολογεῖ, τῆς δικαίας ἐπ' αὐταῖς ἐκδικίας σαφοῦς ἅπασι γινομένης· καὶ οὕτω δικαίας, ὡς μηδὲ τοῖς ἄνωθεν εἰς ἐποψίαν ταχθεῖσιν ἀγγέλοις ὑπακοῦσαι, κωλύουσιν ὥς τισι χαλινοῖς, ταῖς ἑαυτῶν συνεργίαις τοὺς ἀνθρώπους ἀπὸ τῶν θεομισῶν πράξεων. Οἳ καὶ τοσοῦτον ἐξώστρησαν, ὡς μὴ μόνον τὰς φυσικὰς ἐπ' ἀγαθῶν κτήσει παρεσχημένας ὑπὸ τοῦ πλάστου ἐννοίας ἀτιμάσαι, ἀλλά γε δὴ καὶ τὰς ἀπὸ τῶν θείων ἀγγέλων. Τοιγαροῦν καὶ πρὸς τοὺς θείους συνεργοὺς τοῦ δυσηνίου ἐπιδεδειγμένου, ἐκ πολλοῦ νῦν τοῦ περιόντος κακοῦ πρόφαντος ἅπασιν ἡ τούτων ἐξ ἀπειθείας μάστιξ καθίσταται.

(α) Ψαλμ. ΟΘ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

Περὶ τῶν ἑπτὰ ἀγγέλων, τῶν ἐπαγόντων τοῖς ἀνθρώποις τὰς πληγὰς πρὸ τῆς συντελείας· καὶ περὶ τῆς ὑαλίνης θαλάσσης, ἐν ᾗ τοὺς ἁγίους ἐθεάσατο.

ΚΕΦ. XV, 1 Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυμαστὸν, ἀγγέλους ἑπτὰ, ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας· ὅτι ἐν αὐταῖς ἐτελέσθη ὁ 2 θυμὸς τοῦ θεοῦ. Καὶ εἶδον ὡς θάλασσαν ὑαλίνην μεμιγμένην πυρί· καὶ τοὺς νικῶντας ἐκ τοῦ θηρίου καὶ ἐκ τῆς εἰκόνος αὐτοῦ καὶ ἐκ τοῦ χαράγματος αὐτοῦ (1), ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ, ἑστῶτας ἐπὶ τὴν θάλασσαν τὴν ὑαλίνην, ἔχοντας τὰς (2) 3 κιθάρας τοῦ θεοῦ· καὶ ᾄδουσι τὴν ᾠδὴν Μωϋσέως δούλου τοῦ θεοῦ, καὶ τὴν ᾠδὴν τοῦ ἀρνίου, λέγοντες· Μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, Κύριε, ὁ θεὸς ὁ παντοκράτωρ· δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί 4 σου, ὁ βασιλεὺς τῶν ἐθνῶν (3)· τίς οὐ μὴ φοβηθῇ σε, Κύριε, καὶ δοξάσῃ τὸ ὄνομά σου; ὅτι μόνος ὅσιος (4)· ὅτι πάντα τὰ ἔθνη ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου· ὅτι τὰ δικαιώματά σου ἐφανερώθησαν.

Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυμαστόν.] Καὶ πῶς οὐ *μέγα*, τὴν παγκόσμιον σημαῖνον καθαίρεσιν; Πῶς δὲ οὐ *θαυμαστὸν*, ἀγγέλοις ἰσαρίθμοις τὸν ἐξ ἑβδομάδος ἡμερῶν ἐναρξάμενον συντελεῖσθαι κόσμον, καὶ εἰς τὸν αὐτὸν ἀριθμὸν ἀποτελευτᾷν τοῖς τε τὸ καθαίρειν λαχοῦσιν ἀγγέλοις καὶ εἰς τὸ καθαίρειν ἔχουσι πληγάς; Ἑπτὰ δὲ

(1) Παρ' ἄλλοις· λείπει τὸ, καὶ ἐκ τοῦ χαράγματος αὐτοῦ.
(2) Παρ' ἄλλοις χωρὶς τοῦ ἄρθρου, τάς. (3) Παρ' ἄλλοις, ἁγίων.
(4) Παρ' ἄλλοις, ἅγιος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἱ πληγαί, θάλασσα, ὕαλος, πῦρ, εἰκών, θηρίον, καὶ χάραγμα αὐτοῦ, καὶ ἀριθμὸς τοῦ ὀνόματος αὐτοῦ. Αὗται μέν αἱ πληγαί, δι' ὧν ἐτελέσθη ὁ θυμὸς τοῦ θεοῦ. *Ἔσχαται* δέ, ὡς τοῖς νικῶσιν αὐτὰς οὐκέτι περιλειπομένου ἑτέρου ἀγῶνος. Οὔτε γὰρ τὸ ἀστάθμητον τοῦ βίου τούτου, ὃ τοῖς πολλοῖς δι' ἀλμυρίαν ξηραίνειν οἶδε τὸ ἀναψύχον, πᾶν νενικηκότες τῇ καρτερίᾳ· οὔτε ταῖς εὐδοξίαις τοῦ κατὰ τὴν ὕαλον συντρίβεσθαι κεκληρωμένου κόσμου κατ' οὐδὲν κεχειρωμένοι· οὐχ οἱ τοῦ πυρὸς τὴν καυστικὴν δύναμιν, ἀλλὰ τὴν φωτιστικὴν πεπορισμένοι· οὐχ οἱ τὴν εἰκόνα τοῦ θηρίου, ἢ τὸ θηρίον αὐτό, ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ καταπαλαῖσαι δεδυστυχηκότες, ἀλλ' ἀνδρικῶς νενικηκότες· οὗτοι τηνικάδε ἑστῶτες ἐπὶ τὴν ὑαλίνην θάλασσαν, σύμβολον ἐπιφερόμενοι τῆς ἑαυτῶν ἐν τῷ βίῳ νεκρώσεως κατὰ τὸ ἀνενέργητον τῶν ἐν αὐτῷ ἡδέων, ᾄδουσιν ὅσα εἰκὸς τοὺς νενικηκότας τῶν τοιούτων ᾄδειν. *Ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας.*] Τὸ, ἑπτὰ, οὐκ ἐπ' αὐτοῦ τοῦ ἑβδομαδικοῦ ἀριθμοῦ ἀκουστέον, ἀλλ' ἐπὶ τοῦ, *πολλάς*. Τὰς πολλὰς οὖν κατὰ τῶν ἁμαρτωλῶν κολάσεις αἰνίττεται, δι' ὧν ὁ θυμὸς τοῦ θεοῦ πέρας λαμβάνει· αἵ τινες καὶ *ἔσχαται* ἐλέχθησαν. *Θυμὸν* δὲ ἀκούων *θεοῦ*, μὴ ὡς ἐμπαθοῦς ἄκουε τοῦ θείου· ἀλλ' ἐπεὶ οὐκ εἶχεν ἄλλως πως ὑποφῆναι τὴν ὑπεβολὴν τῶν κατὰ ἀσέλγειαν ἔργων τῶν ἁμαρτωλῶν, ἅτε καὶ τὴν ἀπαθῆ φύσιν οἷόν τε ὄντων κινεῖν, ἀνθρωπίνως ἐχρήσατο τῷ λόγῳ. *Ἡ ὑαλίνη* δὲ *θάλασσα*, οὐκ ἂν ἄλλο σημαίνειν δοκοῖ, ἢ τὸ πολὺ μέν, διὰ τοῦ, *θάλασσα*, διὰ δὲ τοῦ, *ὑαλίνη*, τὸ στιλπνόν τε καὶ καθαρὸν τοῦ βίου τῶν τῆς ἐκεῖ μακαριότητος ἠξιωμένων. *Ἔχοντας τὰς κιθάρας τοῦ θεοῦ· καὶ ᾄδουσι τὴν ᾠδὴν Μωϋσέως.*] Διὰ τοῦ εἰπεῖν, *τὰς κιθάρας*, τὴν τῶν ἐπὶ γῆς μελῶν αἰνίττεται νέκρωσιν. *Θεοῦ* δὲ αὐτὰς εἶναι λέγει· καθότι οὐδεὶς τῶν σπουδαίων ἀνθρώπων, τῆς θείας συμμαχίας χηρεύων, τοῦτο κατορθοῦται. *Τὴν δὲ ᾠδὴν Μωϋσέως δούλου τοῦ θεοῦ* ἐκείνην πάν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τως εἰκός ἐστι νοῆσαι, ἣν ᾖσεν ἐπὶ τῇ καταποντώσει Φαραὼ τῶν Αἰγυπτίων (α). Τῶν μὲν πρὸ νόμου καὶ ἐν τῷ νόμῳ νικηφόρων ἡ ᾠδὴ, ἐκ τῶν διὰ Μωϋσέως προστάγματι θεοῦ ἐνηργημένων νοεῖται, ὡς εἴρηται· ἡ δὲ τοῦ ἀρνίου ᾠδὴ τίς ἂν ἄλλη, εἰ μὴ ἡ ὑπ' αὐτοῦ τοῦ χρηματίζοντος συντεθειμένη; ἣν καὶ ᾄσουσιν οἱ ἀπὸ Χριστοῦ καὶ μετὰ Χριστὸν ὁσίως πολιτευσάμενοι ἀκατάπαυστον ἐν χάριτι τὸ μεγαλεῖον ἐξαγγέλλοντες τῷ ἀρνίῳ, ἤτοι τῷ Κυρίῳ Ἰησοῦ Χριστῷ, ᾧ κονομημένης σωτηρίως ἡμῖν τῆς παντοκρατορικῆς δικαίας καὶ ἀληθινῆς ὁδηγίας· ἥνπερ ὡς βασιλεὺς, βάσις ὢν ἐλέους, πρὸς τὸ ἑαυτοῦ πλάσμα διὰ τῶν αὐτοῦ ἀποστόλων εἰργάσατο.

5 Καὶ μετὰ ταῦτα εἶδον, καὶ ἠνοίγη ὁ ναὸς τῆς
6 σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ· καὶ ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι, οἱ ἔχοντες τὰς ἑπτὰ πληγάς· οἳ ἦσαν ἐνδεδυμένοι λίνον καθαρὸν, λαμπρὸν, καὶ
7 περιεζωσμένοι περὶ τὰ στήθη ζώνας χρυσᾶς. Καὶ ἓν ἐκ τῶν τεσσάρων ζώων ἔδωκε τοῖς ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς, γεμούσας τοῦ θυμοῦ τοῦ θεοῦ, τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
8 Καὶ ἐγεμίσθη ὁ ναὸς ἐκ τοῦ καπνοῦ ἐκ τῆς δόξης τοῦ θεοῦ, καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ· καὶ οὐδεὶς ἐδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν, ἄχρι τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἑπτὰ ἀγγέλων.

Σκηνὴν ἐνταῦθα, τὴν ἐν οὐρανοῖς λέγει· ἧς καθ' ὁμοίωσιν καὶ ὁ Μωϋσῆς πῆξαι τὴν σκηνὴν τὴν κάτω προστάσσεται. *Ὅρα γάρ*, φησι, *ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει* (β). Ἐκ ταύτου τοῦ ναοῦ ἀνοιχθέντος, ἐξελεύσεσθαί φησι τοὺς ἀγγέλους. Πρὸ γὰρ τῆς τοῦ Χριστοῦ συγκαταβατικῆς πρὸς ἡμᾶς παρουσίας, ἡ γνῶσις τῶν προκειμένων ἀσυμφανὴς καὶ ἀνεπινόητος ἀνθρώποις· διὸ καὶ πρὸς ἐναργεστέραν

(α) Ἐξοδ. Κεφ. ΙΕ'. (β) Ἐξοδ. ΚΕ', 40.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτων πίστιν, ἐν τῷ τοῦ Κυρίου πάθει καὶ τὸ τοῦ ἐπὶ γῆς ναοῦ καταπέτασμα διαῤῥήγνυται ἄνωθεν ἕως κάτω (α), οἱονεὶ τὰ ἀπὸ καταβολῆς κόσμου κρυφιότητι συνεπτυγμένα θεῖα μυστήρια, ἀπὸ τοῦδε ἐκφανῆ πᾶσι καὶ ἐνώπια κατέστη, οὐχ ἑνὶ ἔθνει θησαυριζόμενα, ἀλλὰ πᾶσιν ἔθνεσιν ἐκπομπευόμενα. *Μαρτυρίου δὲ σκηνὴ*, οὐ τῷ τυχόντι εἴρηται τρόπῳ, ἀλλ' ὅτι ἐκεῖθεν ὁ χρηματίζων θεὸς τοῖς κατὰ νόμον ἱερεῦσι διεστέλλετο τὰ ποιητέα καὶ μὴ, μετὰ ἀκριβοῦς καὶ ἀνυποστόλου παραγγελίας, οὐκ ἀπὸ τοῦ νομικοῦ μαρτυρίου, ἀλλ' ἀπὸ τοῦ ἀρχετύπου καὶ ἀνθρωπείου. *Οἳ ἦσαν ἐνδεδυμένοι λίνον καθαρόν.*] *Λίνον* φησὶν ἐνδεδύσθαι τοὺς ἁγίους, διὰ τὸ μηδὲν ζωώδες ἐπάγεσθαι αὐτοὺς εἰς προσπαθείας, αἳ τὸ λαμπρὸν τῆς ζωῆς πέφυκεν ἀμαυροῦν. Οἱ δὲ αὐτοὶ καὶ *περιεζωσμένοι ζώνας χρυσᾶς περὶ τὰ στήθη*, ἤτοι τὸ ἐπιθυμητικὸν τοῦ σώματος μέρος, περὶ ὃ ἡ τοῦ ἐπιθυμητικοῦ κατάρχουσα καρδία κατῴκισται· οὐκ ἄνετον τοῦτο δηλαδὴ ἔχοντες τὸ μέρος, καὶ μηδενὶ σωφροσύνης περισφιγγόμενον ζωστῆρι, ἀλλὰ σεμνῷ μάλα καὶ τιμίῳ ἀναστελλόμενον σφιγκτῆρι. Τοιοῦτο γὰρ καὶ ὁ *χρυσὸς*, τῶν κατὰ γῆν ὑλῶν τὸ περισπουδαστόν τε καὶ τιμαλφέστερον ἀνθρώποις. *Ἑπτὰ φιάλας χρυσᾶς, γεμούσας τοῦ θυμοῦ τοῦ θεοῦ.*] Καλῶς εἴρηκε, *χρυσᾶς φιάλας* τῆς τοῦ θεοῦ ὀργῆς ἐμπεπλῆσθαι· τιμία γὰρ ἡ ὀργή, τὸ ἀγαθὸν καὶ συμφέρον ἐν αὑτῇ φέρουσα μᾶλλον, ἢ τὸ δίκαιον, κἂν ἀνιῶνται οἱ κολαζόμενοι. Ὁ δὲ τοῦ θεοῦ θυμὸς οὐκ ἐμπαθὴς, ὥσπερ πολλαχῶς ἡμῖν εἴρηται· δίκαιος δὲ, ὅτι καὶ ἀπαθὴς ὁ ἀφ' οὗ ὅθεν καὶ ζῶν εἴρηται, πρὸς ἀντιδιαστολὴν τῶν παρὰ τοῖς ἔθνεσι νεκρῶν καὶ ἐμπαθῶν θεῶν. *Καὶ ἐγεμίσθη ὁ ναὸς ἐκ τοῦ καπνοῦ.*] Ὁ *καπνὸς* θείας ὀργῆς δεῖγμα, καθὸ καὶ τό· *Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ* (β), εἴρηται. Οὔτε γὰρ καπνὸς ἄνευ

(α) Ματθ. ΚΖ', 51. (β) Ψαλμ. ΙΖ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πυρὸς ὑφίσταται, οὔτε πῦρ καπνοῦ δίχα. Τὸ δὲ ἐκ τῆς δόξης τοῦ θεοῦ καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ γίνεσθαι τὸν καπνόν, περιφρόνησιν ἔχει τινά· οὐ γὰρ διαστολὴ θεοῦ καὶ τῆς δυνάμεως αὐτοῦ· αὐτοδύναμις γὰρ καὶ αὐτοδόξα ὁ θεός. Τὸ δὲ, *Οὐδεὶς ἐδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν*, ἢ κατὰ τὸ γεγραμμένον αὐτὸ νοητέον, ἵν' ᾖ· Ἐκτελούμενος οὐδεὶς ἐν ὑποστήματι Κυρίου· εἰ γὰρ τοῦτο, σχολῇ γ' ἂν ὑπενεγκοίη τὴν τούτου ὀργήν· ἢ τὸ μηδαμῶς τοὺς ἁγίους τῆς ἐν τῇ ἄνω Ἱερουσαλὴμ τυχεῖν λήξεως, καὶ τῆς ἐν τῷ ἐκεῖσε ναῷ ἱερουργίας, πρὶν ἢ λαβεῖν τοὺς ἀξίους τὰ διὰ μαρτυρίας ἐπίχειρα. Τὰς δὲ *ἑπτὰ πληγὰς* τοῖς ἐπὶ συντελείᾳ τοῦ κόσμου εὑρισκομένοις προσαρμόττων τις, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος.

ΚΕΦΑΛΑΙΟΝ Μς'.

Ὅπως, τῆς πρώτης φιάλης ἐκχυθείσης, ἕλκος κατὰ τῶν ἀποστατῶν γίνεται.

ΚΕΦ. XVI, 1 Καὶ ἤκουσα μεγάλης φωνῆς ἐκ τοῦ ναοῦ, λεγούσης τοῖς ἑπτὰ ἀγγέλοις· Ὑπάγετε, καὶ ἐκχέατε τὰς ἑπτὰ φιάλας τοῦ θυμοῦ τοῦ θεοῦ
2 εἰς τὴν γῆν. Καὶ ἀπῆλθεν ὁ πρῶτος, καὶ ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν γῆν· καὶ ἐγένετο ἕλκος κακὸν καὶ πονηρὸν ἐπὶ τοὺς ἀνθρώπους, τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου, καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ.

Μεγάλης φωνῆς, οὐ τῇ ἀπηχήσει· (τίς γὰρ καὶ αἴσθησις τοῖς οὐδὲν αἰσθητοῦ προσδεομένοις;) ἀλλὰ *μεγάλης*, τῇ ἀνυποίστῳ σχεδὸν ταλαιπωρίᾳ τῶν τιμωρουμένων. Τὸ δὲ *τὴν φωνὴν λέγειν*, ἀντὶ τοῦ, *σημαίνειν*, εἴρηται. *Ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν γῆν.*] *Φιάλην* ἐνταῦθα, καθάπερ καὶ ποτήριον, τὴν

κολαστικὴν ἐνέργειαν ἐκληπτέον· ἧς ἐκχεθείσης, *ἕλκος* φησὶ *πονηρὸν* συμβῆναι, *ἕλκος*, τὴν ἐν καρδίᾳ πόου δίκην σφύζουσαν ὀδύνην ἀλληγορῶν. *Ἐπὶ τὴν γῆν* δὲ λέγει *χεθῆναι*, *γῆν*, τοὺς τῇ ματαιότητι τῶν γηΐνων περισπωμένους ἀποκαλῶν. Διὸ καὶ ἐπιφέρει πρὸς σαφήνειαν, τὸ, *ἐπὶ τοὺς πονηροὺς ἀνθρώπους*. *Πονηροὶ* δὲ τίνες ἂν εἶεν, ἢ οἱ τὸ *χάραγμα* ἐπιφερόμενοι τοῦ *θηρίου*, ἐκ τοῦ ἀποστῆναι μὲν ἀπὸ θεοῦ ζῶντος, τῷ Ἀντιχρίστῳ δὲ προσρυῆναι; *Εἰκόνα* δὲ τοῦ *θηρίου*, τουτέστι τοῦ διαβόλου, τὸν Ἀντίχριστον λέγει.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

Πληγὴ δευτέρα κατὰ τῶν ἐν θαλάσσῃ ἐπιτιμωμένων.

3 Καὶ ὁ δεύτερος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν· καὶ ἐγένετο αἷμα ὡς νεκροῦ· καὶ πᾶσα ψυχὴ ζῶσα ἀπέθανεν ἐν τῇ θαλάσσῃ.

Θ*άλασσαν*, εἴτε τὸ ἀστάθμητον τοῦ παρόντος αἰῶνος ἐκδέχεσθαι βούλεται, καθ' ὃ τὸ τηνικαῦτα ἔθνους ἐπ' ἔθνος πολεμίως ἐγειρομένου· ὅθεν καὶ εἰ ναυμαχίαις ἡ θάλασσα, καὶ ἡ γῆ καὶ οἱ ποταμοὶ τῶν ἀποκτεινομένων φοινίσσονται αἵμασιν, οὐδὲν ἀπεικός· εἴτε καὶ θείᾳ δυνάμει, πρὸς ἔλεγχον τῆς τοῦ ψευδοχρίστου ἀσθενείας καὶ τῆς τῶν ἀπατωμένων τότε εὐκολίας, ὑπὸ τῶν ἁγίων προφητῶν Ἐνὼχ καὶ Ἠλίᾳ ἡ μεταβολὴ γένοιτο τῶν ὑδάτων εἰς αἷμα, ὡς καὶ ἐν Αἰγύπτῳ ὑπὸ Μωϋσέως οἱ ποταμοὶ (α)· (ὃ καὶ μᾶλλον τυχεῖν ἡ ἐπιφορὰ τοῦ ῥητοῦ δίδωσιν, *αἷμα*, φάσκοντος, οὐχὶ, νεκροῦ, ἀλλ', *ὡς νεκροῦ*, τοῦ,

(α) Ἐξοδ. Ζ', 19. 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς, μορίου οὐκ ἐνέργειαν, ἀλλ' ὁμοιότητα ὡς ἐπίπαν παριστῶντος·) οὐκ ἀποτυχόντως ἂν εἴη τοῦ σκοποῦ· *νεκροῦ* δὲ, τοῦ ἐσφαγμένου.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

Ὅπως διὰ τῆς τρίτης οἱ ποταμοὶ εἰς αἷμα μετακιρνῶνται.

4 Καὶ ὁ τρίτος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς καὶ εἰς τὰς πηγὰς τῶν ὑδάτων·
5 καὶ ἐγένετο αἷμα. Καὶ ἤκουσα τοῦ ἀγγέλου τῶν ὑδάτων, λέγοντος· Δίκαιος εἶ, ὁ ὢν, καὶ ὁ ἦν, ὁ
6 ὅσιος, ὅτι ταῦτα ἔκρινας· ὅτι αἷμα ἁγίων καὶ προφητῶν ἐξέχεαν, καὶ αἷμα αὐτοῖς ἔδωκας πιεῖν·
7 ἄξιοί εἰσι (1). Καὶ ἤκουσα ἄλλου ἐκ τοῦ θυσιαστηρίου, λέγοντος· Ναί, Κύριε, ὁ θεὸς ὁ παντοκράτωρ, ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου.

Κἀντεῦθεν δείκνυται, τοῖς στοιχείοις ἐπιτετάχθαι ἀγγέλους, ὡς καὶ ἀνωτέρω εἴρηται· ὧν ἕνα ὄντα καὶ τὸν ἐπὶ τῶν ὑδάτων, ὑμνεῖν φησὶ τὸν θεὸν ἐπὶ τῇ κατ' ἀξίαν ἐπενεχθείσῃ καταδίκῃ τῶν παραβεβηκότων· οἳ τὰς χεῖρας τοῖς αἵμασιν ἐμόλυναν τῶν ἁγίων· καὶ πρὶν μὲν, μάλιστα δὲ τὸ τηνικαῦτα ἐν τῷ τοῦ Ἀντιχρίστου καιρῷ· ἀνθ' ὧν τῇ τῶν αἱμάτων διαφόρῳ δίψῃ τοὺς τολμῶντας ἐκάλεσε. Διαφθαρέντων γὰρ τῶν ποταμῶν καὶ τῶν συστημάτων τῶν πηγαίων ὑδάτων, πόθεν ἂν ἄλλοθεν τὴν δίψαν ἀκέσαιντο; *Καὶ ἤκουσα τοῦ ἀγγέλου τῶν ὑδάτων.*] Οὐ μόνον ἔφοροι τῶν ἐθνῶν κατὰ τὸν νομοθέτην Μωϋσῆν (α) αἱ θεῖαι δυνάμεις, ἀλλὰ καὶ τῶν κοσμικῶν στοιχείων, ὥσπερ ἡμῖν ἡ θεόθεν αὕτη ἀποκάλυψις εἰσηγεῖται. Ἃ δὲ ἔλεγεν ὁ ἐπὶ

(1) Παρ' ἄλλοις, ἄξιοι γάρ εἰσι (α) Δευτ. ΔΒ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ὑδάτων ἄγγελος, τούτων τὸ μὲν, *δίκαιος*, τὸ πρὸς ἀξίαν βραβεύειν δηλοῖ· τὸ δὲ, *ὢν*, τὸ ἀτελεύτητον· τὸ δὲ, *ἦν*, τὸ ἄναρχον· τὸ δὲ, *ὅσιος*, τὸν ἐπεξηρημένον πάσης προσπαθείας θνητῆς· διὸ καὶ ταῦτα ἔκρινεν, ἵνα οἱ ἐκχέαντες αἵματα ἁγίων αἷμα πίωσιν· *ἁγίων* δὲ, τῶν ὑπὸ τῶν ὑπασπιστῶν τοῦ Ἀντιχρίστου κεκακωμένων· *προφητῶν* δὲ, Ἐνὼχ καὶ Ἠλία· ἐπεὶ καὶ αὐτοὺς ἀποκτενοῦσι. Πῶς δὲ αἷμα πίωσιν; Ἐξ ἀναγκαίου γὰρ οἱ ἐν πολέμοις παρὰ ποταμοὺς ἐστρατοπεδευκότες, μεμολυσμένον πολλάκις αἵματι ἐκ τῆς τῶν θνησκόντων ἀναιρέσεως ὕδωρ πίνουσι. *Καὶ ἤκουσα ἄλλου ἐκ τοῦ θυσιαστηρίου.*] Σύμφωνος τῷ ἀγγέλῳ τῷ ἐπὶ τῶν ὑδάτων, ὁ ἐπὶ τοῦ θυσιαστηρίου. Τοῦτον δὲ ἔστι μὲν νοεῖν καὶ αὐτὸν τὸν Χριστὸν, ὡς καὶ ἐν αὐτῷ καὶ δι' αὐτοῦ προσφερομένων τῷ θεῷ καὶ πατρὶ τῶν λογικῶν ὁλοκαρπώσεων, καὶ τῶν ζωσῶν θυσιῶν, ἃς προσφέρειν ἐκ τοῦ ἀποστόλου ἐμάθομεν (α). Ἔνι δὲ νοεῖν καὶ τὰς ἀγγελικὰς δυνάμεις, ὡς ἀναγωγικὰς τῶν ἡμετέρων προσευχῶν καὶ τῶν πνευματικῶν ὁλοκαρπώσεων· ἃς καὶ *εἰς διακονίαν ἀποστελλομένας διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν* ἠκούσαμεν (β). Εἰρῆσθαι δὲ *θυσιαστήριον* ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον συνεκδοχικῷ τῷ τρόπῳ. Ἐκ τούτου τοίνυν τοῦ λογικοῦ καὶ λειτουργικοῦ θυσιαστηρίου τὴν φωνὴν φησιν ἐνεχθῆναι, δικαιοῦσαν τὰ πάντα νοῦν καὶ λόγον ὑπερβαίνοντα τοῦ θεοῦ κρίματα.

ΚΕΦΑΛΑΙΟΝ ΜΘ'.

Ὅπως διὰ τῆς τετάρτης καυματίζονται οἱ ἄνθρωποι.

(α) Ῥωμ. ΙΒ', 1. (β) Ἑβρ. Α', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

8 Καὶ ὁ τέταρτος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν
ἥλιον· καὶ ἐδόθη αὐτῷ καυματίσαι ἐν πυρὶ τοὺς ἀν-
9 θρώπους. Καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα
μέγα, καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸ ὄνομα
τοῦ θεοῦ, τοῦ ἔχοντος ἐξουσίαν ἐπὶ τὰς πληγὰς
ταύτας· καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν.

Ταῦτα ὁποτέρως ἄν τις ἐκλάβοι, ἀλληγορίας λόγοις, φημὶ, ἢ καὶ ἐνεργείᾳ πραγμάτων, οὐκ ἂν ἔξω τοῦ εἰκότος ἀπενεχθείη. Εἴτε γὰρ *ἥλιον*, τὸν τῆς ἡμέρας οἰηθείη ἂν δρόμον, καθ' ὃν ἑκάστοτε τὰ δυσχερῆ καὶ κατάγχοντα τοὺς ἀσελγαίνοντας πρὸς ἐπιστροφὴν καταλήψεται· ἢ καὶ αὐτὸν τὸν ἥλιον, αὐχμῷ καὶ συνοχῇ καὶ ἀπορίᾳ τῶν χαλεπῶν τῶν κατὰ πόλεμον, τῷ παρ' αὐτοῦ φλογμῷ δραστικώτερον καυματίσαντα· ὅτι καὶ αὐτὸς μαστίζει, ἐπιστροφὴν αὐτοῖς μνώμενος· οὐδὲν διοίσει ἀφ' ἑκατέρας ἐκδοχῆς πρὸς ἓν καὶ τὸ αὐτὸ κατάλυμα τῆς ἐννοίας αὐλίζεσθαι. *Τοῦ ἔχοντος ἐξουσίαν ἐπὶ τὰς πληγὰς ταύτας.*] *Ἐξουσίαν*, τὴν τοῦ Κυρίου καλεῖ παρουσίαν· ὃς ἐπὶ τοῦτο τὴν δευτέραν αὐτοῦ παρουσίαν ποιεῖται, πρὸς τὸ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Ν'.

Ὅπως διὰ τῆς πέμπτης ἡ βασιλεία τοῦ θηρίου σκοτίζεται.

10 Καὶ ὁ πέμπτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ
ἐπὶ τὸν θρόνον τοῦ θηρίου· καὶ ἐγένετο ἡ βασιλεία
αὐτοῦ ἐσκοτωμένη· καὶ ἐμασσῶντο τὰς γλώσσας
11 αὐτῶν ἐκ τοῦ πόνου· καὶ ἐβλασφήμησαν τὸν θεὸν
τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν καὶ ἐκ τῶν ἑλκῶν
αὐτῶν· καὶ οὐ μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν.

Φιάλην, τὴν ὀργὴν καλεῖ· εἰώθαμεν γὰρ ἐν τοῖς συμποσίοις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φιάλαις δεξιοῦσθαι ἀλλήλους, τῷ ἐν αὐταῖς τεθησαυρισμένῳ οἴνῳ τὴν εὐωχίαν κρατύνοντες· οὗ ἀπεναντίας ἡ παρ' αὐτοῦ ἐκχεθεῖσα φιάλη προξενεῖ· (θυμοῦ γὰρ πλῆρες θεοῦ τὸ ἐκ θεοῦ ποτήριον·) ἐπὶ τὴν βασιλείαν τοῦ θηρίου· *θρόνον* γὰρ τὴν βασιλείαν φησί· θηρίον δὲ, τὸν Ἀντίχριστον. *Ἐσκοτωμένην* δὲ τὴν βασιλείαν αὐτοῦ φησιν, ἣν ἡ τῆς φιάλης ἔκχυσις ἐποίησε, τῇ ὑπερβολῇ τῆς ὀδύνης. Δύναιο δ' ἂν καὶ *βασιλείαν* νοῆσαι, τοὺς ὑπὸ τὴν βασιλείαν τοῦ Ἀντιχρίστου τεταγμένους. *Καὶ ἐμασσῶντο τὰς γλώσσας αὐτῶν ἐκ τοῦ πόνου.*] Ἡ τῶν γλωσσῶν μάσσησις, τὴν ὑπερβολὴν τῆς ὀδύνης δηλοῖ, ᾗ οἱ πλανηθέντες ὑπ' αὐτοῦ κατασχεθήσονται, ὑπὸ τῶν θεηλάτων πληγῶν μαστιζόμενοι· ὅπως ἂν, γνόντες, ὅτι ἀπατηλός ἐστιν ὁ παρ' αὐτῶν ὡς θεὸς δοξαζόμενος, τῆς πλάνης παύσωνται· οἱ δὲ οὐδὲ ἐντεῦθεν πρὸς μετάνοιαν, ἀλλὰ πρὸς βλασφημίαν μᾶλλον τραπήσονται.

ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

Ὅπως διὰ τῆς ἕκτης ἡ ὁδὸς διὰ τοῦ Εὐφράτου τοῖς ἀπὸ ἀνατολῶν ἡλίου βασιλεῦσιν ἀνοίγεται.

12 Καὶ ὁ ἕκτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ποταμὸν τὸν μέγαν Εὐφράτην· καὶ ἐξηράνθη τὸ ὕδωρ αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων
13 τῶν ἀπὸ ἀνατολῆς ἡλίου. Καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δράκοντος καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου καὶ ἐκ τοῦ στόματος τοῦ ψευδοπροφήτου πνεύματα ἀκάθαρτα τρία ὡς βατράχους (1)·

Ὀλιγωθῆναι φησὶ τὸν Εὐφράτην ποταμὸν, πρὸς πάροδον τῶν

(1) Παρ' ἄλλοις, ὡς βάτραχοι, καὶ κοινῶς, ὅμοια βατράχοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βασιλέων τῆς γῆς εἰς τὸν κατ' ἀλλήλων πόλεμον. *Ἐγερθήσεται γάρ*, φησιν ὁ Κύριος ἐν εὐαγγελίοις, *ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν* (α). Τούτους δὲ ἐκ τῶν Σκυθικῶν μερῶν εἶναι τοῦ Γὼγ καὶ Μαγὼγ εἰκός. Οὐκ ἀπογνωσέον δὲ καὶ τὸ τὸν Ἀντίχριστον ἐκ τῶν ἀνατολικῶν μερῶν τῆς Περσίδος, ἔνθα ἡ φυλὴ τοῦ Δὰν, ἐκ ῥίζης Ἑβραίων, ὁρμώμενον, ἅμα ἑτέροις βατιλεῦσιν ἢ μεγιστᾶσιν (ἐπεὶ καὶ κατὰ τούτων τὸ βασιλικὸν ἔσθ' ὅτε τάττεται ὄνομα, ὡς ἐν τῷ· *Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς* (β), οὐκ ὄντος μέντοι βασιλέως τοῦ Πιλάτου) περαιοῦσθαι τὸν Εὐφράτην, ἢ ψυχικὸν ἢ σωματικὸν ἐπάζοντας τοῖς ἀνθρώποις θάνατον· *ψυχικὸν* μὲν, διὰ τὸ ἐνεργείᾳ δαιμόνων καὶ παραχωρήσει θεοῦ τὰ τοιαῦτα συμβαίνειν· μᾶλλον δὲ καὶ αὐτοῦ τοῦ θεοῦ ἐξάγοντος αὐτοὺς, εἰς δοκίμιον τῶν ἑαυτοῦ θεραπόντων· οὐχ ὡς ἀγνοοῦντος, ἀλλ' εἰς φανέρωσιν τοῖς ἄλλοις τῶν αὐτῷ προσανεχόντων, ἢ *μὴ σωματικὸν* δὲ, τῶν ἐκ γῆς ζώντων ἀξίων διαλελοιπέναι, ὡς μὴ καὶ αὐτὴν τοῖς μιαροῖς αὐτῶν ἔργοις ἐξαχρειοῦν, ἔργον οὖσαν ἀγαθοῦ ποιητοῦ καὶ χωρίον ἀνεπηρέαστον τοῖς ἐναμίλλως τοῦ πεποιηκότος διοῦν ἡτοιμασμένοις. *Καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δράκοντος, καὶ ἐξῆς, πνεύματα ἀκάθαρτα τρία.*] Προσυπακουστέον τὸ, *ἐξιόντα*, ἵν' ᾖ· *Καὶ εἶδον ἐκ τοῦ στόματος τῶν τριῶν ἐξιόντα πνεύματα ἀκάθαρτα τρία, ὡς βατράχους.* Ἐκ τούτων δείκνυται, τὸν μὲν διάβολον, ὡς δράκοντα ἐν τῷ ἰδίῳ προσώπῳ δείκνυσθαι· τὸν δὲ Ἀντίχριστον, ὡς θηρίον· τὸν δὲ ψευδοπροφήτην, ὡς ἕτερον παρὰ τὸν Ἀντίχριστον. Καὶ *δράκοντα* μὲν, τὸν διάβολον διὰ τὸ κεχρῆσθαι σκολιοῖς τοῖς κινήμασι· *θηρίον* δὲ, τὸν Ἀντίχριστον· οὐ γὰρ ἀνθρωπίνως τὴν ἀνθρωπείαν ἡδὺς πρόεισι φύσιν, θηριωδῶς δὲ· τὸν *ψευδοπροφήτην* δὲ, αὐτὸ τοῦτο, ὅπερ ἐστι, *ψεύδεα*, κατὰ

(α) Ματθ. ΚΔ', 7. (β) Ψαλμ. Β', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν ποιητὴν εἰπεῖν, *εἰδότα, ἐτύμοισιν ὁμοῖα*.— Ἐξ ἑκάστου τούτων τῶν στομάτων, ἰσάριθμά φησιν ἀποβλύζεσθαι ἀκάθαρτα πνεύματα, *βατράχοις ὅμοια, ἀλλ' οὐ βατράχους*· πρῶτον, ὡς τῆς τραχείας τούτων βοῆς οὐ πρόστινα εἰς θεὸν ὕμνον αἴσης οὔσης παραλαμβάνεσθαι, ἀλλὰ ταραχὰς καὶ θορύβους προσποριζούσης, ὡς ἔθος, ἀεὶ τῶν δαιμονίων καὶ τῶν ἁμαρτωλῶν τῷ βορβορώδει βίῳ ἐμφιλοχωρούντων· ὥσπερ, ἀπ' ἐναντίας, τῶν θεῷ φίλων, τῷ κλήρῳ χαιρόντων καὶ τῷ καρτερικῷ τῆς ψυχῆς, ὕμνοις καὶ ᾠδαῖς καὶ ἐξομολογήσεσι μεγαλύνειν τὸν θεόν. Τῷ τριαδικῷ δὲ ἀριθμῷ εἰσὶ καὶ οἱ φθορεῖς, καὶ τὰ ἀπὸ τῶν στομάτων αὐτῶν ἐξοχετευόμενα δαιμόνια, ἵνα τῷ ἀριθμῷ τούτῳ ἀπατῶσι, ὡς τῇ πανυμνήτῳ ἁγίᾳ Τριάδι εὐαρεστεῖσθαι.

14 Εἰσὶ γὰρ πνεύματα δαιμονίων ποιοῦντα σημεῖα, ἃ ἐκπορεύεται ἐπὶ τοὺς βασιλεῖς τῆς οἰκουμένης ὅλης, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον τῆς
15 ἡμέρας ἐκείνης τῆς μεγάλης τοῦ θεοῦ τοῦ παντο-
κράτορος. (Ἰδοὺ, ἔρχομαι ὡς κλέπτης· μακάριος ὁ γρηγορῶν, καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, ἵνα μὴ γυμνὸς περιπατῇ, καὶ βλέπωσι τὴν ἀσχημοσύνην
16 αὐτοῦ.) Καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν τόπον, τὸν καλούμενον Ἑβραϊστὶ Ἁρμαγεδδών.

Ἐκπορεύεται πρὸς τὸ κατ' ἀλλήλων συγκροτῆσαι πόλεμον. Τὰ δὲ διὰ τῶν δαιμόνων, φησὶν, ἐνεργούμενα σημεῖα, τοῦ εἰς οἶστρον πολεμικὸν ἐμβάλλειν τοὺς βασιλεῖς, τὸν σκοπὸν ἐμφαίνει τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης, ἥτις οὐκ ἄλλη, ἢ ἡ δευτέρα τοῦ Κυρίου παρουσία. Καὶ πῶς οὐ *μεγάλη*, ἡ τὰ ἑκάστῳ πεπραγμένα ἐκπέμπουσα εἰς φῶς; Οὐ πρὸς τὴν ἡμέραν δὲ ὁ πόλεμος· (τίς γὰρ πόλεμος ἀνθρώποις πρὸς ἡλιακοῦ δρόμου ἐπισασίαν;) ἀλλὰ πρὸς τούτους, οἳ τῆς ἡμέρας ταύτης τῷ φόβῳ δικαίως συγκροτούμενοι, τῆς τοῦ θεοῦ μοίρας γεγόνασιν· ἐξ οὗ καὶ ἱμάτια σωτηρίας ἐνεδύσαντο, καὶ χιτῶνα εὐφροσύνης (α),

(α) Ἡσ. ΞΑ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄτινα οὐκ ἄλλο ἢ αἱ θεοπρεπεῖς ἀρεταὶ, τῇ ἐκφανεῖ περιλάμψει τὸν ἐκτὸς κατευφραίνουσαι ἄνθρωπον. *Μακάριος ὁ γρηγορῶν, καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ.*] Ἐπέμεινε τῇ τροπῇ τοῦ κλέπτου· διὸ καὶ ἐγρήγορσιν καὶ φυλακὴν εἴρηκε γίνεσθαι τῶν ἱματίων, ὅπως μὴ ἀπόλωνται διὰ κενοδοξίας· *ἱμάτια* γὰρ τὰς ἀρετὰς καλεῖ· ἵνα μὴ τῇ τούτων ἀποβολῇ γυμνοὶ εὑρεθέντες ἢ καὶ ῥυπῶντες, ἀνάξιοι κριθῶμεν τοῦ θείου γάμου (α). *Καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν τόπον.*] Τὰ πονηρὰ λέγει πνεύματα ἔν τινι τόπῳ συμφορῆσαι τοὺς τηνικάδε ὑπ' αὐτῶν ἀπατηθέντας· *τόπον* γὰρ νῦν, τὸν καιρὸν ἀκουστέον. Τῷ καιρῷ τοίνυν τούτῳ οἱ ὑπὸ τῶν πονηρῶν πνευμάτων ἀπατηθέντες καταλαμβανόμενοι, τεύξονται διακοπῆς· τοῦτο γὰρ ἡ Ἑβραϊκὴ λέξις *Ἀρμαγεδδὼν* εἰς τὴν Ἑλλάδα διαπορθμευομένη νοεῖν παρέχει. Καὶ τίς ἡ διακοπή; Ἡ τοῦ θείου διαίρεσις χαρίσματος, ὅπερ ἀνθρώπῳ παντὶ, παρὰ πᾶσαν τὴν παροῦσαν ζωὴν ἀναποβλήτως συμπαρεδρεῦον, ἐπίῤῥωσιν παρέχει ταῖς πρὸς τὰ κρείττω ἡμῶν ἀπονεύσεσιν· ἐπειδὰν δὲ ἡ ἀπὸ τῶν ἐνθένδε μετάβασις ἐπὶ τὰ ὄντως ἀληθῆ καὶ αἰώνια ἐπιστῇ, κατὰ τὸν τοῦ θανάτου καιρὸν, ἐν οἷς ἀργὸν τὸ θεῖον χάρισμα εὑρεθῇ, ἀφαιρεῖται τὸ ἀπὸ τοῦδε ἀφ' οὗ λαβεῖν ἀξιωθέντος, νωθεία ἐργασίας τὴν ἀφαίρεσιν προεξέννησε, καὶ κατὰ τὴν εὐαγγελικὴν ἀποτομίαν, τὸ μέρος τοῦ καταδίκου μετὰ τῶν ὑποκριτῶν τίθεται (β).

ΚΕΦΑΛΑΙΟΝ ΝΒ'.

Ὅπως διὰ τῆς ἑβδόμης χάλαζα καὶ σεισμὸς κατὰ τῶν ἀνθρώπων γίνεται.

17 Καὶ ὁ ἕβδομος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ

(α) Ματθ. ΚΒ', 11.
(β) Ματθ. ΚΔ', 51.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπὶ τὸν ἀέρα· καὶ ἐξῆλθε φωνὴ μεγάλη ἀπὸ τοῦ ναοῦ τοῦ οὐρανοῦ, ἀπὸ τοῦ θρόνου, λέγουσα· Γέ-
18 γονε. Καὶ ἐγένοντο ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναί, καὶ σεισμὸς μέγας, οἷος οὐκ ἐγένετο ἀφ' οὗ οἱ ἄνθρωποι ἐγένοντο ἐπὶ τῆς γῆς, τηλικοῦτος σεισμὸς
19 οὕτω μέγας. Καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν ἐθνῶν ἔπεσον·

Ἐπὶ τὸν ἀέρα οὗτος ἐξέχει τὴν φιάλην, ὡς πάσης λοιμώδους διαφθορᾶς ἐκ τοῦ ἀέρος ὑφισταμένης, καὶ ἐν τούτῳ ἀστραπῶν σελαγιζομένων, καὶ βροντῶν ἀπηχουμένων. *Ἀπὸ τοῦ οὐρανίου* δὲ *ναοῦ* ἡ φωνὴ γέγονε, τουτέστιν, ἀπὸ τῶν θειοτέρως μυσταγωγουμένων, ὧν οὐκ ἄλλος κατάρχει, ἢ μόνος ὁ ὑπερουσίως ἁπάντων ὑπερκείμενος γενετάρχης θεός· τοῦτο γὰρ ὁ *θρόνος* βούλεται παριστᾶν. *Καὶ ἐγένοντο ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναὶ, καὶ σεισμός.*] Ἀστραπαὶ καὶ *βρονταὶ*, ἀπ' οὐρανοῦ· *φωναὶ* δὲ, ἀπὸ τῶν ἐπὶ γῆς, ἀπὸ τοῦ δέους καταπληκτικῶν γινομένων· *σεισμὸς* δὲ, κλόνος τῆς γῆς· ἐπεὶ καὶ τοῦτο ἐν τοῖς σημείοις τοῦ τέλους περιέχεται. Ἢ *σεισμὸν* λέγει τὴν μεταποίησιν καὶ μεταβολὴν τῶν φθαρτῶν ἐπὶ τὸ ἄφθαρτον, ὃ ἔσται ἀπὸ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας. *Οἷος οὐκ ἐγένετο.*] Οὐδέπω γὰρ τοιαύτη μεταλλαγὴ γέγονε φθαρτοῦ κόσμου ἐπὶ τὸ ἄφθαρτον καὶ διαιωνίζον. *Καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη.*] Περὶ τῆς Ἱερουσαλὴμ εἰρῆσθαι τινὲς ἐξεδέξαντο ταῦτα, οὐχ οὕτω πλήθει ἀνθρώπων καὶ κτισμάτων μεγαλοπρεπῶν τῷ μεγαλείῳ αὐχούσης, ὡς τοῖς Χριστοῦ πάθεσι καὶ τῇ κατὰ Χριστὸν ἐπιδημίᾳ· δι' ἃ καὶ ἀντιδιαστέλλεται τῶν λοιπῶν πόλεων, ἃς καὶ *ἐθνικὰς* τῇ Γραφῇ ἔθος καλεῖν· τοῦ γὰρ Ἰσραὴλ χωρὶς, τοὺς ἄλλους ἀνθρώπους *ἔθνη* εἴωθε προσαγορεύειν. Ταύτης δὲ ἡ εἰς τρία μέρη διαίρεσις, τὸ τῶν ἐν αὐτῇ κατοικούντων διάφορον σημαίνειν βούλεται, Χριστιανῶν δηλαδὴ, Ἰουδαίων, Σαμαρειτῶν. Οὐκ ἄκαιρον δὲ *πόλιν μεγάλην*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τὸν παρόντα κόσμον ὑπολαμβάνειν, εἰς τρία μέρη ἀφοριζόμενον ἀπὸ τῆς Χριστοῦ παρουσίας, εἰς τὸν τῆς Ἑλληνικῆς ἐπικρατείας καιρὸν, εἰς τὸν τῆς ὑπὸ χριστιανῶν βασιλέων ἐξουσίας, καὶ εἰς τὸν τῆς ἐπιδημίας ὑπὸ τοῦ Ἀντιχρίστου. *Πόλεις δὲ τῶν ἐθνῶν* αἱ πίπτουσαι, ἤτοι αἱ διάφοροι περὶ τὴν εὐσεβῆ πίστιν ὑπολήψεις, τῇ διαφωνίᾳ τὸ εὔπτωτον κληρούμεναι, ἢ καὶ αὐταὶ αἱ πόλεις.

19 Καὶ Βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ θεοῦ,
δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς
20 ὀργῆς αὐτοῦ· καὶ πᾶσα νῆσος ἔφυγε, καὶ ὄρη οὐχ
21 εὑρέθησαν· καὶ χάλαζα μεγάλη ὡς ταλαντιαία κα-
ταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώπους· καὶ
ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν θεὸν ἐκ τῆς πλη-
γῆς τῆς χαλάζης· ὅτι μεγάλη ἐστὶν ἡ πληγὴ αὐ-
τῆς σφόδρα.

Βαβυλῶνα, οὐ τὴν Ῥώμην λέγει τὴν παλαιὰν διὰ τὸ ἐν αὐτῇ κατὰ τοὺς Ἑλληνικοὺς χρόνους πολλοὺς τῶν ἁγίων μαρτύρων παθεῖν τὰ ἀνήκεστα· οὐ τὸν ἅπαντα κόσμον, κἂν ἔχῃ τινὰ ἀποδοχὴν οὗτος ὁ λόγος· εἰρῆσθαι γὰρ αὐτὸν *Βαβυλῶνα* καὶ *μεγάλην*, ἅτε ἐκ τῶν τοῦ βίου εἰκαίων περισπασμῶν τὸ μεγαλεῖον ἐσχηκότα· εἰ γὰρ ὁ κόσμος διὰ τῆς Βαβυλῶνος ὑπεσημάνθη, τίς ἡ διαστολὴ τῶν νήσων ἀπὸ τοῦ κόσμου, μέρος οὐσῶν τοῦ κόσμου καὶ αὐτῶν; Λείπεται οὖν ἑτέρῳ ὑπονοεῖν Βαβυλῶνα εἰκότι λόγῳ. Καὶ τίς αὕτη; Οὐκ ἄλλη, ἢ ἡ Κωνσταντίνου· ἐν ᾗ πάλαι δικαιοσύνη ἐκοσμήθη, νῦν δὲ ἐν αὐτῇ φονεύεται ἐκ παραλλήλου ἀμίλλης, τῶν πολιτικῶν τοῖς ἐκκλησιαστικοῖς ἐξισωθῆναι σπευδόντων, μᾶλλον δὲ οὐκ ἰσωθῆναι, εἰ μήτις ἐξ αὐτῶν ἄρῃ τὸ ἀριστεῖον εἰς μείζονα θείου θυμοῦ ἄναψιν· διὸ καὶ ἡ ἀπαθὴς φύσις παθαίνεσθαι ὑπωπτεύθη, ὡς καὶ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τῇ Βαβυλῶνι δοθῆναι. Τίνες δὲ καὶ *αἱ νῆσοι*, τοῦ θείου ἐν λόγοις [τοῦ Γρη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γορίου] ἀκούειν ἐστὶ, τὰς ἀπὸ τῶν ἐθνῶν ἐκκλησίας φάσκοντος ἄρτι καθισταμένας καὶ πῆξιν λαμβανούσας. Καὶ τίς ἡ φυγή; Οὐκ ἄλλη, εἰ μὴ ἡ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν καὶ ψυγῆναι τὴν ἀγάπην γενομένη (α)· ἥτις ἀγάπη, διὰ θεὸν συνδήσασα τοὺς πιστοὺς, καὶ τῆς τῶν ἀπίστων ἀφελκύσασα συναυλίας, τῇ ἑαυτῆς ἐπινήχεσθαι παρέσχε θαλάσσῃ· ἧς ἐκλελοιπυίας, ἀνάγκη καὶ τὰς νήσους τοῦ εἶναι νήσους ἀποδιδράσκειν· αἷς καὶ τὰ ὄρη τῶν ἐν αὐταῖς ἀπὸ τῶν περιγείων μετεωρισθέντα ἀνθρωπίνων φρονημάτων συνηφανίσθησαν τῇ τῶν συνοίκων παραζηλώσει, τῶν τὸ χαμερπὲς δυστυχούντων, καὶ τὸ ὑψηλὸν καὶ οὐράνιον φρόνημα ἀπολωλεκότων. *Καὶ χάλαζα μεγάλη καταβαίνει ἐκ τοῦ οὐρανοῦ.*] Τὴν *χάλαζαν* οὐρανόθεν κατερράχθαί φησιν, ὡς θεήλατον ὀργήν· τὸ δὲ *ταλαντιαῖον* αὐτῆς, τὸ τέλειον, διὰ τὴν ἐν ταῖς ἁμαρτίαις ἀκρότητα, ᾗ ἐνάμιλλος καὶ ἡ τιμωρία πρὸς ἐπιστροφὴν ἐκκαλουμένη.

ΚΕΦΑΛΑΙΟΝ ΝΓ'.

Περὶ τοῦ ἑνὸς τῶν ἑπτὰ ἀγγέλων, δεικνύντος τῷ εὐαγγελιστῇ τὴν τῆς πόρνης πόλεως καθαίρεσιν· καὶ περὶ τῶν ἑπτὰ κεφαλῶν καὶ τῶν δέκα κεράτων.

ΚΕΦ. XVII, 1 Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων, τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας, καὶ ἐλάλησε μετ' ἐμοῦ, λέγων· Δεῦρο, δείξω σοι τὸ κρίμα τῆς πόρνης τῆς μεγάλης, τῆς καθημένης ἐπὶ τῶν ὑδάτων
2 τῶν πολλῶν· μεθ' ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ ἐμεθύσθησαν οἱ κατοικοῦντες τὴν γῆν ἐκ

(α) Ματθ. ΚΔ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

3 τοῦ οἴνου τῆς πορνείας αὐτῆς. Καὶ ἀπήνεγκέ με εἰς ἔρημον ἐν πνεύματι· καὶ εἶδον γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον, γέμον ὀνομάτων βλασφημίας, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα.

Κρίμα, τὴν διαγωγὴν καὶ τὴν διοίκησιν καλεῖ. *Πόρνην* δὲ οὐχ οὕτω ἐπιτευκτικῶς τὴν παλαιὰν Ῥώμην χρὴ ἀκούειν, ὡς τὸν παρόντα κόσμον, ὃς καὶ αἵμασιν ἀμυθήτοις καὶ βασιλεῦσι πλείοσι Ῥώμης ἐνευθηνεῖται, ὡς ἐξ ἀρχῆς κεκρικότα πορνικῶς διακεῖσθαι, πορνείας οὐ τῆς αἰσχρᾶς συμπλακῆς τῶν σωμάτων μόνης νοουμένης, ἀλλὰ καὶ πάσης ἀπὸ θεοῦ ἐκκλίσεως. Ἕτεροι δέ τινες τῶν τὴν προκειμένην Ἀποκάλυψιν ἐπισκεψαμένων, *πόρνην* τὴν παλαιὰν ὑπειλήφασι Ῥώμην, ἣ τὴν καθ' ὅλου βασιλείαν μέχρι τῆς δευτέρας παρατείνουσαν τοῦ Κυρίου παρουσίας· *ὕδατα* δὲ, τὰ ἔθνη, ὧν ἄρχει τε καὶ ἄρξει, ἐπ' αὐτῶν τοῦ ἱδρύσθαι τὸ κράτος ἔχουσα. Ὅτι δὲ τὰ *ὕδατα* εἰς ἔθνη λογιστέον, ἄκουσον τοῦ θεοπάτορος, τὸ, *Ἀπὸ φωνῶν ὑδάτων πολλῶν*, εἰς ἔθνη ἐκλαμβάνοντος (α). *Μεθ' ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς.*] *Οἱ βασιλεῖς τῆς γῆς* οὗτοί εἰσιν, οἱ γηΐνοις φρονήμασι πρὸς τὸν συρφετὸν τοῦ παρόντος βίου κατακυλισθέντες. Οἱ δ' αὐτοὶ καὶ *ἐμεθύσθησαν*, τῷ μὴ ἐκ μικρᾶς καὶ τῆς τυχούσης χρήσεως, ἀλλ' ἐκ πολλοῦ τοῦ περιόντος ἐμφορηθῆναι τῆς ἀσεβείας. *Καὶ ἀπήνεγκέ με εἰς ἔρημον ἐν πνεύματι.*] Τὴν ἐσομένην ἐν τοῖς πνευματικοῖς ἐρήμωσιν ἡ θεωρία αἰνίττεται, ἣν ὡς γυναῖκα ἰδεῖν φησι διατεθηλυμένην καὶ ὡς πόρνην καὶ ἄνανδρον, μηδὲν ἔχουσαν σωφροσύνης γνώρισμα. Τὸ δὲ *ἐν πνεύματι* ἀπενεχθῆναι, τί ἂν ἄλλο σημαίνοιεν, ἢ τὸ μὴ πραγματικῶς κατ' ἐνέργειαν ταῦτα ὁρᾶν, ἀλλὰ θεωρητικῶς ἠξιῶσθαι; Ἀφ' οὗ καὶ ἄλλης γυναικὸς ἴνδαλμα χρηματισθῆναι *ἐπὶ θηρίον κόκκινον καθημένην, γυναῖκα* τὸν καιρὸν, καθ' ὃν

(α) Ψαλμ. ιβ', 3.

ταῦτα διεξάγεται, παριστῶν, καθ' ὃν τῷ διαβόλῳ, τῷ φονίῳ καὶ αἱμοχαρεῖ, (τοῦτο γὰρ τὸ *κόκκινον* χρῶμα δηλοῦν βούλεται) ὁ διὰ πονηρῶν πράξεων ἐνεργούμενος ἐπαναπαύεται, τῆς *καθέδρας* τοῦτο νοεῖν ὑποβαλλομένης. *Ὀνόματα* δὲ *βλασφημίας*, τὸ τῷ θεῷ πρέπον σέβας τῷ διαβόλῳ ἀνατιθέναι.

4 Καὶ ἡ γυνὴ ἦν περιβεβλημένη πορφύραν (1) καὶ κόκκινον, κεχρυσωμένη χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, ἔχουσα ποτήριον χρυσοῦν ἐν τῇ χειρὶ αὐτῆς, γέμον βδελυγμάτων καὶ τῶν ἀκαθάρτων
5 τῆς πορνείας τῆς γῆς (2)· καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γεγραμμένον· Μυστήριον· Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν πορνειῶν (3) καὶ τῶν βδελυγ-
6 μάτων τῆς γῆς. Καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν ἐκ τοῦ αἵματος τῶν ἁγίων, ἐκ τοῦ αἵματος τῶν μαρτύρων Ἰησοῦ· καὶ ἐθαύμασα, ἰδὼν αὐτὴν, θαῦμα μέγα.

Π*ορφύραν*, διὰ τὸ κατ' ἐξουσίαν ὡς ὑπὸ βασιλίδι πάντα τολμᾶσθαι· *κόκκινον*, διὰ τὸ πολλῶν ἁγίων αἵματα ἐκχεῖσθαι· *κεχρυσωμένη δὲ χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις*, ὅτι ὡς βασιλίδα ὁ λόγος ταύτην κοσμεῖ κόσμῳ βασιλείῳ. Μεταξὺ γὰρ τῶν ἀπηνῶν καὶ ἐνεξουσιαζομένων ἐστὶν ἐνορᾶν τοὺς ἐπηρεαζομένους ὡς χρυσίον μὲν ἀκίβδηλον ἐπανθοῦσαν τὴν κατὰ Χριστὸν πίστιν· ὡς λίθον δὲ τιμαλφῆ, τῇ διαφανείᾳ τὸ στερρὸν ἑαυτοῦ ἐκπομπεύοντα τοῖς ἀγνοοῦσιν· ὡς μαργαρίτας δὲ, τῷ ἐκ τῆς πολυκύμονος τοῦ βίου τῶν πειρασμῶν θαλάσσης ἀναδῦναι, καὶ τῷ βασιλείῳ Χριστοῦ διαδήματι ἐναρμοσθῆναι. Τὸ δὲ *χρυσοῦν ποτήριον*, χρυσοῦν μὲν, διὰ τὸ τὸν καιρὸν ὡς βασιλείῳ κρατεῖσθαι δυνάμει· *ἐν τῇ χειρὶ* δὲ, διὰ τὸ ἐνεργὸν τῶν ὑποτιθεμένων· *ποτήριον* δὲ ἴσως εἰς ἔνδειξιν, ὅτι οὐ κατὰ κό-

(1) Παρ ἄλλοις, πορφυροῦν.
(2) Πάρ ἄλλοις, καὶ τὰ ἀκάθαρτα τῆς πορνείας αὐτῆς, ἢ, τῆς γῆς.
(3) Παρ ἄλλοις, τῶν πόρνων, ἢ, πορνῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρον, ἀλλ' ἐν δίψῃ τῆς ἑαυτῶν ἀπωλείας τὴν κακίαν μετέρχονται· διὸ τὰ *βδελύγματα* ἑαυτῆς, τουτέστι, τὰ βδελυκτὰ τῷ θεῷ ἐπιτηδεύματα, ἐπλήθυναν· οἷς ἡ φιλαμαρτήμων πληθὺς ποτίζεται, ὡς ἡδὺ πόμα σπῶσα τὴν βδελυκτὴν τῆς ἁμαρτίας μέθην καὶ τῆς ἐκ θεοῦ πορνείας τὴν βεβήλωσιν. *Καὶ τῶν ἀκαθάρτων τῆς πορνείας τῆς γῆς.*] *Πορνεία τῆς γῆς*, οἱ τοῖς γηΐνοις προστετηκότες· οὐ γὰρ πορνεύειν ἔδωκεν ἡ φύσις τῇ γῇ, τῷ ἀψύχῳ καὶ ἀναισθήτῳ δημιουργήματι. Τὸ δὲ *ἐπὶ τὸ μέτωπον αὐτῆς γεγράφθαι ὄνομα*, τὸ ἀπηρυθριασμένως δηλοῖ πράττειν τὰ ἀπαίσια. *Μητέρα* δὲ *τῶν πορνειῶν*, ἣν ἂν βούλῃ πάλιν, εἴτε τὴν παλαιὰν Ῥώμην, εἴτε τὴν νέαν, εἴτε τὸν καιρὸν τῆς ἐπιδημίας τοῦ Ἀντιχρίστου νοεῖν, οὐκ ἂν ἁμάρτῃς τοῦ ἀληθοῦς· διότι ἀμφότεραι τὸ κράτος ἀνεδέξαντο τῶν ἄλλων πόλεων, καὶ ἑκάστη κόρον ἔσχε τοῦ αἵματος τῶν ἁγίων μαρτύρων. *Καὶ ἐθαύμασα, ἰδών.*] Εἰκὸς ἦν, ἀγαθὸν ἄνδρα καὶ χρηστόν, καὶ πραΰτητι, οὐδ' ὅση εἰπεῖν, συγκροτούμενον, ἀγριότητα ὁρῶντα θηριωδῶν ἀνθρώπων, ὑπερβαλλούτῃ ἐκπλήξει κατάσχετον γενέσθαι· τοῦτο γὰρ τὸ, *μέγα θαῦμα*, ἐμφαίνει. Ὅτι δὲ ἁπλοϊκὸς τὸ ἦθος ὁ μακάριος οὗτος Ἰωάννης ὁ θεολόγος, ἡ περὶ αὐτοῦ ἱστορία διδάσκει.

ΚΕΦΑΛΑΙΟΝ ΝΔ'.

Ὅπως ὁ ἄγγελος τὸ ὁραθὲν αὐτῷ μυστήριον ἡρμήνευσεν.

7 Καὶ εἶπέ μοι ὁ ἄγγελος· Διὰ τί ἐθαύμασας; Ἐγὼ
ἐρῶ σοι τὸ μυστήριον τῆς γυναικὸς καὶ τοῦ θη-
ρίου, τοῦ βαστάζοντος αὐτὴν, τοῦ ἔχοντος τὰς
8 ἑπτὰ κεφαλὰς καὶ τὰ δέκα κέρατα. Τὸ θηρίον, ὃ
εἶδες, ἦν, καὶ οὐκ ἔστι· καὶ μέλλει ἀναβαίνειν ἐκ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς ἀβύσσου, καὶ εἰς ἀπώλειαν ὑπάγειν· καὶ θαυμάσονται οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὰ ὀνόματα ἐπὶ τὸ βιβλίον τῆς ζωῆς ἀπὸ καταβολῆς κόσμου, βλέποντες (1), ὅτι ἦν τὸ θηρίον,
9 καὶ οὐκ ἔστι, καὶ παρέσται. Ὧδε ὁ νοῦς ὁ ἔχων
σοφίαν· Αἱ ἑπτὰ κεφαλαί, ἑπτὰ ὄρη εἰσίν, ὅπου ἡ
10 γυνὴ κάθηται ἐπ' αὐτῶν. Καί βασιλεῖς ἑπτά εἰσιν·
οἱ πέντε ἔπεσον, ὁ εἷς ἐστιν, ὁ ἄλλος οὔπω ἦλθε·
11 καὶ ὅταν ἔλθῃ, ὀλίγον δεῖ αὐτὸν μεῖναι. Καὶ τὸ
θηρίον ὃ ἦν, καὶ οὐκ ἔστι, καὶ αὐτὸς ὄγδοός ἐστι,
καὶ ἐκ τῶν ἑπτά ἐστι, καὶ εἰς ἀπώλειαν ὑπάγει.

Ὥσπερ ὑπὸ πίνακι τὰ προεκτεθειμένα ἐντελῶς διεξιέναι ἄρχεται. *Θηρίον* οὖν ὁ διάβολος· ἤρξατο, καὶ οὐκ ἔστι. Διό φησιν, *ἦν* τὸ θηρίον, οὐ νῦν ὑφιστάμενον· ἀφ' οὗ δῆλον ὡς ὁ διάβολός ἐστιν· *ἀρχὴ γὰρ πλασμάτων τοῦ Κυρίου*, κατὰ τὸ εἰρημένον (α). *Οὐκ ἔστι* δὲ νῦν, ὅτι ἀπεκτάνθη τὰς ἐνεργείας τῇ τοῦ Χριστοῦ ἐπιδημίᾳ· οὐ γὰρ ὡς πρὸ ταύτης ἐνήργει, υἱοὺς ἀνθρώπων καὶ θυγατέρας τοῖς ἑαυτοῦ δαίμοσι διὰ θυσιῶν παρασκευάζεσθαι, οὕτως ἤδη ταῦτα καὶ μετὰ τὴν Χριστοῦ παρουσίαν εἷος ἐνεργεῖν. *Ἀναβαίνειν* δὲ *μέλλειν* λέγεται *ἐκ τῆς ἀβύσσου, τῇ ἐπιδημίᾳ τοῦ Ἀντιχρίστου. Καὶ εἰς ἀπώλειαν ὑπάγειν.*] *Ἀπώλειαν*, οὐ τὴν ἀνυπαρξίαν, ἀλλὰ τὴν ἐν γεέννῃ κατάκρισιν λέγει. *Καὶ θαυμάσονται οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς.*] Θαυμάσονται τὴν τοῦ θηρίου παρουσίαν, οὐ μόνον ὅτι ἀπόλωλε καὶ πῶς ἔζησεν, ἀλλὰ καὶ ὅτι παραγέγονεν ἐν τέρασιν ἀπάτης. Τίνες δὲ θαυμάσονται; *Οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς*· περὶ ὧν καὶ Ἡσαΐας φησίν· Οὐ πεσούμεθα, *ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς* (β). Τοιοῦτοι δὲ οἱ ἀστήρικτον ἔχοντες τὴν βάσιν, ἅτε μὴ ἐπὶ τὴν πέτραν, τὸν Χριστόν, τεθεμελιωμένοι. Θαυμάσονται οὖν καὶ νῦν

(1) Παρ' ἄλλοις, βλεπόντων.
(α) Ἰὼβ Μ', 14. (β) Ἡσ. Κς', 18.

οὗτοι, οἱ διὰ τὸ χαμερπὲς ἐν τῇ βίβλῳ τῶν ζώντων οὐκ ἐγράφησαν. *Αἱ ἑπτὰ κεφαλαί, ἑπτὰ ὄρη εἰσιν, ὅπου ἡ γυνὴ κάθηται.*] *Γυναῖκα*, ὡς ἔφθημεν εἰρηκότες, τὸν φθαρτὸν τοῦτον βίον φησὶν, ὡς θῆλυν καὶ μηδὲν ἀνδρικὸν ἐπιφαίνοντα. *Ὄρη* δὲ καὶ *κεφαλὰς ἑπτὰ*, τόπους ἡγούμεθα νοεῖσθαι ἐν ὑπεροχῇ καὶ δυναστείᾳ κοσμικῇ τῶν λοιπῶν ἐξέχοντας· ἐφ' οἷς κατὰ καιροὺς τὴν τοῦ κόσμου βασιλείαν ἐστηρίχθαι ἐγνωμεν. Οἷον, πρῶτον, ἐν Νινευὶ τὴν τῶν Ἀσσυρίων. Δεύτερον, ἐν Ἐκβατάνοις τὴν τῶν Μήδων δυναστείαν ἀπὸ Ἀρβάκου κρατήσασαν τῶν Ἀσσυρίων· ὧν τὸν βασιλέα Σαρδανάπαλον κρατήσας ὁ Ἀρβάκης καθεῖλε. Μετὰ δὲ τούτους ἐν Βαβυλῶνι τὸ Χαλδαίων κράτος ὑπερεῖχεν· ὧν Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐβασίλευσεν. Εἶτα μετὰ τὴν τούτων καὶ τῶν Μήδων κατάλυσιν, ἐν Σούσοις ὑπὸ Κύρου τῆς Περσῶν βασιλείας καθισταμένης, ἡ τῶν Μακεδόνων ὑπεισῆλθεν ἀρχή. Ἐκ τούτων ἡ ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ τῶν Ῥωμαίων ἀρχὴ καὶ ἰσχὺς, ἐπὶ μὲν Αὐγούστου Καίσαρος μετὰ τοὺς πρώην βασιλεῖς αὐτῆς καὶ ὑπάτους μοναρχήσασα, ὑπὸ δὲ ἀσεβῶν μέχρι Κωνσταντίνου κατασχεθεῖσα· ὧν μετὰ τὴν κατάλυσιν, εἰς τὴν νέαν Ῥώμην τὰ τῶν φιλοχρίστων βασιλέων μετηνέχθη βασίλεια. Κατὰ δὲ τὴν αὐτὴν ἔννοιαν, καὶ τοὺς *ἑπτὰ βασιλεῖς* ἐκδεκτέον, τῆς ἐναλλαγῆς τῶν γενῶν, ἀρσενικοῦ, λέγω, καὶ θηλυκοῦ, μηδὲν παρεμποδιζούσης τὴν τῆς διανοίας ταυτότητα· εἰ καὶ ἐκεῖ μὲν ἑπτὰ κεφαλὰς θηλυκῶς, καὶ ἑπτὰ ὄρη οὐδετέρως, ἐνταῦθα δὲ βασιλεῖς ἑπτὰ ἐσήμανε· πολλάκις γὰρ ἀδιαφόρως ἀντὶ θηλυκῶν ἀρρενικὰ ἐν τῇ Γραφῇ κεῖται ὀνόματα, καὶ τὸ ἀνάπαλιν. Οὐδὲν γὰρ ἡ Γραφὴ περὶ τούτων εἴωθε μικρολογεῖσθαι.

12 Καὶ τὰ δέκα κέρατα, ἃ εἶδες, δέκα βασιλεῖς εἰσιν, οἵτινες βασιλείαν οὔπω ἔλαβον, ἀλλ' ἐξουσίαν ὡς βασιλεῖς μίαν ὥραν λαμβάνουσι μετὰ τοῦ θηρίου.
13 Οὗτοι μίαν ἔχουσι γνώμην, καὶ τὴν δύναμιν καὶ τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

14 ἐξουσίαν αὐτῶν τῷ θηρίῳ διδόασιν. Οὗτοι μετὰ τοῦ ἀρνίου πολεμήσουσι, καὶ τὸ ἀρνίον νικήσει αὐτούς· ὅτι κύριος κυρίων ἐστὶ, καὶ βασιλεὺς βασιλέων, καὶ οἱ μετ' αὐτοῦ κλητοὶ καὶ ἐκλεκτοὶ καὶ πιστοί.
15 Καὶ λέγει μοι· Τὰ ὕδατα, ἃ εἶδες, οὗ ἡ πόρνη κάθηται, λαοὶ καὶ ὄχλοι εἰσὶ, καὶ ἔθνη καὶ γλῶσσαι.

Τὰ *δέκα κέρατα*, δέκα βασιλεῖς εἶναι φασὶν, ἐκ τῆς Ῥωμαίων ἀρχῆς ἀναστησομένους ἐν τοῖς ἐσχάτοις καιροῖς, ὧν ἐν μέσῳ ὁ Ἀντίχριστος ἀναφήσεται. Μὴ λαβεῖν δὲ αὐτοὺς *βασιλείαν* φησὶν, *ἀλλ' ἐξουσίαν ὡς βασιλεῖς*, καὶ τοῦτο *μίαν ὥραν*· τὸ μὲν, *ὡς βασιλεῖς*, διὰ τὸ ἀνέδραστον καὶ σκιώδες τῆς βασιλείας αὐτῶν φησί· τὸ δὲ, *μίαν ὥραν μετὰ τοῦ θηρίου*, τὸ βραχὺ τοῦ χρόνου παριστᾷν βούλεται, ἤτοι δι' οὗ ἡ τοῦ ἐνιαυτοῦ ὥρα συντελεῖται, μεθ' ἣν τῷ Ἀντιχρίστῳ ὡς ὑπερέχοντι ὑποταγήσονται. Ἢ καὶ *ὥραν* τὸν ἀπολαυστικὸν βίον νοητέον. *Καὶ τὸ ἀρνίον νικήσει αὐτοὺς*, καὶ τὰ ἑξῆς.] Εἰκότως, ὡς καὶ κύριος κυρίων, καὶ βασιλεὺς βασιλέων, καὶ ὑπασπισταὶ αὐτοῦ *κλητοὶ*, τὴν κλῆσιν οὐ κατὰ τὸ ἐπιτυχὸν ἔχοντες, ἀλλὰ κατὰ τὸ καίριον καὶ διηκριβωμένον καὶ ἀμετάθετον· διὸ καὶ *πιστοί*· ὅτι ὁ πιστὸς ἐνὶ προσανέχει δεσπότῃ, *οὐ δυνάμενος δυσὶ κυρίοις δουλεύειν* (α). *Τὰ ὕδατα, ἃ εἶδες*.] Προείρηται ἡμῖν περὶ τούτων, τροπικῶς καὶ φυσικῶς τὴν γῆν εἶναι ἐξ ὑδάτων, καὶ ἐν ὕδασι διατελοῦσαν (β), ἐν ᾗ ὁ φθαρτὸς οὗτος καὶ διύγροις ἡδοναῖς διαγόμενος ἥδρασται κόσμος. Πάντως δὲ οὐκ ἄλλως ἢ οὕτω παρὰ τὰ ἀνθρώπινα γένη νοεῖται· ἅπερ ἔθνη εἰσὶ τῇ διαφόρῳ φωνῇ διαστελλόμενα· πρὸς δὲ τούτοις καὶ τὰ βασιλέων κράτη συντηρούμενα· τοῦτο γὰρ τὸ *κέρας* δηλοῦν βούλεται, ἀπὸ τῶν κερασφόρων ζώων εἰλημμένης τῆς χρήσεως· ὅτι κἀκεῖνα τοῖς κέρασιν ἑαυτῶν συντηρεῖται, εἴπου δεήσει πρὸς ἕτερα ζῶα διεξάγεσθαι· ὥσπερ καὶ ἔθνεσι πρὸς ἔθνη αἱ τῶν βασιλέων

(α) Ματθ. ϛ', 24. (β) Β' Πετρ. Γ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διαταγαὶ τὸ καθ' ἑαυτὰ διαμένειν παρέχουσι, μὴ πρὸς ἐκφύλους κυριαρχίας σκεδάζεσθαι.

16 Καὶ τὰ δέκα κέρατα, ἃ εἶδες, καὶ (1) τὸ θηρίον, οὗτοι μισήσουσι τὴν πόρνην, καὶ ἠρημωμένην ποιήσουσιν αὐτὴν καὶ γυμνήν, καὶ τὰς σάρκας αὐτῆς φά-
17 γονται, καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί. Ὁ γὰρ θεὸς ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν, ποιῆσαι τὴν γνώμην αὐτοῦ, καὶ ποιῆσαι γνώμην μίαν, καὶ δοῦναι τὴν βασιλείαν αὐτῶν τῷ θηρίῳ, ἄχρι τελεσθῶσιν
18 οἱ λόγοι (2) τοῦ θεοῦ. Καὶ ἡ γυνὴ, ἣν εἶδες, ἔστιν ἡ πόλις ἡ μεγάλη, ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς.

Τὰ μὲν *κέρατα* τί δηλοῦν ἐθέλει, εἴρηται ἤδη· *θηρίον* δὲ τὸν διάβολον λέγει· ἀδιαφορεῖ γὰρ κατὰ τὸ σημαινόμενον τοῦ θηρίου, πῇ μὲν, τὸν Ἀντίχριστον οὕτως ὀνομάζων, ἔσθ' ὅτε δὲ τὸν σατανᾶν. Οἱ βασιλεῖς οὖν, φησὶν, οἱ τέως κατ' ἐνέργειαν τοῦ σατανᾶ φρονίως τῷ ἀρνίῳ διατεθέντες, θεοῦ ὑποθημοσύνῃ μισήσουσι τὴν πόρνην, τουτέστι, τὴν ἐν τῷ βίῳ ἀπολαυστικὴν δίαιταν· ἐρημώσουσι δὲ καὶ εἰδωλολατρείαν, καὶ τεμενῶν καὶ μαντείων ἀλλοτριώσουσι· καὶ *τὰς σάρκας αὐτῆς*, τουτέστι, τὰ πρὸς θυσίαν ἀναφερόμενα τῶν εἰδώλων ζῶα, ἑαυτοῖς ταμιεύουσι, καὶ πᾶσαν τὴν περὶ τὰ μάταια σπουδὴν ἀφανίσουσι, καὶ οὕτως, ὥστε ὑπὸ πυρὸς δαπανηθεῖσαν νομίζεσθαι, καὶ πάντας κράζειν, Ποῦ νῦν οἱ τῆς τότε ἐπὶ τὰ μάταια ἐπιμελείας ἐχόμενοι; Ταῦτα δὲ πάντα, ὡς ἔφθημεν παραθέμενοι, οὐκ ἂν ἀθεεὶ συμβῆναί φασιν, ἀλλ' ἐκ θείας ἐπισκοπῆς καὶ προνοίας. *Καὶ ποιῆσαι γνώμην μίαν.*] Εἰ καὶ σύνδρομος ἡ τούτων γνώμη τῇ τοῦ θεοῦ, ἀλλ' ὡς θεῷ μεμελημένη, κατὰ δὲ τὸ ἀνεξερεύνητον βάθος τῆς προνοίας αὐτοῦ συμβαίνουσα τοῖς συντελουμένοις. Οὕτω τοιγαροῦν κατὰ τοιαύτην ὁμογνωμοσύνην τούτοις

(1) Παρ ἄλλοις, ἐπὶ τὸ θηρίον.
(2) Παρ ἄλλοις, ἄχρι τελεσθῇ τὰ ῥήματα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δοθεῖσαν ὑπὸ θεοῦ, τῆς ἐξουσίας ἁπάσης παρασχεθείσης τῷ θηρίῳ, διατελέσει κρατοῦν τὸ θηρίον εἰς ἅπερ ἂν αἱ κατάλληλοι κρίσεις ἀπάξουσιν, αἳ διὰ τῶν λόγων ὑπεσημάνθησαν, δι' ὧν λέγει· *ἄχρι τελεσθῶσιν οἱ λόγοι τοῦ θεοῦ. Καὶ ἡ γυνὴ, ἣν εἶδες, ἔστιν ἡ πόλις ἡ μεγάλη.*] Σαφέστερον τὴν γυναῖκα παριστῶν, ἀναλαμβάνει τὸν περὶ αὐτῆς λόγον, καί φησιν, ἐκείνην εἶναι, τὴν ἔχουσαν τὸ κράτος ἐπὶ τῶν τοῖς γηΐνοις προσανακειμένων· οὐ γὰρ καὶ πάντες οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς, ἤδη καὶ τοῖς γηΐνοις προσδιαφθείρονται.

ΚΕΦΑΛΑΙΟΝ ΝΕ'.

Περὶ ἑτέρου ἀγγέλου, τὴν πτῶσιν Βαβυλῶνος δηλοῦντος, καὶ οὐρανίου φωνῆς, τὴν ἐκ τῆς πόλεως φυγὴν ἐντελλομένης, καὶ περὶ τῆς ἀποβολῆς τῶν τερπνῶν, ὧν τὸ πρὶν ἐκέκτητο.

ΚΕΦ. XVIII, 1 Καὶ μετὰ ταῦτα εἶδον ἄλλον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην· καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ. 2 Καὶ ἔκραξεν ἐν ἰσχυρᾷ φωνῇ (1), λέγων· Ἔπεσε Βαβυλὼν ἡ μεγάλη, καὶ ἐγένετο κατοικητήριον δαιμόνων, καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου, καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρτου καὶ 3 μεμισημένου· ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πέπωκε πάντα τὰ ἔθνη· καὶ οἱ βασιλεῖς τῆς γῆς μετ' αὐτῆς ἐπόρνευσαν, καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς δυνάμεως τοῦ στρήνους αὐτῆς ἐ-

(1) Παρ ἄλλοις, ἐν ἰσχύι, φωνῇ μεγάλῃ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

4 πλούτησαν. Καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐ-
ρανοῦ, λέγουσαν· Ἐξέλθετε ἐξ αὐτῆς ὁ λαός μου,
ἵνα μὴ συγκοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς, καὶ
5 ἐκ τῶν πληγῶν αὐτῆς ἵνα μὴ λάβητε· ὅτι ἐκολ-
λήθησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ, καὶ
ἐμνημόνευσεν ὁ θεὸς τὰ ἀδικήματα αὐτῆς.

Καὶ ἡ γῆ ἐφωτίσθη.] Κἀντεῦθεν τῶν θείων δυνάμεων τὸ λαμπρὸν καὶ φωτιστικὸν, πολλῷ τῷ μέτρῳ τὸ ἀστρῷον σέλας καὶ κάλλος ὑπερνικῶν, ἔστι νοεῖν, μετὰ τὸ παρελθεῖν τὰ ἀμαυρὰ τοῦ φθαρτοῦ κόσμου παῤῥησιαζόμενον. Μεγάλην φησὶ τὴν τοῦ φωστῆρος εἶναι ἐξουσίαν, καὶ φωτίζειν τὴν περίγειον ἐκ τῆς δόξης αὐτοῦ. Παραβαλλόμενα γὰρ τὰ οὐράνια καὶ ἄφθαρτα τοῖς γηΐνοις καὶ φθαρτοῖς, ὅσον τὸ ὑπερβάλλον τῆς δόξης παρίστησιν; *Ἰσχυρὰν δὲ τὴν φωνὴν* ἐμπεδοῖ, τὸ ἔμπρακτον ἐμφαίνων τῶν δηλουμένων καὶ ἀπαράβατον. Καὶ τί τοῦτο; *Ἔπεσε Βαβυλὼν ἡ μεγάλη, Βαβυλῶνα*, τὴν διέξοδον τοῦ φθαρτοῦ τούτου βίου λέγων. *Καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου, καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρτου καὶ μεμισημένου.*] Εἰς ὄρνεα μεταλαμβάνει τοὺς δαίμονας, διὰ τὸ ἄδηλον τῆς ἐφόδου αὐτῶν, τῆς κατὰ τῶν ἀνθρώπων· ἐπεὶ καὶ τῶν ὀρνέων ἡ ἔφοδος ἐξ ἀδήλου εἰωθεν ἐπιφοιτᾶν προσδοκίας. *Μεμισημένου* δὲ εἴρηται οὐκ ἀλόγως· τίς γὰρ σωφρονῶν οὐ βδελύττεται τὴν μετὰ τῶν δαιμόνων ἀναστροφὴν, δι' ἣν καὶ *βδελύγματα* ὠνόμασθησαν; *Ἐξέλθετε ἐξ αὐτῆς ὁ λαός μου.*] Ἐξελθεῖν παρακελεύεται ἡ φωνὴ, οὓς ἔγνω Κύριος αὐτοῦ εἶναι (α). Ἐξελθεῖν δὲ, τοῦ μὴ συναπολέσθαι δικαίους μετὰ ἀσεβῶν (β). Ὡς γὰρ ἐπὶ τοῦ Λὼτ τὸ· *Σώζων σῶζε τὴν σεαυτοῦ ψυχὴν* (γ) ἀνυπερθέτως μέχρι τοῦ ὄρους, ἐπὶ γῆς οὐδαμοῦ ἠρεμῶν, ὁ θεὸς αὐτῷ ἐνετείλατο, οὕτω κἀνταῦθα. *Καὶ ἐμνημόνευσεν ὁ θεὸς τὰ ἀδικήματα αὐτῆς.*] Ἀνθρωπίνως διασκευάζεται ταῦτα· ἐπὶ γὰρ

(α) Β' Τιμ. Β', 19. (β) Γεν. ΙΗ', 23. (γ) Γεν. ΙΘ', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς μακαρίας τοῦ θεοῦ φύσεως, τῆς πάθεσιν ἀπροσίτου, τὰ τοιαῦτα κἂν ἐννοεῖν περιττόν. Ἐκεῖ γὰρ μνήμη, ὅπου καὶ λήθη· *λήθη* δὲ, τοῦ δυνάμει παρεῖναι τὸ πραχθὲν, οὐκέτι δὲ καὶ ἐνεργείᾳ σημαντικόν· θεῷ δὲ οὐδὲν πρόσεστι δυνάμει, ἀλλ' ἐνεργείᾳ.

6 Ἀπόδοτε αὐτῇ, ὡς καὶ αὐτὴ ἀπέδωκεν ὑμῖν, καὶ
διπλώσατε αὐτῇ διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς· ἐν τῷ
7 ποτηρίῳ, ᾧ ἐκέρασε, κεράσατε αὐτῇ διπλοῦν· ὅσα
ἐδόξασεν ἑαυτὴν καὶ ἐστρηνίασε, τοσοῦτον δότε αὐ-
τῇ βασανισμὸν καὶ πένθος· ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς
λέγει· Κάθημαι βασίλισσα, καὶ χήρα οὐκ εἰμὶ, καὶ
8 πένθος οὐ μὴ ἴδω. Διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν
αἱ πληγαὶ αὐτῆς, θάνατος καὶ πένθος καὶ λιμός·
καὶ ἐν πυρὶ κατακαυθήσεται· ὅτι ἰσχυρὸς Κύριος ὁ
θεὸς, ὁ κρίνων αὐτήν.

Ἀνεπισήμαντον, παρὰ τίνος τὸ πρόσταγμα ἢ ὁ λόγος πρόεισιν. Εἴη δ' ἂν παρὰ τῶν δικαίων καὶ μαρτύρων, τῶν κατ' ἐκεῖνο καιροῦ, τῆς τοῦ Ἀντιχρίστου δηλαδὴ ἐπιδημίας, ὑπὲρ Χριστοῦ ἐναθλησάντων, τοσαύτῃ ὠμότητι καὶ θηριωδίᾳ ὑπὸ τῶν τηνικαῦτα τῷ βίῳ ἐμπολιτευομένων ὑπουργῶν τοῦ Ἀντιχρίστου παραδοθέντων, ὥστε καὶ αὐτοὺς, εἰ καὶ θεομιμήτως προείλοντο ζῆν, ἀλλ' οὖν διὰ τὸ ὑπερβάλλον τῶν κακώσεων ἐκνικηθῆναι, ταῦτα προφέρειν. Εἰρήκαμεν δὲ *γυναῖκα*, τὸν ἐπὶ τοῦ Ἀντιχρίστου καιρὸν, οὐ πόλιν τινὰ σημαίνειν· καὶ *ποτήριον* δὲ, τὴν προαίρεσιν τῶν ἐμπολιτευομένων τῷ τότε βίῳ· οἳ, τῇ δυναστείᾳ τοῦ σατανᾶ γαυριῶντες, ἀμέτρῳ τῇ τῶν δειθῶν εὐθηνίᾳ κατὰ τῶν ἀντικειμένων αὐτοῖς κατεχρήσαντο. Καθὼς οὖν ἐποίησεν, ἀποδοθήτω αὐτῇ. *Ἀπόδοτε αὐτῇ διπλοῦν.*] Οὐ τὸ διπλάσιον βούλεται τὸ *διπλοῦν*· ἀλλ' ὅτι, φιλάνθρωπος ὢν ὁ θεὸς καὶ ἀγαθὸς, καὶ πολὺ καταδεέστερον κολάζων, διπλᾶ οἴεται ἀποδεδωκέναι, καὶ ὅταν μέρος ἀποδῷ· καὶ οὐ μόνον διπλᾶ, ἀλλὰ καὶ ἑπταπλάσια· εἰ μή που τοῦτο οἰητέον, ὡς οὐ θεοῦ ἀπειλῆς· πῶς γὰρ ὁ λέγων· *Οὐκ ἐκδικήσει Κύ-*

ριος δὶς ἐπιτοαυτό (α)· νῦν διπλάσια καὶ ἐπταπλάσιά φησιν ἐκδικεῖν; Εἰ οὖν τὸ *διπλοῦν* καὶ *ἑπταπλάσιον*, οὐ τὸ κατ' ἀξίαν σημαίνειν ὑπολητέον, ἀλλὰ τὸ μετριώτερον, ἴσως ἄτοπον οὐδέν. *Ὅσα ἐδόξασεν ἑαυτὴν, καὶ ἐστρηνίασε.*] Καθώς, φησι, δοξασθεῖσα καὶ κατασπαταλήσασα τοῦ παρόντος βίου, πρόνοιαν οὐ πεποίηται τοῦ θείου θελήματος· οὕτως ἀπόδοτε αὐτῇ· λέγει γάρ· Οὐκ ἔσομαι τοῦ βασιλεύειν ἐστερημένη. *Ἐν τῇ καρδίᾳ αὐτῆς.*] *Καρδίαν*, τὸ ἔμμονόν φησι τῶν τότε τὸν βίον συμπληρούντων, οὓς καὶ εἰς *γυναῖκα* ἐμυθοποίησε *μαχλῶσαν*. *Διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς.*] Διὰ τοῦ λέγειν *μίαν ἡμέραν*, τὸ ἀπροσδόκητον καὶ ἀθρόον δηλοῖ τοῦ καιροῦ, ἐν ᾧ ταῦτα συμβήσεται. Μετὰ γὰρ τὸ ἐγκρατεῖς αὐτῆς γενέσθαι τοὺς ἐχθροὺς, ἐξαρκεῖ καὶ μία ἡμέρα, πᾶσαν κόλασιν ἐπαγαγεῖν τῇ ἡττηθείσῃ, δυνατοῦ ὄντος τοῦ Κυρίου ὥσπερ τοῖς εὐαρεστοῦσιν αὐτῷ τὰ θυμήρη προσνέμειν, οὕτω καὶ κολάζειν τοὺς ἀνεπιστρόφως ἐξαμαρτάνοντας.

9 Καὶ κλαύσουσι (1) καὶ κόψονται ἐπ' αὐτὴν οἱ βασι-
λεῖς τῆς γῆς, οἱ μετ' αὐτῆς πορνεύσαντες καὶ στρη-
νιάσαντες, ὅταν βλέπωσι τὸν καπνὸν τῆς πυρώσε-
10 ως αὐτῆς, ἀπὸ μακρόθεν ἑστηκότες, διὰ τὸν φόβον
τοῦ βασανισμοῦ αὐτῆς, λέγοντες· Οὐαί, οὐαί, ἡ πό-
λις ἡ μεγάλη Βαβυλὼν, ἡ πόλις ἡ ἰσχυρά, ὅτι ἐν
11 μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου. Καὶ οἱ ἔμποροι τῆς
γῆς κλαύσουσι καὶ πενθήσουσιν (2) ἐπ' αὐτῇ, ὅτι
12 τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει οὐκέτι· γόμον
χρυσοῦ καὶ ἀργύρου, καὶ λίθου τιμίου καὶ μαργα-
ρίτου, καὶ βυσσίνου, καὶ πορφυροῦ, καὶ σηρικοῦ, καὶ
κοκκίνου· καὶ πᾶν ξύλον θύϊνον, καὶ πᾶν σκεῦος ἐ-
λεφάντινον, καὶ πᾶν σκεῦος ἐκ ξύλου τιμιωτάτου,

(α) Ναῦμ Α', 9.
(1) Παρ' ἄλλοις, κλαύσονται αὐτήν.
(2) Παρ' ἄλλοις, κλαίουσι καὶ πενθοῦσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

13 καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ μαρμάρου, καὶ κινάμωμον, καὶ θυμιάματα, καὶ μύρον, καὶ λίβανον, καὶ ἔλαιον, καὶ οἶνον, καὶ σεμίδαλιν, καὶ σῖτον, καὶ πρόβατα, καὶ κτήνη· καὶ ἵππων, καὶ ῥεδῶν, καὶ σωμά-
14 των, καὶ ψυχὰς ἀνθρώπων. Καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας τῆς ψυχῆς σου ἀπῆλθεν ἀπὸ σοῦ, καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ λαμπρὰ ἀπώλετο ἀπὸ σοῦ, καὶ οὐκέτι οὐ μὴ εὑρῇς αὐτά.

Ἐπιμένει τῇ τροπολογίᾳ, ὡς ἐκφαντικωτέραν γενέσθαι ἀπὸ τῆς πορνικῆς ἀκαθαρσίας τὴν πλημμέλειαν. Τοὺς δαίμονας δὲ εἶναι τούτους ἔφημεν καὶ μακρόθεν ἑστηκότας. Αὐτοὶ γὰρ, ἅτε νόες, καὶ πρὸ τῆς πείρας τὴν διέκβασιν εἰδέναι οἱοίτε εἰσὶ, καὶ ὡς ἀπὸ καπνοῦ τοῦ πυρὸς τὴν ὑπόστασιν συνιέναι. Τὸ δὲ, *οὐαὶ*, θρηνῶδές ἐστιν ἐπίφθεγμα, εἰωθὸς ἐπὶ συμφοραῖς ἐνεργουμέναις ἐκφωνεῖσθαι· διὸ καὶ νῦν μάλιστα τῷ παγκοσμίῳ καὶ ἀθρόῳ συμπτώματι μετακεχείρισται. *Ἰσχυρὰν δὲ πόλιν* αὐτὴν φησιν, ὡς ἐξ ἀπείρου σχεδὸν χρόνου τὸ εἶναι διαλαβοῦσαν εἰς ἀδιάῤῥηκτον σύνδεσμον, καὶ οὔποτε ἐλπισθέντα διαλυθῆναι. *Καὶ οἱ ἔμποροι τῆς γῆς κ.λαύσουσιν.*] Ἐντεῦθεν ἀπαραγράπτως ἐκληπτέον τὰ χρησμῳδούμενα, οὐ περὶ Βαβυλῶνος, οὐ Ῥώμης τῆς παλαιᾶς, οὐ τῆς νέας, οὐκ ἄλλης τινὸς μιᾶς πόλεως· ἀλλὰ τοῦ σύμπαντος τούτου φθαρτοῦ κόσμου, καθ' ὃν οἱ τὰ πρόσκαιρα ἐμπορευόμενοι κλαυθμῷ καὶ πένθει ἁλώσονται, *ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράσει οὐκέτι. Γόμον* δὲ τὰ ἐπιτηδεύματα λέγει, περὶ ἃ εἰώθασιν οἱ ἄνθρωποι κατατρίβεσθαι. *Γόμον χρυσοῦ*, καὶ τὰ ἑξῆς.] Εἰς γόμον τὰ ἐπιτηδεύματα φέρει· ὧν, τῆς ἐπικαίρου ταύτης διαῤῥυείσης βιοτῆς, καθ' ἣν καὶ ἡ ἐμπορία τῶν ἐπιτηδευμάτων τὸ ἔμπρακτον ἀποφέρεται, οὐκ ἀπεικὸς τὸ πένθος ἐπεισιέναι. Τιμίαις δὲ ὕλαις ταῖς ἐν τῷ κόσμῳ τοὺς ἐμβιοῦντας αὐτῷ ἐξομοιοῖ, *ἀργύρῳ* μὲν καὶ *χρυσῷ*, τοὺς διαρκεῖ τῇ καρτερίᾳ τοὺς πειρασμοὺς ὑποφέροντας τοῦ βίου, καὶ αὐτοὺς εἰς πῦρ εἰωθότας δαπανᾶν, εἰ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρειττόνων ἐλπίδι ἐναθλοῦντες τὸ ἀλώβητον ἔχουσι· τοῦτο γὰρ καὶ ὁ χρυσὸς καὶ ὁ ἄργυρος πρὸς τὸ ἔνυλον ἀποφαίνονται πῦρ· *λίθῳ* δὲ *τιμίῳ* καὶ *μαργαρίταις*, τοὺς ἐπιδεικτικῶς τῇ κατ' ἀρετὴν κτήσει ἀποχρωμένους· οἳ τῇ τῶν περιστάσεων ἐφόδῳ τὸ λαμπρὸν ἀπημβλύνθησαν· *βύσσῳ* δὲ καὶ *πορφύρᾳ*, καὶ τοῖς ἀπὸ σηρῶν νήμασι, τοὺς ἐπὶ Χριστῷ τῷ ἄνθει τῶν ἐπαινουμένων καλλυνομένους· *ξυλίνοις* δὲ σκεύεσι καὶ τοῖς ἐκ ξύλου τοῦ τιμιωτάτου θυΐνου, καὶ ἐλέφαντος καὶ κινναμώμου, τοὺς ἀποξενωμένη τῇ τοῦ βίου ἀσκήσει καὶ τοῖς πολλοῖς ἀνεπιφάντῳ χρησαμένους, φανερωθέντος δὲ τοῦ ἡδίστου ἀτμοῦ τῶν κατορθωμάτων, εὐφροσύνην οὐδ' ὅσην εἰπεῖν καταλαβόντας πνευματικὴν, μετὰ τοῦ μηδὲ πυρὶ φθόνου ἁλῶναι οἴουστε εἶναι, ὡς οὐδὲ πυρὶ τῷ ἑνύλῳ κυνάμωμον· *χαλκῷ* δὲ καὶ *σιδήρῳ* καὶ *μαρμάρῳ*, τοὺς χρυσοειδεῖς μὲν, νόθῳ δὲ χρωμένους τῷ πλούτῳ, ὡς καὶ σίδηρος τὸ στιλπνὸν ἔχει, καὶ μάρμαρον τὸ σεβρὸν, ὧν ἁπάντων τὸ πῦρ δοκιμαστικόν· καὶ οὕτω μὲν τὰ διὰ πυρὸς τὸ δοκίμιον παρεχόμενα· *ἐλαίῳ* δὲ καὶ *οἴνῳ* καὶ *σεμιδάλει* καὶ *σίτῳ*, τοὺς ἐν ἱλαρότητι καὶ εὐφρονι καταστήματι ψυχῆς τὸ τοῦ βίου πέλαγος διανηχομένους· *προβάτοις* δὲ καὶ *κτήνεσι* παραβληθεῖεν ἂν οἱ τῷ θεοῦ ἀπειροπληθεῖ ἐλέῳ, ᾧ φησιν ὁ Δαυὶδ (α), σωζόμενοι· *ἵπποις* δὲ καὶ τοῖς διὰ τούτων ὀχήμασιν, ἃ ἡ Περσικὴ μὲν φωνὴ, *ἀγγάρους* καλεῖ, ἡ δὲ τῶν Ἑλλήνων, *δημοσίους ἱπποστάθμους*, ἡ δὲ τῶν Ῥωμαίων, *ῥέδη*, ἀφ' οὗ καὶ *ῥεδάριος* τέτριπται· διὸ κἀνταῦθα τὸ, *ῥεδῶν*, παρείληπται· ἐκείνους δηλοῦν βούλεται, οἳ τὴν ὁδὸν τῶν ἐντολῶν τοῦ Κυρίου δραμόντες, πρακτικῶς ἀσματίζουσι. *Καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας.*] *Ὀπώραν* καὶ τὸν καιρὸν οἶδε καλεῖν ἡ συνήθεια. Ἐπεὶ τοίνυν ἀπὸ τῆς φθορᾶς εἰς ἀφθαρσίαν μεταχωρεῖ τὰ ἀνθρώπινα ἀπαραλογίστως, ἄρα καὶ τὰ πρὸς

(α) Ψαλμ. ΛΕ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φθορὰν ἀποκλίνοντα συνεκλείψει ἀφανισθέντα εἰς ἅπαν. Τοῦτο δέ ἐπὶ πόλεως ἔτι ἐν τῷ ἑνεστῶτι ἐνθεωρουμένης συμβῆναι ἀδύνατον· κατὰ μὲν γὰρ τὸ μᾶλλον καὶ ἧττον, οὐδεὶς ἂν ἀντείποι μὴ συμβῆναι, κατὰ δὲ τὸ εἰς ἅπαν, οὔ.

15 Οἱ ἔμποροι τούτων, οἱ πλουτήσαντες ἀπ' αὐτῆς, ἀπὸ μακρόθεν στήσονται διὰ τὸν φόβον τοῦ βασα-
16 νισμοῦ αὐτῆς, κλαίοντες, καὶ πενθοῦντες, καὶ λέγοντες· Οὐαί, οὐαί, ἡ πόλις ἡ μεγάλη, ἡ περιβεβλημένη βύσσινον καὶ πορφυροῦν καὶ κόκκινον, καὶ κεχρυσωμένη ἐν χρυσίῳ καὶ λιθῳ τιμίῳ, καὶ μαργαρίταις· ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦ-
17 τος. Καὶ πᾶς κεβερνήτης, καὶ πᾶς ἐπὶ τῶν πλοίων (1) πλέων, καὶ ναῦται, καί ὅσοι τὴν θάλασσαν
18 ἐργάζονται, ἀπὸ μακρόθεν ἔστησαν, καί ἔκραζον, βλέποντες τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, λέγον-
19 τες· Τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ; Καὶ ἔβαλον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ἔκραζον, κλαίοντες καὶ πενθοῦντες, καὶ λέγοντες· Οὐαί, οὐαί, ἡ πόλις ἡ μεγάλη, ἐν ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες τὰ πλοῖα ἐν τῇ θαλάσσῃ ἐκ τῆς τιμιότητος αὐτῆς, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη.

Ἐμπόρους, δυνάμεις θείας, ἢ δαίμονας νοητέον, οἳ συνεργοὶ τοῖς οὐρανοῖς πρὸς ὅπερ ἑκατέροις τὸ καταθύμιον. Πόῤῥωθεν δὲ τούτοις ἑκατέροις ἡ στάσις διὰ τὸν φόβον· ἀλλὰ τοῖς μὲν ἀγγέλοις, διὰ τὸ τοῦ κριτοῦ αὐστηρὸν, ὅπερ ἡ τῶν ἁμαρτωλῶν ἀπείθεια προεπόρισε· τὸν φόβον δὲ τοῖς δαίμοσιν ἡ κοινωνία τῆς τιμωρίας τῶν ἁμαρτωλῶν ἐμποιήσει. *Οὐαί, οὐαί, ἡ πόλις ἡ μεγάλη, ἡ περιβεβλημένη βύσσινον.*] Ἀπὸ τῶν γνωρίμων τῶν ἐφυστεριζόντων παρέχει τὴν γνῶσιν. Ἐπεὶ οὖν γνώριμος ἡ Βαβυλὼν, πολλῷ ἐξυβρίσασα πλούτῳ, ὑπ' ὄψιν ἄγει τὰ πάθη αὐ-

(1) Κοινῶς, ἐπὶ τῶν πλοίων ὁ ὅμιλος. Παρ' ἄλλοις, καὶ πᾶς ὁ ἐπὶ τόπον πλέων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

τῆς, διὰ τῶν ἐπ' αὐτῇ θρήνων τὸ μέγεθος ὑπογράφων τῆς συμφορᾶς, ὅπερ πείσεται ἡ τὸ πρὶν αὐχοῦσα ἐπὶ βασιλικῷ ἀξιώματι. Καὶ οὐ μόνον τῷ πλούτῳ καὶ τῇ τούτου ἀπωλείᾳ τὸ πένθος παριστᾷ· ἀλλὰ καὶ τῷ τάχει τῆς διαφθορᾶς, τὸν ἐξ αἰῶνος πλοῦτον ἡμέρας βραχείας τῷ διαστήματι ἀπολωλεκυῖαν· ἡ γὰρ τοῦ Κυρίου δευτέρα παρουσία, ὡς ἀστραπὴ ἐπελεύσεται τάχει, τὸν πολύμοχθον ἀφανίζουσα βίον. *Καὶ πᾶς κυβερνήτης, καὶ πᾶς ἐπὶ τὸν πλοῖον πλέων.*] *Θαλάσσῃ* τροπικῶς ὁ παρὼν βίος παρεβλήθη, ὡς πολλοῖς καὶ αὐτὸς πράγμασι κυμαινόμενος, ὑπὸ πνεύμασι μάλιστα δαιμονικῆς ἐπηρείας. Εἰκότως δὲ καὶ *πλοῖα* ἐν αὐτῷ ὑπειλήφαμεν τὰς τῶν ἐπισυμβαινόντων πραγμάτων ἐπιφοράς, αἷς ὥσπερεὶ πλοίοις οἱ ἄνθρωποι χρώμενοι, τὸ τῆς ἑαυτῶν ζωῆς διαπλέουσι πέλαγος. *Κυβερνήτας* δὲ, τούτους λογιστέον, τοὺς ἀσφαλῶς τῷ βίῳ χρωμένους· *ναύτας* δὲ καὶ *πλωτῆρας* καὶ *θαλαττίους ἐργάτας*, οὓς καὶ *θαλαττίους* σοφός τις ἐρεῖ, τοὺς περὶ τὰ τοῦ πολυκύμονος τοῦδε τοῦ κόσμου κεκμηκότας ἀνθρώπους· οἳ πάντες, τὸ ἀπαραλόγιστον καὶ πάντως ἐσόμενον τοῦ βίου τούτου τέλος ἐννοηθέντες, καὶ πρὶν ἐπιστῇ, ἐφυλάξαντο· τοῦτο γὰρ τὸ *μακρόθεν ἑστῶναι* παρέχει νοεῖν. Καὶ ὅτι τοῖς ἀτόποις ἐπιτηδεύμασι τῶν ἐνθαλαττευόντων ἀπαραιτήτως ἐπακολουθήσει ἡ τιμωρία, ὥσπερ καπνῷ τὸ πῦρ· διὸ καὶ *καπνῷ* παρείκασε τὴν προσδοκίαν· δηλοῖ ὁ σωτὴρ αὐτὸς, λέγων· *Ὥσπερ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου* (α). *Πυρὶ* δὲ τὸ ἐξεταστικὸν πρὸς ἀκρίβειαν τῶν πεπραγμένων ἀφωμοίωται. Εἰκότως δὲ καὶ καταπληκτικὸν οὗτοι κεκράξονται, καὶ τὰ ἀκόλουθα τῶν θρηνῳδούντων ὑποστήσονται, χοῦν καταχεάμενοι τῶν κεφαλῶν, καὶ εἴτι ἄλλο τοῖς θρηνῳδοῦσιν ἀκόλουθον ἐκτελοῦντες.

(α) Ματθ. ΚΔ', 27.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ;] Οὐκ ἔστιν ἄλλην πόλιν εὑρεῖν, ὅτι μηδὲ ἄλλον δημιουργόν, μηδὲ ἄλλον κόσμον· Βαβυλῶνα δὲ ἄλλην, καὶ ἐν Αἰγύπτῳ ἔστιν εὑρεῖν, καὶ ταύτῃ ὁμοίαν ἐν αὐτῇ τῇ Αἰγύπτῳ κατὰ τὸ Ἡρακλεωτικὸν τοῦ Νείλου στόμα τὴν Ἀλεξάνδρειαν, καὶ κατ' Εὐρώπην περὶ τὰ δυτικώτερα καὶ ἀρκτῷα Ῥώμην, καὶ κατὰ τὰ ἀνατολικώτερα, τὴν ἐπὶ Βυζαντίῳ τοῦ Κωνσταντίνου ἐπώνυμον. *Ἐν ᾗ ἐπλούτησαν πάντες.*] Ἐντεῦθεν ἀναμφίβολον, ὅτι οὐ περὶ πόλεως ὁ λόγος μιᾶς, ἀλλὰ περὶ παντὸς τοῦδε τοῦ φθαρτοῦ συστήματός ἐστι λαβεῖν. Οὔτε γὰρ Βαβυλὼν, οὐ Ῥώμη, οὐκ ἄλλη πόλις ἐκ πλοίων πορείας μόνον πλουτεῖ, εἰ μὴ μόνος οὗτος ὁ κόσμος. Ἀλληγορικῶς γὰρ πλουτεῖ τὸν τῷ ὄντι πλοῦτον διὰ ψυχῶν ἀνθρώπων· οἳ, καθάπερ διὰ πλοίων ἀμετόχως ἁλμυρᾶς ἐπικλύσεως τὸν κοσμικὸν σάλον διανέοντες, ἀνενδεῆ ταύτην τὴν ῥηθεῖσαν πόλιν, τὸν κόσμον δηλαδὴ, κατεστήσαντο τῆς ἀπὸ τῶν ἐντίμων ἐμπορίας. Διὸ καὶ ὡς χωρίον ὑπάρχουσαν, καὶ ἔδαφος σωτηρίας, ἀφ' οὗ καὶ ἀμοιβὰς εὕραντο τῶν πόνων, θρῆνον συνεκρότησαν, θεασάμενοι ἀφανισμῷ παραπεμφθεῖσαν.

20 Εὐφραίνου ἐπ' αὐτῇ, οὐρανὲ, καὶ οἱ ἅγιοι, καὶ οἱ ἀπόστολοι, καὶ οἱ προφῆται, ὅτι ἔκρινεν ὁ θεὸς τὸ κρίμα
21 ὑμῶν ἐξ αὐτῆς. Καὶ ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλον μέγαν, καὶ ἔβαλεν εἰς τὴν θάλασσαν, λέγων· Οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ με-
22 γάλη πόλις, καὶ οὐ μὴ εὑρεθῇ ἔτι. Καὶ φωνὴ κιθαρῳδῶν καὶ μουσικῶν καὶ αὐλητῶν καὶ σαλπιστῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι· καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι· καὶ φωνὴ μύλου
23 οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι· καὶ φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι· καὶ φωνὴ νυμφίου καὶ νύμφης, οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι· ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς, ὅτι ἐν τῇ φαρμακείᾳ σου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

24 ἐπλανήθησαν πάντα τὰ ἔθνη. Καὶ ἐν αὐτῇ αἵματα προφητῶν καὶ ἁγίων εὑρέθη, καὶ πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς.

Καὶ ἀπὸ τούτου περὶ τοῦ κόσμου τὸν χρηματισμὸν εἶναι, οὐ περὶ μιᾶς πόλεως, βεβαιούμεθα. Τὸ δὲ μετὰ τὸν θρῆνον εἰς εὐφροσύνην τραπῆναι, οὐ τῶν ἐν τῷ κόσμῳ τὸ δράμα, ἀλλὰ τῶν οὐρανίων, ὡς ἂν ἤδη, τοῦ ἐναγωνίου τόπου ἀφανισθέντος, οἱ ἐν τύπῳ τὸν νικητήριον ἀναδησάμενοι στέφανον, ὅσον ἐν προφήταις, ὅσον ἐν ἀποστόλοις, ἐν ὁσίοις, ἐν ἱεράρχαις, καὶ εἴτι λοιπὸν σύστημα τῶν εὐαρεστησάντων θεῷ, χαρᾶς ἀληκτου τὸ ἀπὸ τοῦδε μετάσχοιεν, ἀκόπου καὶ ἀπραγματεύτου ζωῆς ἠξιωμένοι πρὸς τοῦ κατ' ἀξίαν εἰδότος κρῖναι, τουτέστι, βραβεύειν τῶν πόνων τὰ ἔπαθλα. *Καὶ ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλον μέγαν.*] Διαφόροις τροπολογίαις ὑποβάλλει τὴν τοῦ φθαρτοῦ κόσμου συντέλειαν. Διὸ πρὸς ταῖς εἰρημέναις καὶ ταύτην συνεπιφέρει, *μύλῳ* ἀπεικάζων αὐτὸν, ὁρμήματι καταδύνοντα εἰς ὑγρὰν οὐσίαν. Οὕτω δέ φησι τὸν τοιοῦτον καταδύνειν ἀθρόον, ὡς μηκέτι λείψανον αὐτοῦ ἐνορᾶσθαι· καὶ τὸν αὐτὸν τρόπον καὶ τοῦτον εἰς παντελῆ ἀδηλίαν χωρῆσαι. Καὶ ἵνα τοῦτο ἐκδηλότερον ᾖ, προστίθησι καὶ τὰ ἐν αὐτῷ ἐξ αἰῶνος ἐμπολιτευθέντα, τρυφῆς παραίτια καὶ ἀσωτίας, ὄχλον ἀνερεθίζοντα. *Ὅτι οἱ ἔμποροί σου.*] *Ἐμπόρους*, τοὺς συγκροτοῦντας τὸ ἐπὶ γῆς τοῦτο λέγει πανηγύριον· διὸ καὶ *μεγιστᾶνάς* φησιν· οὐ γὰρ πενήτων τὸ ἀβροδίαιτον, οὐδὲ μιᾶς ἐξουσίας τὸ διαφόροις γοητείαις ὥσπερ φαρμάκοις πάντα τὰ ἔθνη φαρμάσειν, ἢ δυναστείαις καταδουλουμένους, ἢ τυραννικῇ βίᾳ ἀφανιζομένους· ἀφ' ἧς καὶ αἵματα τῶν ἀνακειμένων θεῷ χειμάρρου δίκην ἐχέθη, ὑπὸ μὲν Ἰουδαίων, προφητῶν, ὑπὸ δὲ Ἑλλήνων, τῶν ἁγίων μαρτύρων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΝΓ'.

Περὶ τῆς τῶν ἁγίων ὑμνῳδίας, καὶ τοῦ τριπλοῦ ἀλληλούϊα, ὅπερ ἔψαλλον ἐπὶ τῇ καθαιρέσει Βαβυλῶνος.

ΚΕΦ. ΧΙΧ, 1 Μετὰ ταῦτα ἤκουσα ὡς φωνὴν μεγάλην ὄχλου πολλοῦ ἐν τῷ οὐρανῷ, λεγόντων· Ἀλληλούϊα· ἡ σωτηρία καὶ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ
2 δύναμις Κυρίῳ τῷ θεῷ ἡμῶν (1)· ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ· ὅτι ἔκρινε τὴν πόρνην τὴν μεγάλην, ἥτις ἔφθειρε τὴν γῆν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐξεδίκησε τὸ αἷμα τῶν δούλων
3 αὐτοῦ ἐκ χειρὸς αὐτῆς. Καὶ δεύτερον εἴρηκεν (2)· Ἀλληλούϊα· καὶ ὁ καπνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺς
4 αἰῶνας τῶν αἰώνων. Καὶ ἔπεσον οἱ πρεσβύτεροι οἱ εἰκοσιτέσσαρες, καὶ τὰ τέσσαρα ζῶα, καὶ προσεκύνησαν τῷ θεῷ, τῷ καθημένῳ ἐπὶ τῷ θρόνῳ, λέγοντες· Ἀμήν· Ἀλληλούϊα.

Τὸ, *ἀλληλούϊα*, σημαίνει τὸ, ὑμνήσατε, αἰνέσατε τὸν θεόν. Εὐχαριστήριον τοίνυν ᾄδουσιν ᾠδὴν ἐπὶ τῇ δικαιοκρισίᾳ τοῦ θεοῦ, ὅτι ἀπροσωπολήπτως ὑπεξῆλθε τῇ πόρνῃ τῇ μεγάλῃ. Λέγει δὲ τοὺς ἐν τῷ κόσμῳ τούτῳ. *Καὶ δεύτερον εἴρηκεν· Ἀλληλούϊα.*] Ἐπὶ τῷ πρώτῳ καὶ δεύτερον *ἀλληλούϊα*, καὶ ἐπὶ τούτῳ καὶ τρίτον, καὶ ἔτι κατωτέρω, καὶ τῇ τοῦ *ἀλληλούϊα* τρισσῇ ἀναφωνήσει, τὴν τρισυπόστατον ἀνυμνεῖσθαι Τριάδα ὑπ' αὐτῶν θεωρήσεις. Τίνες δὲ οἱ πρεσβύτεροι καὶ τὰ τέσσαρα ζῶα, προτεθεώρηται. *Καπνὸς* δὲ ἀνέβη, τουτέστιν, ἡ ἀποκειμένη τῆς τιμωρίας ἐλπὶς ἐξ αἰῶνος ἀποκρεμαμένη τοῖς ἀξίως τῶν ἑαυτῶν πονηρῶν ἔργων ληψομένοις τὴν ἀμοιβήν.

---

(1) Παρ' ἄλλοις, ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ θεοῦ ἡμῶν. (2) Παρ' ἄλλοις, εἴρηκαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

5 Καὶ φωνὴ ἀπὸ τοῦ θρόνου ἐξῆλθε, λέγουσα· Αἰνεῖτε
τὸν θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ, καὶ οἱ φο-
6 βούμενοι αὐτὸν, οἱ μικροὶ καὶ οἱ μεγάλοι. Καὶ
ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ, καὶ ὡς φωνὴν
ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῶν ἰσχυρῶν,
λέγοντας (1)· Ἀλληλούϊα· ὅτι ἐβασίλευσε Κύριος
ὁ θεὸς ἡμῶν, ὁ παντοκράτωρ.

Θρόνος τοῦ θεοῦ, τὰ Σεραφείμ. Εἰ οὖν ἀπὸ τούτου ἡ φωνὴ, ἄρα καὶ ἀπὸ τῶν Σεραφείμ. Ἢ, εἰ καὶ μὴ τὸν θρόνον τις ἐθέλοι νοεῖν τὰ Σεραφείμ, ἀλλὰ καὶ οὕτως ἀπὸ τῶν Σεραφείμ ὁ αἶνος. *Καὶ ὡς φωνὴν ὑδάτων πολλῶν.*] Τὴν φωνὴν ταύτην ἀπεικάζει φωνῇ πολλοῦ ὄχλου καὶ ὑδάτων καταῤῥήξει καὶ βροντῶν ἰσχυρᾷ διηχήσει, τὸ διαπρύσιον τοῦ ὕμνου τῶν οὐρανίων καὶ ἀναριθμήτων παραδηλῶν δυνάμεων.

ΚΕΦΑΛΑΙΟΝ ΝΖ'.

Περὶ τοῦ μυστικοῦ γάμου, καὶ τοῦ δείπνου τοῦ ἀρνίου.

7 Χαίρωμεν καὶ ἀγαλλιώμεθα, καὶ δῶμεν τὴν δόξαν
αὐτῷ· ὅτι ἦλθεν ὁ γάμος τοῦ ἀρνίου, καὶ ἡ γυνὴ
8 αὐτοῦ ἡτοίμασεν ἑαυτήν. Καὶ ἐδόθη αὐτῇ, ἵνα περι-
βάληται βύσσινον λαμπρὸν καὶ καθαρόν· (τὸ γὰρ
9 βύσσινον, τὰ δικαιώματα τῶν ἁγίων ἐστί.) Καὶ
λέγει μοι· Γράψον· Μακάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ
γάμου τοῦ ἀρνίου κεκλημένοι. Καὶ λέγει μοι· Οὗ-
10 τοι οἱ λόγοι ἀληθινοί εἰσι τοῦ θεοῦ. Καὶ ἔπεσον
ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ, προσκυνῆσαι αὐτῷ·
καὶ λέγει μοι· Ὅρα, μή· σύνδουλός σου εἰμὶ καὶ

(1) Κοινῶς, λεγόντων. Παρ' ἄλλοις, λέγοντες.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ἀδελφῶν σου, τῶν ἐχόντων τὴν μαρτυρίαν τοῦ Ἰησοῦ· τῷ θεῷ προσκύνησον· ἡ γὰρ μαρτυρία τοῦ Ἰησοῦ ἐστι τὸ πνεῦμα τῆς προφητείας.

Ὁ ἐν τῷ παρόντι πνευματικὸς γάμος τοῦ Κυρίου ἐπὶ τῇ πρὸς τὴν ἐκκλησίαν μνηστείᾳ ἐστί, καὶ οὕτω τέλειος γάμος. Καὶ τοῦτο αἰνίττεται ὁ θεῖος ἀπόστολος, Κορινθίοις γράφων· *Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ* (α). *Καὶ ἡ γυνὴ αὐτοῦ.*] *Γυναῖκα*, τὴν ἐκκλησίαν ἀλληγορίας τρόπῳ καλεῖ· διὸ καὶ γάμος εἰσάγεται υἱοῦ, καὶ παρθένοι λαμπαδηφόροι, ὧν αἱ μὲν διαρκεῖ χρησάμεναι τῷ ἐλαίῳ, τῆς εἰς τὸν νυμφῶνα εἰσόδου ἠξίωνται· αἱ δὲ, σπάνῃ τούτου ληφθεῖσαι, θυραυλεῖν κατεκρίθησαν (β)· ὥσπερ ἀμέλει καὶ ὁ μὴ γάμου ἔνδυμα ἠμφιεσμένος, ἐκπτωτος τῆς γαμικῆς ἀπεφάνθη τραπέζης (γ). Δεδόσθαι δέ φησι *τῇ γυναικὶ*, τουτέστι, τῇ ἐκκλησίᾳ, τὸ *βύσσινον* ἐνδύσασθαι, οἱονεὶ τὸ λαμπρόν· τοιοῦτον γὰρ καὶ ἡ *βύσσος*, φλοιὸς δένδρου Ἰνδικοῦ, εἰς λίνον κατειργασμένος. Τοῦ λαμπροῦ τοίνυν διὰ τοῦ βυσσίνου δηλωθέντος, ὃ καὶ αὐτὸ ἡ προκειμένη ἀποκάλυψις παριστᾷ, *τὸ λαμπρὸν*, εἰποῦσα, *καὶ καθαρὸν*, τί ἂν ἄλλο ἐννοηθείη, ἢ αἱ ἀρεταὶ, αἷς τὸ λαμπρὸν καὶ λεπτὸν τοῖς διανοήμασιν ἐξυφαίνεται τῶν θείων δικαιωμάτων; *Μακάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου τοῦ ἀρνίου κεκλημένοι.*] Καὶ δή γε, εἰ καὶ μετὰ τὴν κλῆσιν ἀπιόντες ὡς δεῖ· πολλοὺς γὰρ ἴσμεν ἐν τῷ εὐαγγελίῳ κεκλημένους, ὀλίγους δὲ τοὺς ἐκλεκτούς (δ). Οὐ γὰρ ἡ πρὸς τὴν κλῆσιν ὁρμὴ ἐξαρκεῖ, ἂν μὴ καὶ μεταχείρησις εὔδρομος ἢ τῇ προθέσει. *Ὅρα μή.*] Μὴ προσκύνει με, φησὶν ὁ ἄγγελος, ὡς τὰ μέλλοντα προλέγοντα· οὐ γὰρ ἐμὸν τοῦτο τῆς προφητείας τὸ γνώρισμα, ἀλλὰ τῆς διὰ τὸν Χριστὸν ὁμολογίας τῶν συνδούλων μου· αὕτη γάρ ἐστι χορηγὸς τοῦ

(α) Β' Κορ. ΙΑ', 2. (β) Ματθ. ΚΕ', 1—13.
(γ) Ματθ. ΚΒ', 11—13. (δ) Ματθ. Κ', 16. ΚΒ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προφητικοῦ πνεύματος. *Ἡ γὰρ μαρτυρία τοῦ Ἰησοῦ ἐστι τὸ πνεῦμα τῆς προφητείας.*] Ἀντὶ τῆς ἀμοιβῆς τῆς διὰ Χριστὸν μαρτυρίας, τὸ προφητικόν ἐστι χάρισμα, ὡς ἔστι καὶ ὅμοιον τῇ αὐτῇ, φησὶν ὁ ἄγγελος. Τὸ προφητεύειν γὰρ διὰ τοὺς συνδούλους μου τοὺς μάρτυρας παρεσχέθη.

ΚΕΦΑΛΑΙΟΝ ΝΗ'.

Πῶς τὸν Χριστὸν ὁ εὐαγγελιστὴς ἔφιππον μετὰ δυνάμεων ἀγγελικῶν ἐθεάσατο σὺν φόβῳ.

11 Καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ, ἰδοὺ, ἵππος λευκός, καὶ ὁ καθήμενος ἐπ' αὐτὸν, καλούμενος Πιστὸς καὶ Ἀληθινός, καὶ ἐν δικαιοσύνῃ κρίνει
12 καὶ πολεμεῖ· οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρὸς, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλά· ἔχων ὄνομα γεγραμμένον, ὃ οὐδεὶς οἶδεν, εἰ μὴ αὐτός·
13 καὶ περιβεβλημένος ἱμάτιον βεβαμμένον αἵματι· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ· Ὁ Λόγος τοῦ
14 θεοῦ. Καὶ τὰ στρατεύματα, τὰ ἐν τῷ οὐρανῷ, ἠκολούθει αὐτῷ ἐπὶ ἵπποις λευκοῖς, ἐνδεδυμένοι βύσσινον λευκὸν, καθαρόν.

Τὸ *ἠνεῳχθαι τὸν οὐρανὸν* δηλοῖ τὴν τοῦ ἐλπιζομένου κριτοῦ παρουσίαν. Ὁρᾷ δὲ αὐτὸν ἔποχον *ἵππῳ λευκῷ*, στρατηγικῶς ἐνεσκευασμένον, ὃν καὶ *Πιστὸν* φησι καὶ *Ἀληθινὸν*, καὶ κρίνειν ἐν δικαιοσύνῃ, καὶ πολεμεῖν· *ἵππῳ* μὲν, διὰ τὸ τάχος τῆς ἐπελεύσεως· *λευκῷ* δὲ, διὰ τὸ φαιδρὸν καὶ ἀνεπισκίαστον τῶν κριμάτων, ὑπ' οὐδεμιᾷ δουλουμένων προσωποληψίᾳ· *πιστὸς* δὲ καὶ *ἀληθινὸς* ὁ ἀναβάτης, περὶ οὗ καὶ Παῦλος φησί· *Πιστὸς μένει, ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται* (α). *Οἱ δὲ ὀφθαλμοὶ*

(α) Β' Τιμ. Β', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ.] Οὐχ ὅτι τοιοῦτος τῷ εἴδει περιγέγραπται ὁ θεὸς, ὁ τὸν οὐρανὸν πληρῶν, καὶ μηδενὶ τόπῳ περιοριζόμενος, καὶ δή γε πρὸς τούτοις καὶ διαφόροις εἴδεσι τοῖς θείοις ὑπτανόμενος προφήταις· ἀλλ' ὅτι δεῖ συγκαταβαίνειν τῇ ἀσθενείᾳ τῆς ἀνθρωπίνης κατανοήσεως. Ἀφ' οὗ καὶ δῆλον, ὡς οὐ σωματικοῖς χαρακτῆρσι διαστέλλεται ὁ θεὸς, τοῖς δὲ καιροῖς καὶ τοῖς πράγμασιν ἀφομοιούμενος τυγχάνει· ὥσπερ καὶ νῦν, ἐπεὶ κρίσεως καιρὸς, καὶ τῶν ἑκάστῳ βεβιωμένων ἡ κατ' ἀξίαν ἀπόδοσις πάρεστι, τοὺς ὀφθαλμοὺς αὐτοῦ *φλογὶ* ἀπεικάσθαι ὁρῶμεν *πυρὸς*, ἐχούσῃ πρὸς τῷ φωτιστικῷ καὶ τὸ καυστικόν· φωτιστικὸν μὲν, ἀγγέλοις καὶ δικαίοις, καυστικὸν δὲ, δαίμοσι καὶ ἁμαρτωλοῖς. *Καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλά.*] *Τὰ πολλὰ διαδήματα*, τῆς κατὰ πάντων ἐξουσίας ἐστὶ γνώρισμα, οὐρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· οὐρανίων μὲν, τῶν ἀγγελικῶν ταγμάτων· ἐπιγείων δὲ, τῶν ἐν ἁγίοις συστημάτων καὶ τῶν ἐν βασιλεῦσι σκήπτρων· καταχθονίων δὲ, ἐπεὶ νεκρῶν, ὥσπερ καὶ ζώντων, κυριεύει, κατὰ πάντων τὰ νικητήρια ἐπιφερόμενος. *Ὁ οὐδεὶς οἶδεν, εἰ μὴ αὐτός.*] Τὸ ἄγνωστον τοῦ ὀνόματος, τὸ τῆς οὐσίας αὐτοῦ ἀκατάληπτον σημαίνει. Ταῖς γὰρ οἰκονομίαις ὢν πολυώνυμος, ὡς ἀγαθὸς, ὡς ποιμὴν, ὡς ἥλιος, ὡς φῶς, ὡς ζωὴ, ὡς δικαιοσύνη, ὡς ἁγιασμὸς, ὡς ἀπολύτρωσις· καὶ ταῖς ἀποφάσεσιν ὁμοίως, ὡς ἄφθαρτος, ἀόρατος, ἀναλλοίωτος· τῇ οὐσίᾳ ἐστὶν ἀνώνυμος καὶ ἀνέφικτος, ἑαυτῷ μόνῳ σὺν τῷ πατρὶ καὶ τῷ πνεύματι γινωσκόμενος. *Ἱμάτιον βεβαμμένον αἵματι.*] *Ἱμάτιον* τοῦ Λόγου, ἡ ἄχραντος σὰρξ, ἡ βαφεῖσα ἐν τῷ τιμίῳ αὐτοῦ αἵματι. Ἀλλ' εἰκὸς ἔστί τινα ἐπαπορῆσαι, πῶς ὁ πρὸ μικροῦ ἀνώνυμος χρηματίσας, καὶ πᾶσιν ἄγνωστος κατὰ τὸ ὄνομα, νῦν ἐνταῦθα *Λόγος* ὀνομάζεται; Ἢ οὖν πρὸς ἔνδειξιν τῆς υἱϊκῆς ὑποστάσεως, καὶ τῆς ἀπαθοῦς ἐκ πατρὸς γεννήσεως ἐκληπτέον τοῦτο, καθάπερ καὶ ὁ ἡμέτερος λόγος ἐκ τοῦ ἡμετέρου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νοῦ πράσεισιν· ἢ τὸ πάντων τοὺς λόγους ἐν ἑαυτῷ φέρειν· ἢ τὸ ἐξαγγελεὺς εἶναι τῆς πατρικῆς σοφίας τε καὶ δυνάμεως. *Καὶ τὰ στρατεύματα τὰ ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ.*] Ἀρχιστράτηγος ὢν τῶν οὐρανίων δυνάμεων, ὡς αὐτὸς Ἰησοῦ τῷ τοῦ Ναυῆ ἐχρημάτισεν (α), εἰκότως ὁπαδοὺς κατὰ τὴν στρατηγίαν συμπληροῦντας τὰ τάγματα ἔσχηκε, τὰ νῦν μάλιστα ἐπὶ πόλεμον τῶν ἀσεβῶν ὁρμώμενα. Ταῦτα δὲ ἀνθρωπίνως διεσκεύασται ἐν τῇ ἀποκαλύψει, ὅτι μηδὲ ἄλλως ἦν δηλωθῆναι ταῦτα. Ἱππόται δὲ καὶ ἵπποις ἔποχοι λευκοῖς παρίστανται, *τῶν ἵππων* μὲν, τὸ ὀξὺ τῆς ἐπελεύσεως αἰνισσομένων, *τοῦ δὲ λευκοῦ*, τοῦ ἐν τοῖς ἵπποις, τὸ τοιούτοις ἐναγλαΐζεσθαι τὰ οὐράνια τάγματα. Καὶ δή γε καὶ αὐτοὶ οἱ ἀναβάται λευκὴν ἀμπεχόμενοι τὴν ἀπὸ βύσσου στολὴν ἐπιδείκνυνται· τί γὰρ τῇ οὐρανίῳ καὶ θείᾳ φατρίᾳ τῶν ἐνύλων τε καὶ γηΐνων ἐνθεωρηθείη ἂν ἁρμοδιώτερον;

15 Καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία δίστομος, ὀξεῖα, ἵνα ἐν αὐτῇ πατάξῃ τὰ ἔθνη· καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· καὶ αὐτὸς πατεῖ τὸν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς
16 τοῦ θεοῦ, τοῦ παντοκράτορος. Καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ ὄνομα γεγραμμένον· Βασιλεὺς βασιλέων, καὶ κύριος κυρίων.

Ἡ *ἐκ τοῦ στόματος διάττουσα ῥομφαία*, τὸ διὰ προστάγματος θείου δηλοῖ τοῖς ἀσεβέσι καὶ ἁμαρτωλοῖς ἐπαχθῆναι τὴν κόλασιν. *Ἀμφίστομον* δὲ *τὴν ῥομφαίαν*, διὰ τὸ ἑκατέρωθεν ὀργῆς καὶ ἐλέου χωρεῖν τὰς ἀπὸ τοῦ θείου τῶν καταφρονητῶν τιμωρίας· *ὀξεῖαν* δὲ, διὰ τὸ ἀμελητὶ τὸ δραστήριον ἐπιφέρειν. *Ἐν ῥάβδῳ σιδηρᾷ.*] *Ἡ σιδηρᾶ ῥάβδος*, οὐ ποιμαντικὴ, ἀλλὰ θραῦσιν ἔχουσα τῶν πηλίνων τὸν βίον καὶ πρὸς συντριβὴν ἑτοίμων. Τί οὖν ἐνταῦθα τὸ ποιμαντικὸν αὐτῇ δέδοται; Οὐκ ἀσκόπως,

(α) Ἰησ. Ε', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἶμαι· ἀλλ' ὅτι τὸ ποιμαίνειν καὶ θηρίοις προσπολεμεῖν περιγίνεται· καὶ διὰ τοῦτο καὶ σιδηρᾶς ῥάβδου χρεία, τοῖς ἀνθισταμένοις ἀξίως τὸν ὄλεθρον ἐπιφερούσης. *Πατεῖ δὲ τὸν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τοῦ θεοῦ* τίς ἕτερος, ἀλλ' ἢ ὁ Χριστός; Λυτὸς γὰρ διὰ τῆς κρίσεως καὶ ἀνταποδόσεως, τὸ πατρικὸν ἐκπληροῖ θέλημα. *Καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ.*] Τὸ *ἱμάτιον*, τὴν σάρκα αἰνίττεσθαι βούλεται· διὰ δὲ *τοῦ μηροῦ*, τὴν φύσιν τῆς σαρκὸς, ὡς ἀληθῶς ἀνθρωπίνης οὔσης αὐτῆς, καὶ οὐ κατὰ φαντασίαν· εἰς γὰρ παράστασιν τούτου λαμβάνεται παρὰ τῇ Γραφῇ ὁ *μηρός*. Δηλοῦν οὖν διὰ τούτου τῷ λόγῳ σκοπὸς, ὅτι ὁ καθ' ὑπόστασιν ἑνωθεὶς Λόγος ἀνθρώπων φύσει, καὶ σαρκικὴν ὑπομείνας γέννησιν ἐκ τῆς ἁγίας Παρθένου, οὐδὲν ἧττον παντοκράτωρ, ὡς οὐρανίων ἄρχων, καὶ ἐπιγείων, καὶ καταχθονίων, τῶν βασιλευσάντων κατὰ παθῶν, τῶν τὸ κῦρος καὶ τὸ κράτος ἐχόντων κατὰ τῆς ἁμαρτίας τῇ τοῦ αὐτοῦ Χριστοῦ συναντιλήψει.

17 Καὶ εἶδον ἕνα ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ· καὶ ἔκραξε φωνῇ μεγάλῃ, λέγων πᾶσι τοῖς ὀρνέοις τοῖς πετομένοις ἐν μεσουρανήματι· Δεῦτε, συνάχθητε
18 εἰς τὸ δεῖπνον τὸ μέγα τοῦ θεοῦ, ἵνα φάγητε σάρκας βασιλέων, καὶ σάρκας χιλιάρχων, καὶ σάρκας ἰσχυρῶν, καὶ σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ' αὐτῶν, καὶ σάρκας πάντων, ἐλευθέρων τε καὶ δούλων, καὶ μικρῶν καὶ μεγάλων. Καὶ εἶδον τὸ θηρίον, καὶ τοὺς βασιλεῖς τῆς γῆς, καὶ τὰ στρατεύματα αὐτῶν συνηγμένα, ποιῆσαι πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ.

Τὴν ἐναλλαγὴν τῶν φθαρτῶν πρὸς ἀφθαρσίαν, καὶ τὴν πρὸς ἀξίαν ἑκάστῳ ἀπονέμησιν τῶν ἔργων, ὡς ὑπὸ στρατηγικαῖς δυνάμεσιν ἐξοπλισθεῖσαν καὶ ἑτοιμασθεῖσαν, τὰ προκείμενα παριστᾷ· διὸ καὶ ἄγγελον θεῖον παράγει ἐν τῷ ἡλίῳ ἑστῶτα, θεῖον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κέλευσμα ἐμφανέστατα διοικούμενον, καὶ ὡς ἐν φωτὶ τὰ σωτήρια διαδηλοῦντα καὶ ἐξαγγέλλοντα. Καὶ ἐπειδὴ τὰ θεῖα διατιθέμενα κεχρημάτισται, τὸν ἥλιον ὄχημα τούτῳ ἡ ἀποκάλυψις ὑποτίθησιν· ὅτι μηδὲ τηλαυγέστερον ἄλλο τῶν ὁρατῶν εἶχεν ἐρεῖν ὁ θεῖον κέλευσμα εἰς ἄγγελον διατυπώσας· καὶ στρατοκήρυκος αὐτῷ ἐγχειρίζει ἐνέργειαν, δραστικωτέρᾳ προόδῳ πραγμάτων χρώμενος· τοῦτο γὰρ βούλεται παριστᾶν ἡ μετὰ κραυγῆς μεγάλη φωνή. Τὰ δὲ ἐν μεσουρανήματι ὄρνεα, τὰς τῶν ἁγίων λέγει ψυχάς· αἳ τῶν χαμαιζήλων ἀπαναστᾶσαι, κατὰ Παῦλον τὸν μέγαν, εἰς ἀπάντησιν τοῦ Κυρίου χωροῦσιν εἰς ἀέρα (α). *Δεῦτε, συνάχθητε εἰς τὸ δεῖπνον.*] *Δεῖπνον*, ἀλλ' οὐ πόλεμον λέγει τὴν μετὰ τῶν ἁμαρτωλῶν τῶν δικαίων ἀντεξέτασιν· ἐπεὶ καὶ οὕτως ἔχει· τίς γὰρ τῷ ἰσχυρῷ ἱκανὸς ἀντιφέρεσθαι; Εἰ δ' ἄρα καὶ πόλεμος εἴρηται, πρὸς τὴν τῶν ἁμαρτωλῶν ὁρμὴν εἰρῆσθαι φαμέν, οὐ πρὸς αὐτὸ τὸ ἔργον. *Δεῖπνον* δὲ ὅλως εἴρηται, τὸ προηγούμενον θέλημα τοῦ θεοῦ, ὃ καὶ *εὐδοκία* λέγεται· καὶ δεῖπνον τριπόθητον, τὸ πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν (β). *Ἵνα φάγητε σάρκας βασιλέων.*] *Βρῶσιν* καλεῖ, τὴν ἀξίαν τῶν βεβιωμένων ἀντέκτισιν, ὃ καὶ Χαναὰν οἶδεν ἐμποιεῖν τοῖς μὴ συναπαχθεῖσι· *σάρκας* δὲ *βασιλέων*, καὶ *χιλιάρχων*, καὶ *ἰσχυρῶν*, καὶ *ἵππων*, καὶ *ἀναβατῶν*, ἐκεῖνα λέγει τροπικῶς τὰ περὶ ἃ ἐμπαθῶς ἐσχήκασι σπουδῇ πάσῃ, ταῦτα μόνα οἰόμενοι τῆς ἀνθρωπίνης ζωῆς ὑπόστασιν, ἃ καὶ ἀφανισμῷ παραπεμφθείη τῇ τοῦ ἀφθάρτου βίου εὐωχικῇ ἐπιδημίᾳ. — ΑΛΛΩΣ ΕΚ ΤΩΝ ΤΟΥ ΑΝΔΡΕΟΥ. Διὰ τῆς *βρώσεως τῶν σαρκῶν* σημαίνεται ὁ τῶν σαρκικῶν πάντων ἀφανισμός, καὶ ἡ τῶν ἀρχικῶν ἐπὶ γῆς ὀνομάτων ἔκλειψις. *Ἵππων* δὲ μέμνηται, οὐχ ὡς αὐτῶν ἀναστησομένων, ἢ κριθησομένων· ἀλλὰ διὰ μὲν τούτων ἢ τοὺς θη-

(α) Κολοσ. Γ'. Α' Θεσ. Δ', 17.
(β) Α' Τιμ. Β', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λυμανεῖς, ἢ τοὺς ὑποβεβηκότας τῇ πονηρίᾳ, ἢ καὶ ἀμφότερα· διὰ δὲ τῶν *ἐπιβατῶν* αὐτῶν, τοὺς ἐν κακίᾳ προϋχοντας αἰνιττόμενος· ὃ καὶ παρακατιὼν ἐσαφήνησεν εἰπών, *ἐλευθέρων τε καὶ δούλων, μεγάλων καὶ μικρῶν*· διὰ μὲν τῶν *ἐλευθέρων* καὶ τῶν *μεγάλων*, τοὺς μᾶλλον ἐξουσιαστικῶς ἁμαρτάνοντας· διὰ δὲ τῶν *δούλων* καὶ *μικρῶν*, τοὺς ἧττον πλημμελοῦντας, ἢ κατὰ γνώμην, ἢ καθ' ἡλικίαν, ἢ κατὰ ἀσθένειαν. — *Καὶ εἶδον τὸ θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς, καὶ τὰ στρατεύματα αὐτῶν, καὶ τὰ ἑξῆς.*] Ἐπὶ μὲν τῆς κατὰ τὸν διάβολον καὶ τοὺς κατὰ τοῦ Κυρίου ἐν πολέμοις τῷ διαβόλῳ συστρατευομένους συμβολογραφίας, πληθυντικῶς εἰσάγει βασιλέων κατάλογον καὶ τῶν ὑπ' αὐτῶν στρατευμάτων, διὰ τὸ πολυσχιδὲς τῆς ἁμαρτίας καὶ πολύγνωμον· ἐπὶ δὲ τῆς μετὰ Χριστοῦ, ὃν *ἔποχον ἵππῳ* προσαγορεύει, ἑνικῶς μέμνηται τοῦ ἑπομένου αὐτῷ πλήθους, *στράτευμα* φήσας, διὰ τὸ μοναδικὸν τοῦ θελήματος αὐτοῦ καὶ τῆς γνώμης, τῆς πρὸς τὸν θεὸν Λόγον, καὶ τῆς πρὸς αὐτὸν εὐαρεστήσεώς τε καὶ κατορθώσεως.

ΚΕΦΑΛΑΙΟΝ ΝΘ'.

Περὶ τοῦ Ἀντιχρίστου καὶ τῶν σὺν αὐτῷ βαλλομένων εἰς γέενναν.

20 Καὶ ἐπιάσθη τὸ θηρίον, καὶ ὁ μετ' αὐτοῦ ψευδοπροφήτης, ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ, ἐν οἷς ἐπλάνησε τοὺς λαβόντας τὸ χάραγμα τοῦ θηρίου, καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ· ζῶντες ἐβλήθησαν οἱ δύο εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν καιο-
21 μένην ἐν θείῳ. Καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, τῇ ἐξελ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θούσῃ ἐκ τοῦ στόματος αὐτοῦ· καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.

Θηρίον, οἱ μὲν τὸν διάβολον ἐξεδέξαντο· οἱ δὲ, τὸν Ἀντίχριστον. *Καὶ ἐπιάσθη τὸ θηρίον καὶ ὁ μετ' αὐτοῦ ψευδοπροφήτης.*] Εἰ καὶ τῷ σωτῆρι Χριστῷ οὗτοι σὺν τοῖς πειθαρχήσασιν αὐτοῖς βασιλεῦσι καὶ ἄρχουσιν ἀντετάξαντο· ἀλλ' ἀμφότεροι ἡττηθέντες, ὅ,τε Ἀντίχριστος καὶ ὁ ψευδοπροφήτης, ὁ σημείοις καὶ τέρασι ποιήσας τὸν ἀπατεῶνα εὐπαράδεκτον, ὑπὸ τῆς θείας ὀργῆς καταλαμβάνονται. *Καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν.*] Τὸ ἀργίαν καὶ ἀπραξίαν σχεῖν τῶν πονηρῶν ἐπιτηδευμάτων τὴν σύνθετον φύσιν μετὰ τὴν διάλυσιν, *ἀποκτανεῖν* φησι· τοῦτο δὲ ἡ ἁπλῆ καὶ ἀσύνθετος οὐκ οἶδεν· οὐδὲ μετὰ τὴν κατάκρισιν τῶν ἐθίμων ἐξίστασθαι, ἅτε συνουσιωμένων αὐτῇ τῶν πρὸς ἃ τροπὴν ἔσχεν. *Καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν.*] *Ὄρνεα*, τὰς ἀεροπόλους ψυχὰς καλεῖν βούλεται, ἃς καὶ αὐτὰς οἶδε τῇ παραθέσει τῶν σπουδαίων τε καὶ μὴ ἑκατέρων ἐνεργημάτων ὥσπερεὶ κόρον λαβεῖν· προσκορὴς γὰρ τοῖς ἁγίοις καὶ ἐπαχθὴς πᾶσα σαρκικὴ κίνησις.

ΚΕΦΑΛΑΙΟΝ Ξ'.

Ὅπως ὁ σατανᾶς ἐδέθη ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας μέχρι τῆς συντελείας· καὶ περὶ τῶν χιλίων ἐτῶν.

ΚΕΦ. ΧΧ, 1 Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα τὴν κλεῖδα τῆς ἀβύσσου, καὶ ἅλυ-
2 σιν μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ. Καὶ ἐκράτησε τὸν δράκοντα, τὸν ὄφιν τὸν ἀρχαῖον, ὅς ἐστι διάβολος καὶ σατανᾶς (1)· καὶ ἔδησεν αὐτὸν χίλια ἔτη.

(1) Παρ' ἄλλοις προστίθεται ἐνταῦθα: ὁ πλανῶν τὴν οἰκουμένην ὅλην.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

3 Καὶ ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλεισε καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ πλανᾷ ἔτι τὰ ἔθνη, ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· καὶ μετὰ ταῦτα δεῖ αὐτὸν λυθῆναι μικρὸν χρόνον.

ΑΝΔΡΕΟΥ. Ἐνταῦθα τὴν ἐν τῷ δεσποτικῷ πάθει γεγενημένην τοῦ διαβόλου διηγεῖται καθαίρεσιν· ἐν ᾗ τὸν δοκοῦντα εἶναι ἰσχυρὸν, ὁ ἰσχυρότερος αὐτοῦ Χριστὸς, ὁ θεὸς ἡμῶν, δήσας, ἡμᾶς, τὰ σκύλα αὐτοῦ, ἐκ τῶν χειρῶν αὐτοῦ ἐλυτρώσατο (α), καταδικάσας αὐτὸν ἐμβληθῆναι εἰς τὴν ἄβυσσον. Τοῦτο δὲ δείκνυται ἐκ τῶν δαιμόνων, τῶν παρακαλούντων αὐτὸν, μὴ πεμφθῆναι εἰς τὴν ἄβυσσον (β). Ὅτι δὲ δέδεται, τεκμήριον καὶ ὁ τῆς εἰδωλολατρείας ἀφανισμὸς, καὶ τῶν εἰδωλικῶν ναῶν ἡ καθαίρεσις, καὶ τῶν ἐπιβωμίων λύθρων ἡ ἔκλειψις, καὶ ἡ παγκόσμιος τοῦ θείου θελήματος ἐπίγνωσίς τε καὶ ἐκπλήρωσις. Ὁ μέγας δὲ Ἰουστῖνος φησὶν, ἐν τῇ πρώτῃ τοῦ Χριστοῦ παρουσίᾳ γνῶναι τὸ διάβολον, ὅτι καταδεδίκασται εἰς τὴν ἄβυσσον καὶ εἰς τὴν τοῦ πυρὸς γέενναν. Δυνατὸν τοίνυν, ὡς οἶμαι, διὰ τῶν προλεχθέντων καὶ τὴν τοῦ Χριστοῦ κατὰ τοῦ διαβόλου νοεῖσθαι ἀπόφανσιν. *Ἄγγελον* δὲ τῇ τοιαύτῃ ἀποφάνσει διακονοῦντά φησιν, ἵνα δείξῃ καὶ τῶν λειτουργικῶν δυνάμεων τοῦτον ἥττονα κατὰ δύναμιν, καὶ μάτην κατὰ τῆς τῶν πάντων κρατούσης ἀρχῆς θρασυνόμενον. — *Ἔχοντα τὴν κλεῖδα τῆς ἀβύσσου, καὶ ἅλυσιν μεγάλην ἐπὶ τὴν χεῖρα·*] *Κλεῖδα*, τὴν ἀσφαλῆ καὶ ἀπρόϊτον τῶν κατακρίτων κατοχὴν λέγει· *ἄβυσσον* δὲ, τὴν ἀπέραντον διέκδοσιν· *ἅλυσιν* δὲ, τὴν καθεκτικὴν αὐτοῦ τῆς πονηρίας ἐνέργειαν. *Καὶ ἔδησεν αὐτὸν χίλια ἔτη.*] *Χίλια ἔτη*, οὐ πάντως τὰ τοσαῦτα τῷ ἀριθμῷ νοεῖν εὔλογον· ἀλλ' ἢ τῶν πολλῶν, ἢ τοῦ τελείου σημαντικὸν εἶναι τὸν τῶν χιλίων ἀριθμὸν εἰκάζομεν. Πολλὰ μὲν γὰρ ταῦτα πρὸς τὸ κηρυ-

(α) Λουκ. ΙΑ΄, 21. 22. (β) Λουκ. Η΄, 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χθῆναι πανταχοῦ ἐν ὅλῳ τῷ κόσμῳ τὸ εὐαγγέλιον, καὶ ῥιζωθῆναι ἐν αὐτῷ τὰ τῆς εὐσεβείας σπέρματα. Τελείου δὲ σημαντικὰ, ὅτι ἐν αὐτοῖς, τῆς παιδικῆς ἐννόμου πολιτείας ἀπαλλαγέντες, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ κεκλήμεθα (α). *Χίλια ἔτη* τοίνυν ὁ ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας μέχρι τῆς τοῦ Ἀντιχρίστου ἐνδημίας χρόνος. Εἴτε τοίνυν, ὡς ἐξειλήφαμεν, εἴτε δεκάκις ἑκατὸν ὧσι τὰ ῥηθέντα χίλια ἔτη, ὥς τισι νενόμισται, εἴτε καὶ τούτων ἀποδέοντα, οὐχ ἡμῶν ἐστὶ γνῶναι τὸ ἀκριβές· ὅτι μηδὲ θνητῇ φύσει ἐστὶ γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ (β). *Καὶ μετὰ ταῦτα δεῖ αὐτὸν λυθῆναι μικρὸν χρόνον.*] *Μικρὸν χρόνον.* Ποῖον; Τοῦτον τὸν τῆς παρουσίας τοῦ Ἀντιχρίστου, ὃν εἰς μικρὸν συνέστειλε, διὰ τὸ σφοδρὸν καὶ σχεδὸν ἀνύποιστον τῶν διὰ Χριστόν κακουμένων· περὶ οὗ χρόνου καὶ ὁ σωτὴρ ἐν εὐαγγελίοις φησὶ, θλῖψιν συμβῆναι, οἵα οὐ γέγονεν ἐξ ἀρχῆς κόσμου· διὸ καὶ κολοβωθῆναί φησι τὰς ἡμέρας ταύτας διὰ τοὺς ἐκλεκτούς (γ).

ΚΕΦΑΛΑΙΟΝ ΞΑ'.

Περὶ τῶν ἡτοιμασμένων θρόνων τοῖς φυλάξασι τὴν Χριστοῦ ὁμολογίαν.

4 Καὶ εἶδον θρόνους· καὶ ἐκάθισαν ἐπ' αὐτοὺς, καὶ κρίμα ἐδόθη αὐτοῖς· καὶ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν Ἰησοῦ, καὶ διὰ τὸν λόγον τοῦ θεοῦ, καὶ οἵτινες οὐ προσεκύνησαν τῷ θηρίῳ, οὐδὲ τῇ εἰκόνι αὐτοῦ, καὶ οὐκ ἔλαβον τὸ

(α) Ἐφεσ Δ', 13.
(β) Πραξ. Α', 7.
(γ) Ματθ. ΚΔ', 21. 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χάραγμα ἐπὶ τὸ μέτωπον καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν· καὶ ἔζησαν καὶ ἐβασίλευσαν μετὰ τοῦ Χριστοῦ τὰ χίλια ἔτη.

Τοὺς ἁγίους ἀποστόλους φησὶ θεωρεῖν, δι' ὧν τὰ ἔθνη συνετισθέντα, τῷ διδασκαλικῷ λόγῳ ἔζησαν, καὶ συνεβασίλευσαν Χριστῷ χίλια ἔτη. Περὶ μὲν οὖν τῶν χιλίων ἐτῶν εἴρηται. Οὗτοι οὖν οἱ ἅγιοι ἀπόστολοι καθίσουσιν, ὡς ἡ ὑπόσχεσις τοῦ Κυρίου φησί, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ (α), τουτέστι, κατακρίνοντες· τῇ παραθέσει γὰρ τῶν ὁμογενῶν, ὅταν διαφορὰ ἐν αὐτοῖς ὁρᾶται κατὰ τὸ χεῖρον καὶ βέλτιον, οἱ τῷ χείρονι ἐνεχόμενοι, οὐ τῆς τυχούσης ἄξιοι τιμωρίας, ὅτι μὴ τοῖς ὁμογενέσιν ἐναμιλλῶνται κατωρθοκότες. *Κρίμα* τοίνυν δοθῆναι αὐτοῖς ἀντὶ τοῦ κατακρίνειν, ὡς μὴ μόνον ἐθελήσαντας τῷ εὐεργέτῃ Χριστῷ ἀκολουθῆσαι, τοῖς προφητικοῖς ἑπόμενοι χρησμοῖς, ἀλλ' ἤδη καὶ ἀπ' ἐναντίας τούτων χωρῆσαι. Κατακριθῆναι δὲ καὶ *διὰ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν Ἰησοῦ, καὶ διὰ τὸν λόγον τοῦ θεοῦ*, τουτέστιν, οἵτινες διὰ τὴν εἰς θεὸν πίστιν τὸν διὰ σιδήρου ὑπήνεγκαν θάνατον. Ἢ καὶ τροπικῶς τὸ *πεπελεκισθῆναι* περὶ τῶν νεκρωσάντων τὰ μέλη ἑαυτῶν τὰ ἐπὶ τῆς γῆς (β). *Καὶ οὐκ ἔλαβον τὸ χάραγμα.*] Τὸ *χάραγμα*, γνώρισμά φησι· καθὸ καὶ ἐπὶ τοῦ Χριστοῦ εἴρηται τό· *Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε* (γ). Ὡς γὰρ ἐκεῖ ἐπὶ τὸ πρόσωπον φῶς εἰς γνώρισμα τῶν θεοφιλῶν ἐνσημαίνεται, οὕτως ἐπὶ τῶν ἀσεβῶν ἀναίδεια ἐπὶ τῶν μετώπων ἐγχαράττεται, ἀπαρακαλύπτως καὶ ἀνυποστόλως ἐμφανιζομένων ὁποῖοί τινές εἰσι· καὶ ἵνα τοῦτο ἐμφαντικώτερον ᾖ, ταῖς ἀτόποις τῶν ἑαυτῶν πράξεων τὸ γνώρισμα ἐβεβαίωσαν· ἡ χεὶρ γὰρ τὴν πρᾶξιν αἰνίττεται, ὥσπερ καὶ ὁ ποῦς τὸν ὁρισμόν, καθὸ εἴρηται· *Μὴ ἐλθέτω μοι ποῦς ὑπερηφανίας, καὶ χεὶρ*

(α) Ματθ. ιθ', 27.
(β) Κολοσ. γ', 5.
(γ) Ψαλμ. δ', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁμαρτωλοῦ μὴ σαλεύσει με (α). Ἐπεὶ οὖν οὐχ ἑάλωσαν οὗτοι, οὔτε δι' ἀναιδείας ἐντυποῦμενοι τῷ πονηρῷ, οὔτε δι' ἔργων, εἰκότως καὶ ἔζησαν, καὶ ἐβασίλευσαν μετὰ τοῦ Χριστοῦ ἄχρι συντελείας τοῦ αἰῶνος. Ὡς γὰρ ὁρῶμεν, καὶ ὑπὸ βασιλέων πιστῶν καὶ ἀρχόντων προσκυνοῦνται, καὶ κατὰ πάσης σωματικῆς ἀσθενείας καὶ δαιμονικῆς ἐνεργείας τὴν θεόσδοτον χάριν ἐπιδείκνυνται. Ἐπεὶ γάρ, φησιν, οὐ προσεκύνησαν τῷ θηρίῳ καὶ τῇ εἰκόνι αὐτοῦ, διὰ τοῦτο καὶ ἔζησαν, τουτέστι, ζώντων ἔργα ἐνήργησαν, τὰς θαυματουργίας δηλονότι. Θηρίον δὲ καὶ εἰκόνα τοῦ θηρίου, καὶ δράκοντα τὸν διάβολόν φησι καὶ τὸν ἀντίχριστον καὶ τὸν ψευδοπροφήτην.

ΚΕΦΑΛΑΙΟΝ ΞΒ'.

Τί ἐστιν ἡ πρώτη ἀνάστασις, καὶ τίς ὁ δεύτερος θάνατος.

5 Οἱ δὲ λοιποὶ τῶν νεκρῶν οὐκ ἔζησαν, ἄχρι τελεσθῇ
6 τὰ χίλια ἔτη. Αὕτη ἡ ἀνάστασις ἡ πρώτη. Μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τούτων ὁ δεύτερος θάνατος οὐκ ἔχει ἐξουσίαν, ἀλλ' ἔσονται ἱερεῖς τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ, καὶ βασιλεύσουσι μετ' αὐτοῦ χίλια ἔτη.

Νεκροὺς καλεῖ τοὺς ἐν τῇ ἀπιστίᾳ μεμενηκότας. Ὥσπερ γὰρ δύο ζωὰς, οὕτω καὶ δύο θανάτους, ἤγουν νεκρώσεις, ἐκ τῆς θείας Γραφῆς διδασκόμεθα. Ἔστιν οὖν ἡ μὲν πρώτη ζωὴ, ἡ μετὰ τὴν τῆς ἐντολῆς παράβασιν, πρόσκαιρος καὶ σαρκικὴ· ἡ δὲ μετὰ τὴν τῶν θείων ἐντολῶν τήρησιν ἐπηγγελμένη τοῖς ἁγίοις ζωὴ, αἰώνιος. Καὶ θάνατοι δὲ ὁμοίως δύο· ὁ μὲν τῆς σαρ-

(α) Ψαλμ. ΛΕ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κὸς, πρόσκαιρος· ὁ δὲ δι' ἁμαρτημάτων ἔκτισιν ἐν τῷ μέλλοντι αἰῶνι ἐπαγόμενος, ἀτελεύτητος καὶ ἀΐδιος, ὅπερ ἐστὶν ἡ τοῦ πυρὸς γέεννα. Ἀλλά γε καὶ νεκρῶν διαφορὰν γινώσκομεν. Οἱ μὲν γὰρ φευκτοὶ, περὶ ὧν φησι καὶ ὁ προφήτης· *Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν* (α)· δηλαδὴ οἱ ταῖς πράξεσι τὴν δυσφθίαν καὶ τὴν νέκρωσιν ἐπιφερόμενοι· οἱ δὲ, ἐπαινετοὶ, οἱ διὰ Χριστὸν τὰς ἡδυπαθεῖς τοῦ σώματος πράξεις ἀποκτιννύντες, τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες (β). Ἡ δὲ δευτέρα ἀνάστασις, ἡ καθολικὴ ἔστι τῶν σωμάτων, ἥτις ἀνάστασις ἀρχὴ τῆς μελλούσης αὐτοῖς κολάσεως γίνεται. Κατὰ δὲ τῶν τὴν πρώτην εὐδαιμονησάντων ἀνάστασιν οὐκ ἔχει ἐξουσίαν ὁ δεύτερος ἀπὸ τῆς ἁμαρτίας πρὸς τιμωρίαν ἀποκαθιστῶν θάνατος· *Ἀλλ' ἔσονται ἱερεῖς τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ. Χίλια* δὲ, οὐ τὰ τῷ δεκαδικῷ ἀριθμῷ τοῦ ἑκατὸν συντελούμενα· ἀλλ' ἐπειδὴ ὁ δέκατος ἀριθμὸς, πρῶτος ἀριθμὸς τέλειος ἐκ μονάδων συνέστη, εἶτα πάλιν αὐτὸς τῷ δεκαδικῷ διαστήματι τὸν ἑκατὸν ἀπετέλεσε, καὶ πάλιν οὗτος ἐπὶ τῶν δέκα πολυπλασιασθεὶς, ἀπὸ τούτων τὴν σωρίδα τοῦ χίλια συνεστήσατο, ἐκ τελείου πρὸς τελειότερον καταντήσας, εἰκότως τῷ ὑπερτελεῖ θεῷ τὸ τέλειον τῆς μετὰ τῶν ἀνθρώπων συνδιατριβῆς ἀφωρίσατο, οὐχ ὅτι πάντως τοσοῦτον τῷ ἀριθμῷ, ἀλλὰ διὰ τοῦ τελείου τοῦτο ἐμφανίζων, ὡς πᾶν ὅ ἂν χρόνου διάστημα διεξοδευθῇ τῆς μετὰ τῶν ἀνθρώπων τοῦ Χριστοῦ συναναστροφῆς, οὐκ ἂν τοῦτο τῷ ἀτελεῖ προσνεμηθείη.

ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

Περὶ τοῦ Γὼγ καὶ Μαγώγ.

7 Καὶ ὅταν τελεσθῇ τὰ χίλια ἔτη (1), λυθήσεται ὁ

(α) Ἡσ. Κς'. 14. (β) Β' Κορ. Δ', 10.
(1) Παρ' ἄλλοις, Καὶ μετὰ τὰ χίλια ἔτη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

8 σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ· καὶ ἐξελεύσεται
πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσσαρσι γωνίαις τῆς
γῆς, τὸν Γὼγ καὶ τὸν Μαγὼγ, συναγαγεῖν αὐτοὺς
εἰς πόλεμον, ὧν ὁ ἀριθμὸς ὡς ἡ ἄμμος τῆς θα-
9 λάσσης. Καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς,
καὶ ἐκύκλωσαν τὴν παρεμβολὴν τῶν ἁγίων, καὶ
τὴν πόλιν τὴν ἠγαπημένην· καὶ κατέβη πῦρ ἐκ
τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ, καὶ κατέφαγεν αὐτούς.
10 Καὶ ὁ διάβολος, ὁ πλανῶν αὐτοὺς, ἐβλήθη εἰς τὴν
λίμνην τοῦ πυρὸς καὶ θείου, ὅπου καὶ τὸ θηρίον
καὶ ὁ ψευδοπροφήτης· καὶ βασανισθήσονται ἡμέρας
καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χίλια ἔτη.] Τὸν ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας χρόνον μέχρι τοῦ Ἀντιχρίστου λέγει, οὗ τινος λυθέντος, εἰσάγει λοιπὸν καὶ τὰ ἔθνη καὶ τοὺς τόπους τῆς οἰκουμένης, καθ' οὓς τὰ τῆς συνήθους αὐτῷ ἐπιδείξεται ἀπάτης, καὶ πρὸς τίνων καὶ κατὰ τίνων ὡς ἀφηγουμένων ὁ πόλεμος οὗτος συσταίη. Ἔθνη μὲν οὖν, τὰ εὐεξαπάτητα λέγει· τόπους δὲ, τοὺς ὑπὸ τὴν ὑπ' οὐρανὸν, οὓς καὶ *τέσσαρας γωνίας* ὀνομάζει *τῆς γῆς*, τὰς τέσσαρας λήξεις τῆς οἰκουμένης οὕτω καλῶν, ἀπὸ τῶν ἡλιακῶν φορῶν οὕτω κληθείσας, καὶ τῶν κατ' ἀστέρας τινὰς οἰκειώσεων. Ἐπεὶ τοίνυν ἔθνη μὲν ταῦτα, μεθ' ὧν ὁ πόλεμος μέλλει συγκροτεῖσθαι, καὶ χῶρος οὗτος, ἐν ᾧ ἤδη καὶ τοὺς καθηγουμένους εἰσάγει ὥσπερ πολεμάρχης ὁ Γὼγ καὶ Μαγώγ· (ὃν καὶ Ἰεζεκιὴλ προφητεύει ἐπ' ἐσχάτου καιροῦ ἐλευσόμενον σὺν δυνάμει βαρείᾳ (α). Ἀλλ' Ἰεζεκιὴλ μὲν κατὰ τῆς Ἱερουσαλὴμ, ἡ προκειμένη δὲ ἀποκάλυψις πρὸς τὴν τῆς οἰκουμένης ὅλης ἐρήμωσιν·) εἶναι δὲ ταῦτα, τινὲς μὲν Σκυθικὰ ἔθνη ἔφασαν ὑπερβόρεια, πολλάκις καὶ ἀπὸ τῶν οἰκείων ἐθῶν μεταναστάντα, καὶ διαφθείραντα μὲν οἷς ἐπῆλθε, τοσαυτάκις δὲ διαφθαρέντα

(α) Ἰεζεκ. ΔΗ'. ΔΘ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπὸ τούτων τῆς ἐπιδρομῆς, καὶ Σκυθόπολιν ἐν Παλαιστίνῃ ὀνομασθῆναι, καὶ Γόθθων μοῖραν τινὰ κατὰ τὰ μέρη τῆς Ἀσίας στρατιωτικήν τε σύστασιν οὕτω καλεῖσθαι, καὶ Θαϊφάλους, καὶ Γυτθογραίκους, ἅπερ κοινῷ λόγῳ καλοῦμεν Οὔννικά· πάσης δὲ ἐπιγείου βασιλείας εἶναι δυνατώτερα καὶ πολεμικώτερα· ἐπέχεσθαι δὲ θείᾳ χειρὶ κοσμοκρατορῆσαι ἄχρι τῆς τοῦ διαβόλου λύσεως, ὥσπερ ἐνταῦθα προδιαγγέλλεται. Τινὲς δὲ τὸν Γὼγ ἐκ τῆς Ἑβραΐδος γλώσσης *ἀθροίζοντα*, ἢ *ἄθροισμα*, ἑρμηνεύουσι, τὸν δὲ Μαγὼγ, ἐπηρμένον. Ὥςτε δί ἑκατέρου, τοῦ τε ἀθροίζειν καὶ τοῦ ἐπαίρεσθαι, μέγα καὶ ὑπερήφανον ἐμφαίνειν κακὸν τὴν τούτου τοῦ ἔθνους ἐπέλευσιν ἐμπορίζειν τοῖς καθ' ὧν ἡ ἐπέλευσις, ὡς ἤδη εἰρήκαμεν.—ΑΝΔΡΕΟΥ. Τὸν προρρηθέντα τῆς χιλιετίας χρόνον, τινὲς μὲ τὰ τρία ἥμισυ ἔτη τὰ ἀπὸ τοῦ βαπτίσματος τοῦ Χριστοῦ μέχρι τῆς αὐτοῦ εἰς οὐρανὸν ἀναβάσεως οὐκ οἶδ' ὅπως ἐξειλήφασι· μεθ' ἃ λυθῆναι τὸν διάβολον ὑπενόησαν. Ἕτεροι δὲ, μετὰ τὴν συμπλήρωσιν τῶν ἑξακισχιλίων ἐτῶν τὴν πρώτην ἀνάστασιν τῶν νεκρῶν δίδοσθαι μόνοις τοῖς ἁγίοις ἔφασαν, ἵνα ἐν τῇ γῇ ταύτῃ, ἐν ᾗ τὴν καρτερίαν ἐπεδείξαντο, τρυφῆς καὶ δόξης ἀπολαύσωσιν ἔτη χίλια· καὶ μετὰ τοῦτο τὴν καθόλου γενέσθαι ἀνάστασιν, οὐ δικαίων μόνων, ἀλλὰ καὶ ἁμαρτωλῶν. Ὅτι μὲν οὖν οὐδὲν τούτων ἡ ἐκκλησία δέδεκται, περιττόν ἐστι καὶ λέγειν. Ἡμεῖς τοίνυν, ἀκούοντες τοῦ Κυρίου πρὸς τοὺς Σαδδουκαίους λέγοντος, ὅτι ὡς ἄγγελοι τοῦ θεοῦ ἐν οὐρανῷ, οὕτως οἱ δίκαιοι ἔσονται (α)· καὶ τοῦ Ἀποστόλου φήσαντος· *Ἡ βασιλεία τοῦ θεοῦ οὐκ ἔστι βρῶσις καὶ πόσις* (β)· τὸν τοῦ εὐαγγελικοῦ κηρύγματος χρόνον τὴν χιλιετίαν ἐξελάβομεν. Ὡς γὰρ προγέγραπται, οὐκ ἀνάγκη τοσαῦτα τῷ ἀριθμῷ νοῆσαι τὰ χίλια. Οὐδὲ γὰρ τὸ ἐν τοῖς ἄσμασιν εἰρημένον· *Ἀνὴρ θήσει ἐν καρπῷ αὐ-*

(α) Ματθ. ΚΒ', 30. (β) Ῥωμ. ΙΔ', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ χιλίους ἀργυρίους (α)· καὶ πάλιν· *Οἱ χίλιοι τῷ Σολομῶντι, καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ*· τὸν ἀριθμὸν τοῦτον ἐδήλωσεν· ἀλλὰ τὸ πλῆθος καὶ τὸ ἐν καρποφορίᾳ τέλειον, ὥσπερ κἀνταῦθα ἡ ἐν τελειότητι καρποφορία τῆς πίστεως σημαίνεται· μεθ' ἣν ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἄνθρωπος τῆς ἀδικίας, ἐλεύσεται, ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες τῇ ἀδικίᾳ, κατὰ τὸν ἀπόστολον (β), καὶ κατὰ τὸ δεσποτικὸν λόγιον, τὸ φάσκον· Ἐγὼ ἐλήλυθα ἐπὶ τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐκ ἐδέξασθέ με· ἄλλος ἐπὶ τῷ ὀνόματι τῷ οἰκείῳ ἐλεύσεται, καὶ ἐκεῖνον λήψεσθε (γ). Τότε τοίνυν, ὡς εἴρηται, λυόμενος ὁ σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ, πλανήσει πάντα τὰ ἔθνη, καὶ τὸν Γὼγ καὶ τὸν Μαγὼγ κινήσει εἰς πόλεμον πρὸς τὴν τῆς οἰκουμένης ἐρήμωσιν. — *Ὧν ὁ ἀριθμὸς ὡς ἡ ἄμμος τῆς θαλάσσης.*] Ὡς ἐκ φωλεῶν τινῶν θῆρες ἄγριοι, οὕτω, φησίν, ἐκ τῶν οἰκείων τόπων ὑπὸ τοῦ διαβόλου καὶ τῶν τούτου δαιμόνων στρατηγούμενοι, ἐν τῇ γῇ καταπλατυνθήσονται, καὶ τὴν *παρεμβολὴν τῶν ἁγίων*, καὶ *τὴν ἠγαπημένην πόλιν*, δηλαδὴ τὴν ἁπανταχοῦ ἐκκλησίαν, τῇ κυκλώσει καὶ περιλήψει ἐκπορθήσουσι, πλὴν οὐκ εἰς μακράν· πῦρ γὰρ οὐρανόθεν κατιὸν καταφάγεται αὐτούς, εἴτε ὁρατὸν, ὡς τὸ τοὺς δύο πεντηκοντάρχους ἐπὶ Ἠλιοῦ καταφαγὸν (δ), εἴτε ὁ Κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, τῷ οἷα πυρὶ καθαρτικῷ ταῖς ὕλαις προσομιλεῖν πεφυκότι, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ (ε)· αὐτούς τε τοὺς ἀσεβεῖς καὶ τὸν στρατηγὸν αὐτῶν διάβολον τῇ τοῦ πυρὸς λίμνῃ παραδώσει σὺν τῷ Ἀντιχρίστῳ καὶ τῷ ψευδοπροφήτῃ βασανισθησομένους εἰς αἰῶνας αἰώνων.

(α) Ἄσμ. Η', 11.
(β) Β' Θεσ. Β', 3. 12.
(γ) Ἰωαν. Ε', 43.
(δ) Δ' Βασιλ. Α'.
(ε) Β' Θεσ. Β', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Πάρου

ΚΕΦΑΛΑΙΟΝ ΞΔ'.

Περὶ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ τῆς κοινῆς ἀναστάσεως καὶ κρίσεως.

11 Καὶ εἶδον θρόνον μέγαν λευκὸν, καὶ τὸν καθήμενον
ἐπ' αὐτὸν, οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ οὐ-
12 ρανὸς, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς. Καὶ εἶδον τοὺς
νεκροὺς, μικροὺς καὶ μεγάλους, ἑστῶτας ἐνώπιον
τοῦ θρόνου (1), καὶ βιβλία ἠνοίχθησαν· καὶ ἄλλο βι-
βλίον ἠνεῴχθη, ὅ ἐστι τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ
νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις, κατὰ
13 τὰ ἔργα αὐτῶν. Καὶ ἔδωκεν ἡ θάλασσα τοὺς νεκροὺς,
τοὺς ἐν αὐτῇ, καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκαν
τοὺς νεκροὺς, τοὺς ἐν αὐτοῖς· καὶ ἐκρίθησαν ἕκα-
14 στος κατὰ τὰ ἔργα αὐτῶν. Καὶ ὁ θάνατος καὶ ὁ ᾅ-
δης ἐβλήθησαν εἰς τὴν λίμνην τοῦ πυρός· οὗτος ὁ
15 θάνατος ὁ δεύτερός ἐστι (2). Καὶ εἴτις οὐχ εὑρέθη
ἐν τῷ βιβλίῳ τῆς ζωῆς γεγραμμένος, ἐβλήθη εἰς
τὴν λίμνην τοῦ πυρός.

Λευκὸς μέν ὁ θρόνος, ὅτι καὶ ἀμιγὴς μελανίας ἁμαρτιῶν, τῶν ὑπὸ τῷ σκότῳ συντελουμένων, πᾶσα πρᾶξις ἁγίων, ἐν οἷς ἐνθρονίζεται θεός· *μέγας* δὲ, ὅτι καὶ ὁ ἔποχος τούτου, περὶ οὗ καὶ Δαυὶδ τό· *Μέγας ὁ Κύριος ἡμῶν*, ἐμελῴδει (α). *Οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ.*] Ἡ φυγὴ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, οὐ τοπικὴν σημαίνει μετανάστασιν· ποῦ γὰρ καὶ χωρήσουσιν; ἀλλὰ φυγὴν τὴν ἀπὸ τῆς φθορᾶς εἰς ἀφθαρσίαν μετάσασιν, κατὰ τὴν ἐσχάτην τοῦ Κυρίου παρουσίαν, καθ' ἣν καὶ τὸ θνητὸν ἡμῶν τοῦτο σῶμα ἐνδύεται ἀφθαρσίαν (β), καὶ ἀνακαινισθήσεται τὸ πρόσωπον τῆς γῆς (γ). *Καὶ εἶδον τοὺς νεκρούς.*] *Νεκροὺς*, ἢ

(1) Παρ' ἄλλοις, ἐνώπιον τοῦ θεοῦ.
(2) Παρ ἄλλοις προστίθεται μετὰ τοῦτο, ἡ λίμνη τοῦ πυρός.
(α) Ψαλμ. ΡΜΔ', 3. (β) Α' Κορ. ΙΕ', 53. (γ) Ψαλμ. ΡΓ', 30.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάντας ἀνθρώπους, ὡς τὴν τοῦ σώματος νέκρωσιν ὑπομείναντάς, φησιν, ἢ τοὺς νεκρωθέντας τοῖς παραπτώμασι. *Μεγάλους* δὲ καὶ *μικρούς*, ἢ τοὺς τῇ ἡλικίᾳ τοῦτο ὄντας, ἢ τοὺς μᾶλλον καὶ ἧττον τὰ τῆς νεκρώσεως ἔργα πράξαντας, καὶ ἀναλόγως κολασθησομένους ταῖς πράξεσιν· ἢ μεγάλους μέν, τοὺς δικαίους, μικρούς, δὲ καὶ οὐτιδανούς, τοὺς ἁμαρτωλούς, διὰ ψυχῆς ἔργων εὐτελείαν. Τὰ δὲ *βιβλία* τὰ ἀνοιγόμενα, σημαντικά ἐστι τῶν ἑκάστου πράξεων, καὶ τῆς ἑκάστου συνειδήσεως· ἡ δὲ μία *βίβλος*, ἡ τῆς ζωῆς ἐστιν, ἐν ᾗ τὰ τῶν ἁγίων γέγραπται ὀνόματα. *Καὶ ἔδωκεν ἡ θάλασσα τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ.*] Τὴν τελευταίαν καὶ παγκόσμιον ἀνάστασιν, ὅπως ἔσται, ἐξηγούμενος, ταῦτα διεξεισιν. Ἐπεὶ γάρ τινες ἀπιστοῦντες αὐτὴν ἔσεσθαι, ἔφασκον, μὴ οἷόν τε γενέσθαι ἐν τοῖς αὐτοῖς σώμασιν, ἃ ἐξ αἰῶνος φθαρέντα εἰς τὸ μὴ εἶναι ἐχώρησαν, τοῦτο νῦν ἐπανορθούμενος ὁ λόγος φησίν, ὅτι ὡς τὰ σώματα ἐπὶ τὴν ἀρχὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι προῆλθον, οὐκ ἐξ αὐτομάτου, ἀλλ' ἐκ τῶν τεσσάρων στοιχείων, ὕδατος, πυρὸς, ἀέρος, γῆς, οὕτως εὐλόγως εἰς αὐτὰ πάλιν ἀναλυθέντα, ἐκ τούτων αὖθις τὴν σύμπηξιν ἀναλήψονται. Ἐπεὶ δὲ τοῦτο καὶ συνδρομὴ πάλιν τῶν κατ' ἀρχὰς μερῶν εἰς ὑπόστασιν τῶν ἀνθρώπων, διὰ τοῦτό φησι τὴν *θάλασσαν*, ἤτοι τὴν ὑδατώδη οὐσίαν, ἀποβλῦσαι τὸ πρὸς αὐτὴν χωρῆσαν ὑγρόν· τὸν *θάνατον* δὲ, τὴν γεώδη· ἐπεὶ καὶ εὕρηται περὶ αὐτῆς τὸ, *εἰς χοῦν θανάτου κατήγαγές με* (α)· χοῦς δὲ, ὅτι γῆ, τίς νοῦν ἔχων ἀγνοεῖ; *Ἅδην* δὲ, τὸν ἀέρα καλεῖ, τῷ μὴ ἔχειν χαρακτῆρα διὰ μανότητα οὐσίας· ὡσαύτως δὲ καὶ τὸ πῦρ. *Ἅδην* δὲ λέγει, ἀπὸ τοῦ εἰς ἀϊδίαν καὶ ἀφάνειαν, οἷς ἂν ἐπέλθῃ, τούτους ἐμβάλλειν. *Καὶ ὁ θάνατος καὶ ὁ ᾅδης.*] *Θάνατον* καὶ *ᾅδην*, τοὺς ἄξια τιμωρίας ἐργασαμένους καλεῖ, ὡς συμπληροῦντας τὸν τοῦ δευτέρου θανάτου ὅμιλον.

(α) Ψαλμ. ΚΑ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΞΕ'.

Περὶ καινῶν οὐρανοῦ τε καὶ γῆς καὶ τῆς ἄνω Ἱερουσαλήμ.

ΚΕΦ. XXI, 1 Καὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν· ὁ γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ ἀπῆλ-
2 θον, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι. Καὶ τὴν πόλιν τὴν ἁγίαν, Ἱερουσαλὴμ, καινὴν εἶδον καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ, ἀπὸ τοῦ θεοῦ (1), ἡτοιμασμέ-
3 νην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς. Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ, λεγούσης· Ἰδοὺ, ἡ σκηνὴ τοῦ θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ' αὐτῶν, καὶ αὐτοὶ λαὸς αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ θεὸς μετ' αὐτῶν ἔσται, θεὸς αὐ-
4 τῶν· καὶ ἐξαλείψει πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν, καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος, οὔτε κραυγὴ, οὔτε πόνος οὐκ ἔσται ἔτι· ὅτι τὰ πρῶτα ἀπῆλθον.

Τοῦτο οὐ τὴν ἀνυπαρξίαν δηλῶν τῆς κτίσεώς φησιν, ἀλλὰ τὸν ἀνακαινισμὸν τὸν ἐπὶ τὸ βέλτιον· ὃν καὶ ὁ θεῖος μελῳδῶν Δαυὶδ, προηγόρευσε δι' ὧν ἤδε, πάντας ὡς ἱμάτιον παλαιωθήσεσθαι, καὶ ὡσεὶ περιβόλαιον ἑλιχθῆναι καὶ ἀλλαγῆναι (α). Τὸ γὰρ παλαιωθὲν, ἀνακαινιζόμενον, οὐ τῆς οὐσίας ἀφανισμὸν, ἀλλὰ τοῦ γήρως καὶ τῶν ῥυτίδων λαμβάνει ἀπόξυσιν. Σημειωτέον δὲ, ὅτι περὶ μὲν οὐρανοῦ καὶ γῆς εἰπὼν, ὅτι *ἀπῆλθον*, οἱονεὶ οὐκ εἰς τὸ μὴ ὂν ἐχώρησαν, ἀλλὰ μετέβησαν (οὐδὲν δὲ τῶν μεταβαινόντων ἐξ οὗ εἰς ὃ, ἤδη καὶ πάντη διόλωλεν, ἀλλὰ τῇ ἀφ' οὗ εἰς ὃ μετελεύσει, ἀνεμορφώθη), τὰ μὲν τοῦ καταληφθέντος ἀπέβαλε, τὰ δὲ τοῦ πρὸς ὃ μετέβη ἀνεδέξατο·

---

(1) Κοινῶς, Καὶ ἐγὼ Ἰωάννης εἶδον τὴν πόλιν τὴν ἁγίαν, Ἱερουσαλὴμ καινὴν, καταβαίνουσαν ἀπὸ τοῦ θεοῦ ἐκ τοῦ οὐρανοῦ.

(α) Ψαλμ. ΡΑ', 27.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περὶ δὲ τῆς θαλάσσης φησὶν, ὅτι *ἡ θάλασσα οὐκ ἔστιν ἔτι*. Τίς γὰρ χρεία θαλάσσης, μὴ δεομένων ἀνθρώπων τοῦ πλεῖν αὐτήν; ἢ δι' αὐτῆς ποριζεσθαι τὰ ἐν ταῖς μακρὰν κειμέναις χώραις γεωργούμενα ἀγώγιμα; — *Καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι.*] Εἰ ὁ κόσμος οὗτος ὁ αἰσθητὸς οὐκ ἄλλό τι, ἢ τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τῷ μέσῳ σύστημά ἐστι καὶ σύγκριμα, τοῦ οὐρανοῦ πάντως καὶ τῆς γῆς ἀνακαινισθέντων, ὡς ἤδη παρεθέμεθα, πάντως καὶ τὰ συμπληροῦντα τὸ τοιοῦτο σύστημα οὐκ ἀμοιρήσει τοῦ ἀνακαινισμοῦ. Τί οὖν ἡ θάλασσα μόνη, τῶν ἐν μέσῳ φύσεων οὖσα, οὐ μόνον ἠστόχησε τοῦ ἀνακαινισμοῦ, ἀλλὰ καὶ πάντη τοῦ εἶναι; Εἰ δὲ λέγει τις, ὅτι τῶν ἐμπλεόντων οὐκ ὄντων, ἀνάγκη μηδὲ αὐτὴν χρηματίζειν, ὅπερ ἐστὶ νῦν, εἰκότως· τὸ δὲ εἰς παντελῆ ἀνυπαρξίαν ἐλθεῖν αὐτὴν, ἐᾷν ἐξ ἡμισείας ἐπιτελοῦντος τὸν ἀνακαινισμόν ἐστι. Τί οὖν ἐστι πρὸς τοῦτο ἐρεῖν; Ἢ πάντως ἐκεῖνο· ὡς, ἐπειδὴ θαλάσσῃ ὡμοίωσεν ὁ θεοπάτωρ τὸν παρόντα κόσμον, ἀναγκαίως, ἵνα μή τις τῷ ἀνακαινισμῷ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ τὴν κατ' αὐτὰ τύρβην ὑποβάλοι, διὰ τοῦ τελείου ἀφανισμοῦ τῆς θαλάσσης, κατὰ τὴν τροπολογίαν τοῦ Δαυὶδ, ἐκεῖνα ἐσημείωσε καὶ ἐξείλετο, ὡς φρούδου καὶ ταύτης κατὰ τὸν ἀνακαινισμὸν ἐσομένης.—*Καὶ τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινήν.*] Πάλαι μέν, φησιν, Ἱερουσαλὴμ τὸ ἁγιώτατον σκήνωμα ἐνομίζετο, ἐν ᾗ καὶ ὁ ναὸς καὶ πάντα τὰ θεογνωσίας μυστήρια τεθησαύρισται· αὕτη δὲ νῦν *καινὴ* οὐκ ἔξω λόγου, ἐφ' ὅσον τῇ τοῦ Κυρίου παρουσίᾳ ἐκεῖνα τῇ παλαιότητι ἠχρειοῦτο· ἀνάγκη ἄρα καινὴν τοῦ παντὸς καινοποιήσει Ἱερουσαλὴμ ἐμφανισθῆναι, ἐξ οὐρανοῦ κατιοῦσαν, ὁπόθεν καινοποιὸς Κύριος Ἰησοῦς Χριστός. Ἱερουσαλὴμ μὲν οὖν καινὴν, διὰ τοῦτο· *πόλιν* δὲ, ὡς οἰκητήριον πάντων ἀγγέλων καὶ ἀνθρώπων ἐσομένην. Ὑπὸ δὲ τοῦ θεοῦ ἡτοιμᾶσθαι· τί γάρ τις τῶν σωτηρίων ἑαυτῷ κατορθοῖ, τῆς ἀπὸ τοῦ θεοῦ συναντιλήψεως ἀμοιρῶν; Τροπικῶς δὲ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεγαλοπρεπῶς ὡς νύμφην κεκόσμηκεν, ὡς ἂν ἐκ τῶν αἰσθητῶς λεγομένων, εἰς τὴν νοητὴν τῶν ἁγίων μακαριότητα καὶ διαγωγὴν τὸν νοῦν παραπέμψωμεν τὸν ἡμέτερον. *Καὶ αὐτὸς ὁ θεὸς μετ' αὐτῶν ἔσται.*] Τοῦτο σαφέστερον ὁ Ἀπόστολος δηλῶν, ἔλεγεν· *Ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα* (α). Ἐν ταύτῃ οὖν τῇ σκηνῇ τῇ ἀχειροποιήτῳ οὐκ ἔσται κλαυθμὸς, οὔτε δάκρυον, τὰ σύστοιχα τῷ ἐπικήρῳ βίῳ, οὔτε πόνος, (τὴν τῶν ἁγίων λέγω κακοπάθειαν, ἣν ὑπέστησαν ἐν τῷ μοχθηρῷ τούτῳ βίῳ·) ἐν ἐκείνῳ δὲ τῷ μέλλοντι, ἐπεὶ, ὡς ἀφθάρτῳ, ἀπέδρα λύπη καὶ ὀδύνη καὶ στεναγμὸς, ἀργὰ ταῦτα πάντα καὶ περιττά. *Ὅτι τὰ πρῶτα ἀπῆλθον.*] Τὰ πρῶτα, τὰ ἀπὸ τῆς παραβάσεως Ἀδὰμ τῇ φθορᾷ ὑποβληθέντα, εἴτε ὀχληρὰ καὶ ἐπώδυνα τοῖς θεοφιλέσι δι' ἀρετὴν εὐπορούμενα, εἴτε δι' ἀλαζονείαν καὶ ἀρροσύνην τοῖς θεοβλαβέσιν ἐπακολουθοῦντα, πάντα ἀπῆλθον.

ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

Περὶ ὧν εἶπεν ὁ ἐν τῷ θρόνῳ καθήμενος καὶ ὁραθείς.

5 Καί εἶπεν ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ· Ἰδοὺ, καινὰ ποιῶ πάντα. Καὶ λέγει μοι· Γράψον· ὅτι οὗτοι
6 οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί εἰσι (1). Καὶ εἶπέ μοι· Γέγονα (2) τὸ Α καὶ τὸ Ω, ἡ ἀρχὴ καὶ τὸ τέλος. Ἐγὼ τῷ διψῶντι δώσω (3) ἐκ τῆς πηγῆς τοῦ ὑ-

(α) Α' Θεσ. Δ', 17.
(1) Παρ' ἄλλοις, πιστοὶ καὶ ἀληθινοί τοῦ θεοῦ εἰσι.
(2) Παρ' ἄλλοις, Γέγονε. Ἐγώ εἰμὶ τὸ.
(3) Παρ' ἄλλοις, δώσω αὐτῷ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

7 δατος τῆς ζωῆς δωρεάν. Ὁ νικῶν, δώσω αὐτῷ ταῦ-
τα (1), καὶ ἔσομαι αὐτῷ θεὸς, καὶ αὐτὸς ἔσταί μοι
8 υἱός. Τοῖς δὲ δειλοῖς καὶ ἀπίστοις, καὶ ἀμαρτω-
λοῖς, καὶ ἐβδελυγμένοις, καὶ φονεῦσι, καὶ πόρνοις,
καὶ φαρμακοῖς, καὶ εἰδωλολάτραις, καὶ πᾶσι τοῖς
ψευδέσι, τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ, τῇ καιο-
μένῃ πυρὶ καὶ θείῳ, ὅ ἐστιν ὁ θάνατος ὁ δεύτερος.

Θρόνος εἰσὶ τοῦ θεοῦ οἱ ταῖς ἀρεταῖς ἑαυτοὺς τούτου ὄγκημα καταστήσαντες, περὶ ὧν καὶ ὁ ἔποχος τούτων τὸ, *Ἐροικήσω, ἔφη, ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω* (α). *Ὅτι οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί εἰσι.*] Μὴ νόμιζέ, φησιν, ὦ Ἰωάννη, τῇ τοῦ μεγέθους τῶν καινοποιουμένων ἀλλοιώσει, ὡς καθ' ὑπερβολὴν φαντασίας ὑποπεσεῖν ψευδεῖ τινι ἐκβάσει τὰ λεγόμενά σοι. Τοσοῦτον γὰρ ἀληθῆ, ὥστε καὶ γραφῇ καταθέσθαι σε ταῦτα παρεγγυῶμαι εἰς ἀνεπίληστον τοῦ ὅτι γενήσεται. Ἀληθινοὶ γὰρ καὶ πιστοὶ οἱ λόγοι, ὡς ὑπ' αὐτῆς ἐκφερόμενοι τῆς τῷ ὄντι ἀληθείας. *Ἀρχὴ* δὲ καὶ *τέλος* ὁ Χριστὸς, ὁ καὶ τὸ Α καὶ τὸ Ω ἑαυτῷ ἀναθεὶς, ὡς πρῶτος, διὰ τὴν θεότητα, καὶ ἔσχατος, διὰ τὴν ἀνθρωπότητα. Λέγεται δὲ καὶ ἄλλως Α καὶ Ω, ὡς ἀπὸ τῆς πρώτης δηλαδὴ τῶν ἀσωμάτων κτίσεως μέχρι τῶν τελευταίων ἀνθρώπων τὴν οἰκείαν ἐκτείνων πρόνοιαν. *Τῷ διψῶντι* δὲ ἡ μὲν ἐπαγγελία δοθῆναι *ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς* (β), ἀλλὰ διψῶντι τὴν δικαιοσύνην, ὡς καὶ ὁ Χριστός φησι· *Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται* (γ)· ἐκ τῆς πηγῆς δὲ τοῦ ὕδατος τῆς ζωῆς ἡ τῆς δίψης ἀνάκτησις ἐπαγγέλλεται, ἥτις πηγὴ, οὐκ ἄλλη, εἰ μὴ ὁ Χριστός. *Δωρεὰν* δὲ ἡ χορηγία τοῦ τοιούτου ὕδατος ὑπισχνεῖται, καίτοι ἀλλαχοῦ τὴν εἰς τὴν ζωὴν ἀπάγουσαν ὁδὸν κόπῳ καὶ βίᾳ πολλῇ εὑρέσθαι λέγοντος (δ). Τί οὖν ἐνταῦθα τὸ, *δω-*

(1) Πρ' ἄλλως, ὁ νικῶν κληρονομήσει ταῦτα, ἢ, κοινῶς, πάντα.
(α) Β' κορ. ς', 16. Δευτ. Κς', 12. (β) Ἰωαν. Ζ', 38.
(γ) Ματθ. Ε', 6. (δ) Ματθ. Ζ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρεὰν, αἰνίττεται; ἢ τὸ μὴ ἔχειν παραμετρεῖσθαι τὰ πρόσκαιρα τοῖς διαιωνίζουσι· περὶ ὧν καὶ Παῦλός φησιν· *Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς* (α). *Τοῖς δὲ δειλοῖς καὶ ἀπίστοις*, καὶ ἑξῆς.] *Δειλοὺς* καλεῖ τοὺς ἑκουσίῳ ἀσθενείᾳ πρὸς τὰ ἀπολαυστικὰ τοῦ παρόντος αἰῶνος ἀποκλίναντας, τῷ μηδὲν αἰρήσασθαι ἀνδρικὸν ἐπανελέσθαι, τῶν θηλυπρεπῶν ἀτιμάζων οὕτω τὸ ἔκλυτον τῆς ναυσίας. *Πᾶσι* δὲ *τοῖς ψευδέσι*, φησὶν, ἀλλ' οὐ τοῖς ψεύσταις, ὡς τούτου τοῦ ῥήματος συμπεριλαμβάνοντος καὶ τὸ ἐνεργεῖν περὶ τὰ ἐνεργούμενα. Περὶ τίνα γὰρ ὁ ψεύστης τὴν σπουδὴν ἀπασχολήσει, ἢ περὶ τὰ ψευδῆ καὶ τὸ φυσικὸν νοθεύοντα κάλλος τοῖς ἀπατηλοῖς ἐρεθίσμασιν;

ΚΕΦΑΛΑΙΟΝ ΞΖ'.

Περὶ τοῦ ἀγγέλου τοῦ δεικνῦντος αὐτῷ τὴν τῶν ἁγίων πόλιν, καὶ τὸ ταύτης τεῖχος σὺν τοῖς πυλῶσι διαμετροῦντος.

9 Καὶ ἦλθεν (1) εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων, τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας, τὰς γεμούσας τῶν ἑπτὰ πληγῶν, τῶν ἐσχάτων, καὶ ἐλάλησε μετ' ἐμοῦ, λέγων· Δεῦρο, δείξω σοι τὴν γυναῖκα, τὴν
10 νύμφην τοῦ ἀρνίου. Καὶ ἀπήνεγκέ με ἐν πνεύματι ἐπ' ὄρος μέγα καὶ ὑψηλὸν, καὶ ἔδειξέ μοι τὴν πόλιν τὴν μεγάλην, τὴν ἁγίαν Ἱερουσαλὴμ, καται-
11 βαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ· ἔχουσαν τὴν δόξαν τοῦ θεοῦ· ὁ φωστὴρ (2) αὐτῆς ὅμοιος

(α) Ῥωμ. Η', 18.
(1) Παρ' ἄλλοις, Καὶ ἦλθε πρός με. (2) Κοινῶς· καὶ ὁ —

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ ἰάσπιδι κρυσταλλίζοντι·
12 ἔχουσαν τεῖχος μέγα καὶ ὑψηλόν·

Οὓς πρὸ τούτου τιμωροὺς εἰσηγεῖτο, νῦν ἀπεναντίας προφέρει ὡς ἰατροὺς, ποτὲ μὲν τέμνειν ἀφωρμημένους, ποτὲ δὲ φάρμακα ἐπιπάσσοντας ἥπια. Ὁ γὰρ τότε τὴν πληγὴν τοῖς ἀξίοις ἐπάγων, νῦν τὴν μακαριότητα τῆς ἐκκλησίας τῷ ἁγίῳ ὑποδείκνυσι. *Πληγὰς* δὲ *τὰς ἐσχάτας*, οὐ τῷ χρόνῳ τὸ ἔσχατον ἐχούσας λέγει, ἀλλὰ τὰς πρὸς κάκωτιν τὸ ἀκμαῖον ἐπιφέρειν εἰδυίας. Καλῶς δὲ τὴν *νύμφην τοῦ ἀρνίου* γυναῖκά φησιν· ὅτε γὰρ ὡς ἀμνὸς ἐσφαγιάσθη ὁ Χριστὸς, τότε αὐτὴν τῷ οἰκείῳ αἵματι ἐνυμφεύσατο. Ὥσπερ γὰρ τοῦ Ἀδὰμ καθεύδοντος, διεπλάσθη ἡ γυνὴ τῇ τῆς πλευρᾶς ἀφαιρέσει· οὕτω καὶ τῷ Χριστῷ, ἐν τῷ σταυρῷ ἑκουσίως διὰ θανάτου ὑπνώσαντι, τῇ ἐκχύσει τοῦ ἐκ τῆς πλευρᾶς αἵματος ἡ ἐκκλησία συστᾶσα, τῷ παθόντι δι' ἡμᾶς ἥρμοσται. *Καὶ ἀπήνεγκέ με ἐν πνεύματι.*] Καλῶς τὸ, *ἐν πνεύματι*· οὐ γὰρ ἐκτὸς πνευματικῆς χάριτος ἀνθρώπινός τις νοῦς ὑψώθη, ὡς ἐν περινοίᾳ γενέσθαι τῆς τῶν ἁγίων δόξης. Εἰκότως δὲ ἡ ὑπερκόσμιος τῶν ἁγίων ζωὴ καὶ πολιτεία εἰς *ὄρος μέγα καὶ ὑψηλὸν* παρεδείκνυτο· οὐδὲν γὰρ παρ' αὐτοῖς χθαμαλὸν ἢ ταπεινὸν καὶ χαμαίζηλον, ἀλλὰ πάντα ὑψηλὰ καὶ ἐπηρμένα. *Καὶ ἔδειξέ μοι τὴν πόλιν τὴν μεγάλην, τὴν ἁγίαν Ἱερουσαλὴμ, καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ.*] Ἀπὸ τῆς τῶν αἰνιγμάτων ἀδηλίας τὴν νομικὴν λατρείαν τεθέαται ὁ εὐαγγελιστὴς καταβαίνουσαν, οὐ τοπικὴν κατάβασιν· ὅτι μηδὲ τὸ ἀπὸ τῆς Ἱερουσαλὴμ καταβαίνοντας εἰσάγειν, κατὰ τὴν ἐν εὐαγγελίοις παραβολὴν (α), τοπικὴν εἰσηγεῖται κατάβασιν· ἀλλὰ γνώσεως θείων δογμάτων μετάβασιν. Ἐνταῦθα δὲ, ἐπεὶ καὶ θεὸς τῆς δόξης συλλαμβάνεται, πρὸς οὐδὲν ταπεινὸν ἡ κατάβασις, εἰ μὴ τῆς ἀδηλίας

(α) Λουκ. Θ', 30.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ κρυφιότητος ἡ φανέρωσις, οὐχ ὑπὸ ἀνθρωπίνῃ ὁρμῇ, ὡς ἐν τῇ παρεμβολῇ, ἀλλ' ἐκ θεοῦ ροπῆς συντελουμένη. *Ὁ φωστὴρ αὐτῆς.*] *Φωστῆρα* τὸν Χριστὸν καλεῖ· *λίθῳ δὲ τιμιωτάτῳ* ἀπεικάζεται ὁ φωστὴρ, ὅτι καὶ λίθῳ ἰάσπιδι παραβάλλεται τὸ τεῖχος τῆς ἀπ' οὐρανοῦ Ἱερουσαλήμ. Χλοερὰ δὲ ἡ ἴασπις, τὸ φερέσβιον καὶ ζωοδῶρον ἐμφαίνουσα τῆς προνοίας τοῦ Χριστοῦ, οὗ περιοχὴ τὸ τεῖχος, τὸ ἐξ ἰάσπιδος συντετελεσμένον, ὃ καὶ ὁρατὸν ἀνθρώποις, ὡς καὶ αἰσθήσει ληπτόν. Τὸ τεῖχος μὲν οὖν ἰάσπιδι ὡράθη λίθῳ συντετελεσμένον, διὰ τὸ χλοερὸν τοῦ χρώματος. Χλόη γὰρ ἡγεῖται πάσης ἐπιγείου τροφῆς. Ἀλλὰ καὶ κρυσταλλίζουσα ἡ ἴασπις τοῦ τείχους, τὸ καθαρὸν καὶ ἄμωμον αἰνιττομένη τοῦ περιεχομένου. Ἀλλὰ καὶ *ὑψηλόν*, φησι, τοῦτο καὶ *μέγα*· οὐ γὰρ ἐν ταπεινοῖς καὶ χαμαιζήλοις ὁ ὕψιστος εὐαρεστεῖται κατοικεῖν, ἀλλ' ὅσοις μετάρσια τὰ φρονήματα, καὶ τῆς οὐρανίου ἐχόμενα σεμνότητος. Τὸ δὲ τοῦ φωστῆρος εἶδος, λίθῳ μὲν παραβάλλεται τιμιωτάτῳ, οὐ μέντοι καὶ τὴν ἰδέαν ὁποῖος ἐνδείκνυται· ὅτι μηδὲ θνητοῖς καὶ φθαρτοῖς τὰ θειότατα καὶ αἰσθήσει ἀδούλωτα πέφυκεν ὑποδειγματίζεσθαι.

12 Ἔχουσαν πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα, καὶ ὀνόματα ἐπιγεγραμμένα,
13 ἃ ἐστι τῶν δώδεκα φυλῶν τῶν υἱῶν Ἰσραήλ. Ἀπὸ ἀνατολῶν, πυλῶνες τρεῖς· καὶ ἀπὸ βορρᾶ, πυλῶνες τρεῖς· καὶ ἀπὸ νότου, πυλῶνες τρεῖς· καὶ ἀπὸ δυ-
14 σμῶν, πυλῶνες τρεῖς. Καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώδεκα, καὶ ἐπ' αὐτῶν δώδεκα ὀνόματα (1) τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου.

Οὐδὲν ἐκ τούτων περισκελὲς νόημα εἰς σαφήνειαν μεθελκόμενον τυγχάνει. Ὅ τε γὰρ ἀριθμὸς σαφῶς τοὺς ἀποστόλους τοῦ Κυρίου ὑποφαίνει, ἥτε χρεία τῶν πυλώνων, ὡς εἰσαγόντων

(1) Καινῶς· καὶ ἐν αὐτοῖς ὀνόματα --

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς τὸ τῆς ζωῆς ταμιεῖον, τοὺς αὐτοῦ ἀποστόλους παριστᾷ, δι' ὧν τὰ ἔθνη τῷ τοῦ Χριστοῦ ταμείῳ εἰσήχθησαν. Καὶ τοὺς ἐπὶ τῶν δώδεκα πυλώνων καθεσταμένους ἀγγέλους τοὺς ἀποστόλους ἐξειλήφασι, δι' ὧν ἡ εἴσοδος ἡμῶν καὶ ἡ πρὸς τὸν πατέρα προσαγωγὴ (α) ἐνήργηται ἐπὶ συνεργίᾳ ἀγγέλων ἰσαρίθμων τῶν προϋχόντων καὶ μᾶλλον τῇ ἐπιστασίᾳ τῶν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ ἀφωρισμένων κατὰ τὴν ἀγχιστείαν τὴν ἐν ἁγιότητι θεμελιωθεῖσαν· καὶ μάλα εἰκότως· εἰ γὰρ ἑκάστῳ τῶν πιστῶν ἄγγελον ἔπεσθαι πεπιστεύκαμεν, πολλῷ μᾶλλον τοῖς θεμελιωταῖς τῆς ἐκκλησίας καὶ τοῦ εὐαγγελικοῦ λόγου σπορεῦσιν, ἀγγέλους συνεργοὺς πρὸς τὸ εὐαγγελικὸν κήρυγμα νοεῖσθαι ἀκόλουθον. *Καὶ ὀνόματα ἐπιγεγραμμένα.*] Ἐπὶ μὲν τῆς Μωϋσέως λατρείας τὰ τῶν ἀρχιφύλων ὀνόματα ἐπὶ τῆς ἐπωμίδος γεγράφθαι πρόσταγμα (β)· ἐν δὲ τῇ κατὰ Κύριον Ἰησοῦν διαθήκῃ, τοῦ νέου Ἰσραὴλ τὰ ὀνόματα ἐπὶ τοῖς πυλῶσι, τουτέστι, τοῖς εἰσαγωγεῦσι, περὶ ὧν καὶ εἴρηται· *Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου* (γ)· ὄνομα τὸ κατὰ τὴν πίστιν τὴν κατὰ Χριστὸν μυστήριον λέγων, ὃ οὐκ εἰς ἀπόῤῥητον ἐχεμυθίαν, ἀλλ' ἅπασι προὔπτον προβάλλεσθαι ὑπισχνεῖται. Ἀναλόγως δὲ ταῖς ἀπὸ Ἰακὼβ φυλαῖς καὶ οἱ πυλῶνες, ὅτι μηδὲ πάντα κατήργηται τὰ τῆς Παλαιᾶς τῇ κατὰ Χριστὸν πίστει, ἀλλ' ὅσον τὰ νηπιώδη τῆς ἀνδρικῆς καταστάσεως ἀσθενέστερα. *Ἃ ἐστι τῶν δώδεκα φυλῶν τῶν υἱῶν Ἰσραήλ.*] Τοὺς πιστοὺς καλέσας *Ἰσραήλ*, ἐπιμεμένηκε καὶ τῷ τοῦ πληρώματος αὐτῶν ἀριθμῷ· δώδεκα γὰρ φυλὰς εἰπών, ἃς δὴ καὶ κατὰ τὴν τριάδα διηρῆσθαι τῷ τετραμερεῖ τοῦ κόσμου σχήματι, καὶ ἰσαρίθμους τοῦ σταυρικοῦ σημείου τῇ διαστολῇ κατὰ τριπλασιασμὸν, δῆλον, καὶ τὰ ἀφωρισμένα μέρη ἀποφήνας, τούτων καὶ τρισὶ πάλιν πυλῶσιν ἕκαστον εἰληχέναι τὴν

(α) Ἐφες. Β', 18. (β) Ἐξοδ. ΚΗ', 11. 12. (γ) Ἑβρ. Β', 12.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

εἴσοδον διαγράφει. Οὐ γάρ ἐστι τῆς τοῦ ἐσταυρωμένου Κυρίου μυήσεως κατευμεγεθῆσαι, μὴ τῇ ὑπερθέῳ Τριάδι τὸ εἰσαγώγιμον εἰληχότα. Ἅπαντα γὰρ τοῦ κόσμου τὰ πέρατα οἱ θεῖοι ἀπόστολοι διειληφότες, Τριάδα τε ὁμοούσιον τοῖς ἔθνεσι κηρύξαντες, ἐβάπτισαν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος (α). *Καὶ ἐπ' αὐτῶν δώδεκα ὀνόματα τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου.*] Τοὺς δώδεκα ἀποστόλους ἤδη καλῶς ποιῶν διεσάφησεν, ὅτι τοὺς δώδεκα ἀποστόλους δηλοῦν σκοπὸς, οὓς καὶ *πυλῶνας* καὶ *θεμελίους* φησί· θεμελίους μέν, ὡς τῆς κατὰ Χριστὸν πίστεως τὴν ὑποβάθραν αὐτοὺς καταθεμένους· πυλῶνας δέ, ὡς δι' αὐτῶν ἤδη, ἤγουν διὰ τοῦ κηρύγματος αὐτῶν, τὸ εἰσαγώγιμον τῆς κατὰ Χριστὸν πίστεως γνωρίζεται.

15 Καὶ ὁ λαλῶν μετ' ἐμοῦ, εἶχε μέτρον, κάλαμον χρυσοῦν, ἵνα μετρήσῃ τὴν πόλιν, καὶ τοὺς πυλῶ-
16 νας αὐτῆς, καὶ τὸ τεῖχος αὐτῆς. Καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ τὸ μῆκος αὐτῆς, ὅσον τὸ πλάτος. Καὶ ἐμέτρησε τὴν πόλιν τῷ καλάμῳ ἐπὶ σταδίους δώδεκα χιλιάδων· τὸ μῆκος καὶ τὸ πλά-
17 τος καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστί. Καὶ ἐμέτρησε τὸ τεῖχος αὐτῆς ρμδ' πηχῶν, μέτρον ἀνθρώπου, ὅ ἐστιν ἀγγέλου.

Ο μὲν *κάλαμος*, ᾧ διεμέτρει τὴν ἁγίαν πόλιν, γεωμετρικὸν ὑπάρχει μέτρον· *χρυσοῦς* δὲ, διὰ τὸ τίμιον τοῦ τε μετροῦντος ἀγγέλου, καὶ τῆς μετρουμένης πόλεως. Ἀνθρωποειδῶς δὲ ἐθεωρήθη ταῦτα, ὅτι μηδὲ ἄλλως, καὶ ὡς ἔχει φύσεως, ὁραθῆναι ταῦτα δυνατὸν, θεῖα ὄντα. *Πόλις* δὲ, τὸ κατὰ Χριστὸν μυστήριον, εἰς ὃ οἱ πυλῶνες ἐμβιβάζειν ἀπέλαχον· ὅτι διὰ τοῦ κηρύγματος ἡ κατὰ Χριστὸν πίστις γνωρίζεται. *Καὶ ἡ πόλις τετράγωνος κεῖται.*] Τοῦ τείχους καὶ

(α) Ματθ. ΚΗ', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς πόλεως τὸ σχῆμα, τετράγωνον, καὶ οἱ πυλῶνες εἰς δώδεκα. Τετράγωνος γὰρ οὖσα ἡ πόλις, τῷ σταυρικῷ σημείῳ κατὰ τὴν διάμετρον διῃρέθη· ἀφ' οὗ καὶ αἱ τέσσαρες πλευραὶ ἀνὰ τρεῖς πυλῶνας τὴν εἴσοδον ὑμοίρησαν σχεῖν, ὡς ἔφθημεν παραθέμενοι. *Ἐπὶ σταδίους δώδεκα χιλιάδων.*] Ἰσάριθμοι τοῖς μακαρίοις ἀποστόλοις οἱ στάδιοι· ἐπεὶ καὶ τοῦ κηρύγματος αὐτῶν καρπὸς ἡ ἐκεῖσε ἀποκειμένη λῆξις, ἰσόμετρος οὖσα κατὰ πάσας τὰς διαστάσεις· καὶ τοῦ κατὰ θεὸν βίου αἱ ἀρεταὶ ἐν συμμετρίᾳ τὸ εἶναι ἔχουσι κατὰ Παῦλον τὸν θεῖον, ὃς οἶδε καὶ ταπεινοῦσθαι, καὶ περισσεύειν, καὶ χορτάζεσθαι, καὶ πεινᾷν (α). *Ἑκατοντεσσαρακοντατεσσάρων πηχῶν.*] Καὶ οὗτος ὁ ἀριθμὸς τῶν μακαρίων ἀποστόλων ἔμφασιν ἔχει. Ὁ δώδεκα γὰρ ἐφ' ἑαυτὸν πολυπλασιασθείς, τὸν ἑκατοντεσσαρακοντατέσσαρα ποιεῖ. Τὸ δὲ μέτρον τῶν ἑκατοντεσσαρακοντατεσσάρων πηχῶν, *μέτρον ἀνθρώπου* εἰπών, ἐπιφέρει, ὅτι τὸ μέτρον τοῦτο ἀγγέλου ἐστίν. Εἰ καί, φησι, κατὰ τὸ δοκοῦν ἀνθρώποις ἐξενήνεκται διὰ πήχεως, μήτις μέντοι οἰέσθω κατ' ἄνθρωπον τὸν μεμετρηκότα, ἀλλ' ἄγγελον, ἀνθρωπίνως χρησάμενον τῇ μετρήσει, καὶ οὐκ ἀγγελικῶς τῇ ἁπλῇ προσβολῇ καὶ νοήσει.

18 Καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους αὐτῆς, ἴασπις· καὶ ἡ πόλις, χρυσίον καθαρόν, ὅμοιον ὑάλῳ καθα-
19 ρῷ. Καὶ οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως, παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος, ἴασπις· ὁ δεύτερος, σάπφειρος· ὁ τρίτος, χαλκηδών·
20 ὁ τέταρτος, σμάραγδος· ὁ πέμπτος, σαρδόνυξ· ὁ ἕκτος, σάρδιος· ὁ ἕβδομος, χρυσόλιθος· ὁ ὄγδοος, βήρυλλος· ὁ ἔννατος, τοπάζιον· ὁ δέκατος, χρυσόπρασος· ὁ ἑνδέκατος, ὑάκινθος· ὁ δωδέκατος, ἀμέθυστος.

Καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους αὐτῆς, ἴασπις.] *Ἐνδόμησιν*,

(α) Φιλιπ. Δ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν οἰκοδομὴν λέγει, οἱονεὶ τὴν σπουδὴν καὶ ἀκρίβειαν τὴν περὶ τὸ κήρυγμα τῶν ἀποστόλων. Ἡ δὲ χλωριάζουσα ἴασπις, τὸν τοῦ εὐαγγελίου δρόμον αἰνίττεται, τὸν χλωρίζον εἰσαεὶ καὶ ἀμάραντον διατηροῦντα τὸ κήρυγμα. *Καὶ ἡ πόλις, χρυσίον καθαρόν.*] Τὸ ἀείζωον κήρυγμα ἐπὶ κατασκήνωσιν ἄγει τῆς μακαρίας καὶ ἀδιαδόχου ζωῆς, ἥτις *πόλις*, ἤγουν σκήνωσις, χρυσίῳ παραβάλλεται καθαρῷ, ξενιζούσῃ τῇ διαυγείᾳ ὑάλῳ καθαρῷ ὁμοιουμένη. *Καὶ οἱ θεμέλιοι λίθοι τοῦ τείχους τῆς πόλεως, παντὶ λίθῳ κεκοσμημένοι.*] Λίθοις πολυτίμοις διαμορφοῖ τὰς ἀρετὰς τῶν θείων ἀποστόλων, οὓς καὶ *θεμελίους* καλεῖ τῆς πόλεως. Δώδεκα δὲ ὄντων τῶν λίθων τῶν ἐν τῷ λογείῳ τοῦ ἀρχιερέως (α), ὀκτὼ μόνον ἐκ τούτων τοῖς θεμελίοις ἐντάττει· τοὺς τέσσαρας δὲ παραλλάσσει· ἵν' ἐκ τούτων φανῇ καὶ τὸ σύμφωνον τῆς Παλαιᾶς πρὸς τὴν Νέαν, καὶ τὸ ὑπερέχον τῆς Νέας καὶ τῶν ἐν αὐτῇ διαλαμψάντων ὅσον πρὸς τὴν Παλαιάν. Οἱ τοίνυν ἀπόστολοι πάσῃ ἀρετῇ, τῇ διὰ τῶν τιμίων λίθων ἐμφαινομένῃ, κεκόσμηνται.

α'. *Ὁ πρῶτος, ἴασπις.*] Διὰ τῆς ἰάσπιδος, χλωριζούσης τὴν χρόαν κατὰ τὴν σμάραγδον, εἰκὸς τὸν κορυφαῖον Πέτρον δηλοῦσθαι· ὃς πρὸ τοῦ πάθους τοῦ Κυρίου ἐν ἁπάσαις ταῖς πρὸς αὐτὸν τοῦ Κυρίου ἐρωτήσεσιν ἀειθαλὴς ὢν καὶ νεάζων, ἐάλω γοῦν τῇ ἀπὸ τοῦ δέους χλωρότητι κατὰ τὸ τοῦ διδασκάλου πάθος κατακρατηθείς, ὡς καὶ πρὸς ἄρνησιν χωρῆσαι. Ὅμως τῇ αὐτῇ πάλιν κατὰ τὸ κρεῖττον συγκροτούμενος ἀειθαλίᾳ, αὐτός τε τοῦ θανατοῦντος ταῖς τῶν δακρύων ῥοαῖς ἀπήλλακται δίψους, καὶ ἡμᾶς εἰς τόπον χλόης διὰ τοῦ ὕδατος τοῦ σωτηριώδους βαπτίσματος κατεσκήνωσεν (β).

β'. *Ὁ δεύτερος, σάπφειρος.*] Οὕτω τοῦ Καλαΐνου χρώματος καλουμένου, ὅ τινες Βενετόν φασι, τῷ οὐρανίῳ ἀπεικά-

(α) Ἔξοδ. ΚΗ'. (β) Ψαλμ. ΚΒ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζεται χρώματι, ἤτοι τῷ τοῦ ἀέρος ἔάθει, ὃ τὸ οὐράνιον ἐπιπροσθεῖ σῶμα· εἴγε καὶ τοῦτο αἰσθήσει ληπτόν, ἀλλὰ μὴ, κατὰ τὸν Σταγειρίτην, πέμπτου σώματος φύσιν τινὰ κατείργασται. Ἀλλ' εἰ καὶ τοῦτο τῆς ὁρατικῆς αἰσθήσεως ἡμῶν μὴ οἵάς τε οὔσης τὰ πορρώτατω διακριβοῦν, ἐπιπροσθοῦντος οἱά τινος παραπετάσματος, κἂν μέντοι τὸ χρῶμα ἐμφανίζειν πειρᾶται, σαπφείρῳ ἀφομοιῶν τὸν δεύτερον θεμελιον· ὃς σάπφειρος τῷ οὐρανίῳ ἀπεικάζεται σώματι· καὶ ὅπως, εἴρηται· ἐξ οὗ σαπφείρου φασὶ καὶ τὸ Λαζούριον χρῶμα γίνεσθαι. Τούτῳ τῷ λίθῳ τὸν μακάριον Παῦλον ἔνδικον ἀπεικάζεσθαι, ἕως τρίτου οὐρανοῦ ἀναληφθέντα(α), κἀκεῖ ἕλκοντα τοὺς αὐτῷ πειθομένους.

γ'. *Ὁ τρίτος, χαλκηδών.*] Οὗτος ἐν τῷ ἱερατικῷ λογείῳ οὐκ ἐμφέρεται, ἀλλ' ἄνθραξ, ὃς ἐνταῦθα οὐ κεῖται. Σκοπητέον οὖν, μή ποτε τὸν ἄνθρακα οὕτως ἐκάλεσεν ὁ ἅγιος. Ἄνθραξ δὲ ὁ μακάριος Ἀνδρέας, ἅτε ἐν τῇ ἀχλύϊ τοῦ κατὰ τὸν νόμον βίου αὐτός τε τῷ καθ' ἑαυτὸν φωτὶ τὸν ζητούμενον Μεσσίαν εὑρὼν, καὶ τοῖς γνωρίμοις μηνύων καὶ ἐμφανίζων (β). Ἅμα δὲ, εἰ καὶ ἄλλος, ὁμοιόχρους ἄνθρακι ὁ χαλκηδών ἐστι λίθος, οὕτω κληθεὶς, παρόσον κατὰ τὸν Χαλκηδονος πορθμὸν, ἄνω Χρυσοπόλεως, κατὰ τὰς Συμπληγάδας πέτρας, ἐν τοῖς ἐκτὸς τούτων ἀπανθρώποις χωρίοις, χοιράσεσι καὶ σκοπέλοις τῶν αἰγιαλῶν ἠχρειωμένων, μετ' ἄλλων λίθων ἀνευρίσκεται πολυτίμων, ὡς τοῖς τὰ πάτρια Βιθυνῶν ἀναταξαμένοις εἴρηται.

δ'. *Ὁ τέταρτος, σμάραγδος.*] Διὰ τοῦ σμαράγδου, τὸ πράσιον χρῶμα ἐμφανιζομένου, τήν τε διαύγειαν ἐξ αὐτοῦ προσλαμβάνοντος καὶ τὴν ὥραν, τὸ τοῦ εὐαγγελιστοῦ Ἰωάννου νομίζομεν δηλοῦσθαι κήρυγμα, θείῳ ἐλαίῳ φαιδρύνον τὴν προσγινομένην ἡμῖν ἐξ ἁμαρτίας κατήφειαν.

ε'. *Ὁ πέμπτος, σαρδόνυξ.*] Τούτῳ Ἰάκωβον, τὸν τοῦ Ζε-

(α) Β' Κορ. ΙΒ', 2. (β) Ἰωαν. Α'. 42.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βεδαίου, χαρακτηρίζεσθαι ὑπειλήφαμεν. Ὡς γὰρ ὁ λίθος οὗτος καὶ χρόαν αἱματιαίαν ἐγκολπίζεται, οὕτω δὴ καὶ ὁ μακάριος οὗτος, ἐναρχομένου τοῦ φωτοειδοῦς λευκοῦ καὶ θείου κηρύγματος, τῷ δι' αἵματος δρόμῳ τῷ διδασκάλῳ Χριστῷ πρὸς τὴν οὐράνιον καὶ ἀείζωον καὶ πλήρη φωτὸς λῆξιν παραπέμπεται.

ς'. *Ὁ ἕκτος, σάρδιος.*] Οὗτος, πυρρὸς τὴν χρόαν ὑπάρχων, τῷ διαπύρῳ τῆς περὶ τὸν Χριστὸν διαθέσεως τὸν Φίλιππον ἀναφαίνει. Ὡς γὰρ ὁ λίθος οὗτος θεραπευτικὴν ἔχει δύναμιν οἰδημάτων σαρκικῶν καὶ τῶν ἀπὸ αἰδήρου πληγῶν, οὕτω καὶ τῆς τοῦ Φιλίππου ἀρετῆς τὸ κάλλος ὑπαδύεται.

ζ'. *Ὁ ἕβδομος, χρυσόλιθος.*] Βαρθολομαῖος ἀπεικάζεται τῷ χρυσολίθῳ, τῷ πολυτίμῳ τῶν ἀρετῶν χρυσοειδεῖς ἀποστίλβων λαμπρότητας καὶ οὗτος, οὐ μέντοι καὶ ὡς ὁ χρυσὸς τῷ τήκεσθαι δυστυχῶν, στερρότητι δὲ λιθίνῃ τὸ κήρυγμα καταπλουτῶν ἔμμονον.

η'. *Ὁ ὄγδοος, βήρυλλος.*] Θωμᾶς ἀπεικάζεται τούτῳ, θαλασσοειδεῖ τὴν χρόαν καὶ ἀκινθίζοντι, τό, τε πρὸς πίστιν αὐτοῦ ἀστάθμητον ὑπογράφοντι, καὶ μάλιστα τὸ μακροδαπὲς τῆς ἀποστολῆς, μέχρις Ἰνδῶν καὶ διὰ θαλάσσης ἐκτελεσθείσης.

θ'. *Ὁ ἔνατος, τοπάζιον.*] Ὁ τόπαζος, ἐρυθρὸς καὶ ἀνθρακίζων τῷ εἴδει, καὶ λευκὸν ὀπὸν ἀφιεὶς ὀφθαλμιῶσιν ἀλεξίπονον, τὸν θεῖον Ματθαῖον ἔξει ἀφομοιούμενον, πεπυρωμένον τῷ θείῳ ζήλῳ, ὡς καὶ τὴν μέχρι σαρκὸς καὶ αἵματος καὶ γαλακτοτροφίας ἐνανθρώπησιν τοῦ θεοῦ λόγου ἀναγράψαι· δι' ὧν τοὺς τὴν καρδίαν τυφλώττοντας καὶ νηπιώδη τὴν πίστιν ἔχοντας, τοὺς τῇ κατὰ νόμον, φημί, πολιτείᾳ παιδαγωγουμένους, πρὸς ἀνδρικὴν κατάστασιν, τὴν κατὰ Χριστὸν, ἐπανήγαγεν.

ι'. *Ὁ δέκατος, χρυσόπρασος.*] Τούτῳ Θαδδαῖος ἀνάκειται, ὁ τῷ Αὐγάρῳ, βασιλεῖ Ἐδέσσης, τὴν τοῦ Χριστοῦ πίστιν εὐαγγελισάμενος (1)· ἥτις, χρυσὸς χρηματίζουσα τὴν ἰδέαν,

(1) Εὐσεβ. Ἐκκλ. Ἱστ. Βιβλ. Α'. Κεφ. ΙΓ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ταύτῃ τὸ τίμιον ἑαυτῇ μνωμένη, οὐδὲ τοῦ πρασίου ἀμαιρεῖ, εἴτουν τὴν πρὸς τὰ ἐμπαθῆ νέκρωσιν τῆς κατὰ Χριστὸν πίστεως αἰνιττομένης τῆς ἀποκαλύψεως, εἴτε καὶ τὸ ἀείζωον διὰ τῆς ἀειθαλίας τοῦ πρασίου χρώματος.

ια'. *Ὁ ἑνδέκατος, ὑάκινθος.*] Τούτῳ, κυανίζοντι τὴν χρόαν, ἤγουν ἀερίζοντι, ὁ Σίμων ὁ ζηλωτὴς ἀπεικάζεται, τοῦ μὲν τῶν ζηλωτῶν ἀειπλανοῦς στίφους χρηματίζων· (διὸ καὶ ὡς ἀερίζων καὶ ἐξηνεμωμένος τὸ φρόνημα·) ἀλλ' οὖν τῇ ἐπιγνώσει τῆς ἀληθείας, εἰ καὶ ὀψέ, τὸν ζῆλον ἐπὶ τὸ βέλτιστον μεθαρμοσάμενος·

ιβ'. *Ὁ δωδέκατος, ἀμέθυστος.*] Οὗτος, πυρρὸς τὸ χρῶμα φαινόμενος, τῷ Ματθίᾳ εἰκότως ἁρμοσθήσεται, τῆς τῆς ἀπ' οὐρανοῦ ῥυείσης ὀπτασίας ἐμπύρου δρόσου τοῖς ἕνδεκα κοινωνούντι· παρὸ καὶ μέθῃ κατάληπτοι τοῖς ἀνοήτοις ὑποπτεύθησαν, εἰ καὶ πάσης νήψεως κρείττους διέκειντο· διόπερ καὶ τῷ ἀμεθύστῳ προσενεμήθη· ὅτι μηδὲ ὁ τὸν ἀμέθυστον ἐπιφερόμενος, ἡττᾶσθαι μέθῃ διατεθρύλληται.

21 Καὶ οἱ δώδεκα πυλῶνες, δώδεκα μαργαρῖται· ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου. Καὶ ἡ πλατεῖα τῆς πόλεως, χρυσίον καθαρὸν, ὡς
22 ὕαλος διαυγής. Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ· ὁ γὰρ Κύριος ὁ θεὸς ὁ παντοκράτωρ, ναὸς αὐτῆς ἐστι,
23 καὶ τὸ ἀρνίον. Καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου, οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν αὐτῇ· ἡ γὰρ δόξα (1) τοῦ θεοῦ ἐφώτισεν αὐτὴν, καὶ ὁ λύχνος
24 αὐτῆς τὸ ἀρνίον· καὶ περιπατήσουσι τὰ ἔθνη διὰ τοῦ φωτὸς αὐτῆς (2)· καὶ οἱ βασιλεῖς τῆς γῆς φέ-
25 ρουσι τὴν δόξαν καὶ τιμὴν αὐτῶν εἰς αὐτήν. Καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας· νὺξ
26 γὰρ οὐκ ἔσται ἐκεῖ· καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν

(1) Παρ' ἄλλοις, ἵνα φαίνωσιν· αὐτὴ γὰρ ἡ δόξα.
(2) Κοινῶς, Καὶ τὰ ἔθνη τῶν σωζομένων ἐν τῷ φωτὶ αὐτῆς περιπατήσουσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

27 τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν (1). Καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν, καὶ ποιοῦν βδέλυγμα καὶ ψεῦδος, εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου.

Μαργαρίταις τοὺς ἁγίους ἀποστόλους ἀπεικάζει, καὶ ἀνὰ ἕκαστον αὐτῶν τὸ παράδοξον, οὐχ ὅπως τῇ λευκότητι τοῦ βίου ἐπιφαίνοντας, ἀλλ' ἤδη καὶ τῷ μεγέθει καὶ ἀναστήματι τῶν ἐγχειρημάτων τὸ κατάπληκτον ἐπαγομένους. Τὴν δὲ πλατείαν τῆς πόλεως, ἤτοι τῆς μακαρίας κατασκηνώσεως τὸ διεξοδικὸν καὶ διώσιμον, χρυσίῳ ἀπείκασε. Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ.] Τίς γὰρ χρεία ναοῦ αἰσθητοῦ τῇ ἐχούσῃ τὸν θεὸν, *ἐν ᾧ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμὲν* (α), ὁρουρὸν καὶ σκεπαστήν; Οὗτος γάρ ἐστι τῶν ἁγίων καὶ ναὸς καὶ ἔνοικος, ἐνοικῶν ἐν αὐτοῖς καὶ ἐμπεριπατῶν (β), καθὼς ἐπήγγελται· *καὶ τὸ ἀρνίον*, ὁ δι' ἡμᾶς σφαγιασθεὶς ἀμνὸς τοῦ θεοῦ. *Καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου, οὐδὲ τῆς σελήνης.*] Τῶν αἰσθητῶν ἁπάντων ἠχρειωμένων, εἰλότως καὶ ὁ ἥλιος καὶ ἡ σελήνη ἠχρείωνται, ἅτε νοητῶς πάντων τῶν ἐν τῇ τηνικάδε καταστάσει περιαυγαζομένων. *Νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ.*] Ἔτι μηδὲ νὺξ ἐκεῖ, καθ' ἣν μοχλοῖς καὶ κλείθροις περιγίνεται ἡ ἀσφάλεια· ὅτι κἀκεῖ οἱ θεῖοι πυλῶνες, οὓς τοὺς ἀποστόλους εἶναι εἰρήκαμεν, ἐνεργεῖς ἔσονται πρὸς τὴν τῶν τελειοτέρων μύησιν· ἡμέρας γὰρ οὔσης ἀεὶ, καθ' ἣν τὰ τοῦ φωτὸς ἔργα πεπράξεται, πῶς οἰόντε τὴν νυκτερινὴν ἀπραξίαν παρείσδυσιν ἐκεῖ σχεῖν, νυκτὸς τὸ παράπαν οὐκ οὔσης; — Δισσὸν τὸ νόημα. Ἢ γὰρ τοῦτο βούλεται δηλοῦν, ὅτι εἰρήνη ἔσται καὶ ἀσφάλεια, ὡς μηδὲ δεῖσθαι φυλακὴν ποιεῖσθαι τῆς πόλεως τῇ τῶν πυλῶν ἀποκλείσει· ἢ τὸ κἀκεῖ τοὺς θείους πυλῶνας τῆς ἀποστολικῆς διδασκαλίας ἠνεῳχθαι πᾶσι πρὸς τὴν τῶν τελειοτέρων μάθη-

(1) Παρ' ἄλλοις προστίθεται μετὰ τοῦτο, ἵνα εἰσέλθωσι.
(α) Πράξ. ΙΖ', 28. (β) Β' Κορ. ς', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιν. Ἡμέρα δὲ ἔσται ἐκεῖ, καὶ οὐ νύξ· ὅτι αὕτη τοῖς ἁμαρτωλοῖς ἀποκληρωθήσεται.—*Καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμήν.*] Οἱ τὰ γήϊνα καταγωνισάμενοι πάθη, οἴσουσι δόξαν τῷ συναντιλαμβανομένῳ θεῷ· οὐδὲν γὰρ ἂν τῶν κατωρθωμένων ἀνθρώποις θείας ἐπικουρίας ἐκτὸς συσταίη. Οὓς δὲ ἄνω *βασιλεῖς* εἴρηκε *τῆς γῆς*, τούτους εἰσαγωγοὺς φησι τῶν ἐθνῶν τῆς δόξης καὶ τῆς τιμῆς. Τί δὲ διὰ τούτων παριστᾷ; Ἢ ὅτι οἱ καταπαλαίσαντες τὰ περὶ γῆν ἱλυττόμενα πάθη τῷ καθ' ἑαυτοὺς ὑποδείγματι καὶ τοῖς λοιποῖς ἔθνεσιν εἰσαγώγιμον πεποιήκασι τὴν ἄνω Ἱερουσαλήμ, οὗπερ ὑπόδειγμα δόξα καὶ τιμή· ἡ πρὸς δόξαν καὶ τιμὴν τοῖς ἔθνεσι συνετέλεσαν.

ΚΕΦΑΛΑΙΟΝ ΞΗ'.

Περὶ τοῦ καθαροῦ ποταμοῦ, τοῦ ὀπτανθέντος ἐκ τοῦ θρόνου πορεύεσθαι.

ΚΕΦ. XXII, 1 Καὶ ἔδειξέ μοι καθαρὸν ποταμὸν ὕδατος ζωῆς, λαμπρὸν ὡς κρύσταλλον, ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ θεοῦ καὶ τοῦ ἀρνίου ἐν
2 μέσῳ τῆς πλατείας αὐτῆς (1). Καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐκεῖθεν ξύλον ζωῆς, ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα ἕνα ἕκαστον ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ· καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θε-
3 ραπείαν τῶν ἐθνῶν. Καὶ πᾶν κατάθεμα (2) οὐκ ἔσται ἔτι (3)· καὶ ὁ θρόνος τοῦ θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται· καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύ-
4 σουσιν αὐτῷ· καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ, καὶ
5 τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. Καὶ νὺξ

(1) Παρ' ἄλλοις; ὀρθότερον· ἀρνίου. Ἐν μέσῳ τῆς πλατείας αὐτῆς, καὶ τοῦ ποταμοῦ, ἐντεῦθεν καὶ ἐντεῦθεν...

(2) Κοινῶς, κατανάθεμα. (3) Παρ' ἄλλοις; ἐκεῖ, ἀντὶ τοῦ, ἔτι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ ἔσαι ἐκεῖ (1)· καὶ χρείαν οὐκ ἔχουσι λύχνου καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ θεὸς φωτίζει αὐτοὺς (2)· καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Διττὴν ἴσμεν τοῦ ποταμοῦ τὴν ὠφέλειαν, δίψους ἀνάκτησιν, καὶ ῥύπου κάθαρσιν, ὧν ἀμφοτέρων πλήρης ἡ κατὰ τὸ εὐαγγελικὸν τοῦ Χριστοῦ κήρυγμα ζωή. Δίψος τε γὰρ ἀνεκτήσατο τῶν πρὸ τῆς παρουσίας Χριστοῦ προφητῶν, ἐδίψησέ σοι, φασκόντων, ἡ ψυχὴ ἡμῶν (α), καὶ βαπτίσματι θεουργῷ τοὺς λουομένους ἁγνίζουσα ἐκάθαρε. Καὶ ὅτι σκοπὸς τῷ εὐαγγελιστῇ, τὸ βάπτισμα παρεμφαίνειν τὸν ποταμὸν ἐνταῦθα, ἐχέγγυον πιστώσασθαι τῷ ἀπὸ τοῦ θρόνου τοῦ ἀρνίου ἐκπορεύεσθαι αὐτὸν ὑποθέσθαι, καὶ μέσον τῆς πλατείας διαῤῥεῖν, τοῦ εὐαγγελικοῦ δηλαδὴ κηρύγματος. Οὐ γάρ ἐστιν εἰς τὴν ἄνω Ἱερουσαλὴμ εἰσελθεῖν, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, τὸν μὴ ἄνωθεν ἀναγεννηθέντα δι' ὕδατος καὶ πνεύματος (6). *Καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐκεῖθεν.*] Ἐντεῦθεν καὶ ἐκεῖθεν τοῦ εὐαγγελικοῦ κηρύγματος, ἐντεῦθεν, κατὰ τὴν παροῦσαν ζωὴν, ἐκεῖθεν, κατὰ τὸν μέλοντα αἰῶνα. *Ξύλον* δὲ ζωῆς, τὴν ἔνθεόν φησι σοφίαν. Τούτου τοῦ ξύλου ἡ κατὰ Χριστὸν ἐχομένη διδασκαλία ἀπὸ τῆς ἐντεῦθεν εὐπραγίας εἰς τὴν μακαριότητα καταντήσει. Τίς δὲ ἡ ἐντεῦθεν εὐπραγία; Τὸ προσηκόντως μεταχειρίζεσθαι καὶ κατὰ καιρὸν τὰς θεοποιοὺς ἀρετὰς, ἀλλὰ μὴ ἀκαίρως ἢ ὑπερβαθμίως ἀνηνύτῳ σπουδάσματι ματαιοποιεῖν. Ἰσάριθμος δὲ τοῖς διαπονοῦσι καὶ ἡ κατὰ καιρὸν μεταχείρισις, ὅτι μηδ' ὑπερτείνειν, ἀεὶ δὲ ἐνδεῖν ἐχρῆν τοῦ καιροῦ τοὺς ἐργάτας, τεταγμένως δὲ διεξάγεσθαι τὰ πάντα ἐν σοφίᾳ ποιοῦντας. Πρὸς τούτοις, καὶ τὰ φύλλα φησὶ τοῦ ξύλου εἰς θεραπείαν καταγγέλλεσθαι, οἱονεὶ φημίζεσθαι, τῶν ἐθνῶν. Τί διὰ τούτων

(1) Παρ' ἄλλοις, ἔτι. (2) Παρ' ἄλλοις· καὶ οὐ χρεία λύχνου καὶ φωτός, ὅτι... φωτιεῖ αὐτούς.
(α) Ψαλμ. ΞΒ', 1. (6) Ἰωαν. Γ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐνστῆναι θέλει; Τὸ φύλλον οὖν περικάρπιον ἴσμεν σκέπασμα. Ἐκ τούτου συνίεμεν, ὡς τὰ τελειότερα τῶν κατὰ θεὸν καὶ διαυγείᾳ κρυσταλλοειδεῖ περιαυγαζομένων ἔργων τοῖς τελειοτάτοις κατ' ἀρετὴν εἰς ἐξέτασιν ἀνατίθεται· δυνατοὶ γὰρ δυνατῶς ἐτασθήσονται (α)· ὅσα δὲ τοῦ τροφίμου μὲν ἀμοιρεῖ τῶν καρπῶν, εἰς δεῖγμα δὲ τοῦ ὅτι τέθνηκε τὸ φυτὸν μόνον παραλαμβάνεται, τῇ τῶν ἐθνῶν θεραπείᾳ προσνέμεται. Τῇ Χριστοῦ γὰρ τούτων ὑπαχθέντων δουλείᾳ περιττὸν τὸ πρὸς ἀκρίβειαν ἐπὶ τούτων ἀνερευνᾶν. *Καὶ ὁ θρόνος τοῦ θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται.*] Ὁ ἀρεταῖς θεοφιλέσιν εἰς ὄχημα θεῖον ἑαυτὸν ἠὐτρεπικὼς, εἰς τὴν θεοῦ δὲ καὶ τοῦ ἀρνίου ἀνάπαυσιν διὰ τῶν τῆς παλαιᾶς καὶ καινῆς Διαθήκης θείων εἰσηγήσεων ἀόκνως δραμὼν, καὶ θείας ἱδρύσεως ἠμοιρηκὼς, αὐτὸς τῆς πόλεως τῆς ἄνω Ἱερουσαλὴμ ἔσται οἰκήτωρ, καὶ ὄψεται τὸν θεὸν πρόσωπον πρὸς πρόσωπον, οὐ δι' αἰνιγμάτων, ἀλλ' ὥσπερ τοῖς ἁγίοις ἀποστόλοις ἐν τῷ ἁγίῳ ὄρει τεθέαται (β), ὥς φησιν ὁ μέγας Διονύσιος. *Καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*] Οἱ ἅγιοι δηλονότι συμβασιλεύσουσι τῷ Χριστῷ εἰς τοὺς ἀτελευτήτους αἰῶνας.

ΚΕΦΑΛΑΙΟΝ ΞΘ.

Περὶ τοῦ ἀξιοπίστου τῶν τεθεαμένων τῷ ἀποστόλῳ.

6 Καὶ εἶπέ μοι· Οὗτοι οἱ λόγοι, πιστοὶ καὶ ἀληθινοί· καὶ Κύριος ὁ θεὸς τῶν πνευμάτων τῶν προφητῶν (1) ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ δεῖξαι τοῖς δούλοις αὐτοῦ, ἃ δεῖ γενέσθαι ἐν τάχει.

(α) Σοφ. ϛ', 7. (β) Ματθ. ιζ'. (1) Παρ' ἄλλοις, τῶν ἁγίων προφητῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ εἰωθὸς αὐτῷ ὁ μακάριος οὗτος εὐαγγελιστὴς κἀνταῦθα, ὡς καὶ ἐν τῷ εὐαγγελίῳ αὐτοῦ, εἰς γνώρισμα τοῦ γνησίου, τὸ· *Καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ (α)*· οὕτω καὶ νῦν ἐπισφραγίζων φησὶ, τοὺς λόγους πιστοὺς καὶ ἀληθινοὺς ἐκτεθεῖσθαι, ἐκεῖθεν ἕλκοντας τὸ πιστὸν, ἀπὸ Κυρίου τοῦ θεοῦ δηλαδὴ, ὃς καὶ τοῦ χαρίσματος τῶν προφητῶν Κύριος. Τοῦτο γὰρ βούλεται παριστᾶν διὰ τοῦ, *Κύριος τῶν πνευμάτων*, ὡσπερεὶ ἔλεγε, Κύριος τοῦ προφητικοῦ χαρίσματος.

ΚΕΦΑΛΑΙΟΝ Ο΄.

Ὅτι θεὸς τῶν προφητῶν ὁ Χριστὸς καὶ δεσπότης τῶν ἁπάντων.

7 Ἰδοὺ (1), ἔρχομαι ταχύ· μακάριος ὁ τηρῶν τοὺς
8 λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου. Καὶ ἐγὼ Ἰωάννης ὁ ἀκούων καὶ βλέπων ταῦτα· καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα, ἔπεσον προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου, τοῦ δεικνύοντός μοι ταῦτα.
9 Καὶ λέγει μοι· Ὅρα, μή· σύνδουλός σου εἰμὶ καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν, καὶ τῶν τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου· τῷ θεῷ προσκύνησον.

Τηροῦντας λέγει τοὺς σπουδάζοντας μὴ περιπεσεῖν ταῖς εἰρημέναις ἐν τῷ βιβλίῳ τούτῳ κολάσεσιν, ἀλλὰ διὰ βίου θεαρέστου ἁμοιρεῖν αὐτῶν. *Καὶ ἐγὼ Ἰωάννης ὁ βλέπων καὶ ἀκούων ταῦτα.*] Καὶ τοῦτο τῆς ἀποστολικῆς ψυχῆς ἰδίωμα. Ὅπερ γὰρ καὶ ἐν τῷ εὐαγγελίῳ πεποίηκεν εἰπών· *Καὶ ὁ ἑωρακὼς μεμαρ-*

(α) Ἰωαν. ΚΑ΄, 24.
(1) Παρ' ἄλλοις, Καὶ ἰδού.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τόρηκε, καὶ ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ (α)· τοῦτο κἀνταῦθα ποιεῖ, αὐτήκους εἶναι καὶ αὐτόπτης τῶν προφητευθέντων ὁμολογήσας· διὰ γὰρ τούτου τὰ ἑωραμένα ἐπιστώσατο. Ἔδειξε δὲ, ὡς προείρηται, καὶ τὸ τοῦ διατυποῦντος τὴν ὅρασιν ἀγγέλου εὐλαβές, καὶ τὸ ἑαυτοῦ.

ΚΕΦΛΑΙΟΝ ΟΑ'.

Ὅπως ἐκελεύσθη, μὴ σφραγίσαι, ἀλλα κηρῦξαι τὴν ἀποκάλυψιν.

10 Καὶ λέγει μοι· Μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· ὅτι ὁ καιρὸς ἐγ-
11 γύς ἐστι. Ὁ ἀδικῶν, ἀδικησάτω ἔτι· καὶ ὁ ῥυπαρὸς, ῥυπαρευθήτω ἔτι· καὶ ὁ δίκαιος, δικαιοσύνην
12 ποιησάτω ἔτι· καὶ ὁ ἅγιος, ἁγιασθήτω ἔτι. Ἰδοὺ, ἔρχομαι ταχύ· καὶ ὁ μισθός μου μετ' ἐμοῦ, ἀπο-
13 δοῦναι ἑκάστῳ ὡς τὸ ἔργον αὐτοῦ ἔσται. Ἐγὼ τὸ Ἄλφα καὶ τὸ Ω μέγα, ἀρχὴ καὶ τέλος, ὁ πρῶτος καὶ ὁ ἔσχατος (1).

Μὴ σφραγίσῃς, καὶ τὰ ἑξῆς.] Τουτέστι, Μὴ παρὰ σαυτῷ συγκλείσας φυλάξῃς, ἀλλὰ φανέρωσον ἅπασι. Διὰ δὲ τοῦ, *Ὁ καιρὸς ἐγγύς ἐστι*, τοιοῦτό τι βούλεται δηλοῦν· Ὁ καιρὸς τῆς ἐκβάσεως τῶν εἰρημένων, οὐ τὸ πλεῖστον ἀπέχει τῶν εἰρημένων ὡς τότε, ἀλλὰ μὴ νῦν χρείαν ἔχεις αὐτῶν ἀκούειν. Ὅσον μὲν οὖν τὸ μὴ ἤδη παρεῖναι, ἀκούειν χρεία· ὅσον δὲ τὸ μόνον οὐ παρεῖναι, ἀλλὰ σχεδὸν ἐνεργεῖσθαι, περιττὸν τὸ ἀκούειν. *Ὁ ἀδικῶν, ἀδικησάτω ἔτι.*] Οὐ προτροπὴ τοῦτο, ἀλλ' ἔλεγχος

(α) Ἰωαν. ΙΘ', 35.
(1) Παρ' ἄλλοις, Ἐγὼ τὸ Α καὶ τὸ Ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος, ἡ ἀρχὴ καὶ τὸ τέλος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς ἑκάστου πρὸς ὅ,τι καὶ βούλοιτο ὁρμῆς. *Ἰδοὺ, ἔρχομαι ταχύ.*] Τὸ, ταχὺ, εἴτε συγκρίσει τῶν ἀπεράντων αἰώνων εἴρηται, ἢ καὶ πρὸς εὐθυμίαν τῶν ἀπεκδεχομένων τὴν ἀντίδοσιν, ἢ καὶ διὰ τὸ ἀπαραλόγιστον καὶ πάντως ἀνυπερθέτως ἐσόμενον. *Ἐγὼ τὸ Ἄλφα καὶ τὸ Ω μέγα.*] Ὅτι μὲν διὰ τοῦ ὑποδείγματος τῶν γραμμάτων τὴν ἀρχὴν παρεδήλωσε καὶ τὸ τέλος, οὐδὲν δυσχερὲς ἐννοῆσαι, καθότι καὶ αὐτὸς ὑπέθετο. Ζητεῖν δὲ τοῖς ἐξεταστικωτέροις περιγίνεται, τίνος χάριν μὴ δι' ἑτέρων τοῦτο, εἰ μὴ διὰ τῶν γραμμάτων ὑπέφηνε. Φαμὲν οὖν, ὡς, ἐπειδὴ τὴν ἀπεκδοχὴν τῶν τοιούτων ἐπαγγελιῶν μόνων τῶν λόγῳ τετιμημένων ἐστὶ προσδοκᾶν, διὰ τοῦτο τὸν τρόπον τοῦτον, καὶ οὐκ ἄλλως πως, ἐδήλωσε. Τεκμήριον δὲ τῆς τοιαύτης δημιουργίας, ἡ τῶν γραμμάτων εὕρεσις. Αὐτὰ δὲ ταῦτα, κατὰ τὸν Σταγειρίτην, σύμβολα τῶν ἐν τῇ εὐστήμῳ φωνῇ ἀνθρώπων. Διὰ τοῦτο καὶ τὸ δηλωτικῇ τῶν ὀνομάτων χρῆσθαι φωνῇ ἐδόκει αὐτῷ· καὶ εἰκότως τῇ τοιαύτῃ δημιουργίᾳ καὶ τοῖς τοιούτοις ὑποδείγμασι τῆς ἀρχῆς ἐχρήσατο καὶ τοῦ τέλους.

14 Μακάριοι οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ἵνα
ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς,
15 καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν. Ἔξω
οἱ κύνες, καὶ οἱ φαρμακοὶ, καὶ οἱ πόρνοι, καὶ οἱ
φονεῖς, καὶ οἱ εἰδωλολάτραι, καὶ πᾶς ὁ ποιῶν καὶ
16 φιλῶν ψεῦδος. Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν
μου μαρτυρῆσαι ὑμῖν ταῦτα ἐπὶ ταῖς ἐκκλησίαις·
ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος τοῦ Δαυὶδ, ὁ ἀστὴρ
17 ὁ λαμπρὸς, ὁ πρωϊνός (1). Καὶ τὸ πνεῦμα καὶ
ἡ νύμφη λέγουσιν· Ἔρχου· καὶ ὁ ἀκούων, εἰπάτω·
Ἔρχου· καὶ ὁ διψῶν, ἐρχέσθω, ὁ θέλων, λαβέτω
ὕδωρ ζωῆς δωρεάν.

Ἤδη εἴρηται, ὅτι *ξύλον τῆς ζωῆς*, τὰ θεόσοφα λόγια καλεῖ·

(1) Κοινῶς· ὁ λαμπρὸς καὶ ὀρθρινός.

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

ἃ περὶ τὰ πρακτικὰ κατὰ τὸ εὐφρονέστατον τὴν σχολὴν ἔχοντα, τὴν τῶν ἁγίων ἐξουσίαν διαπορθμεύεται, ἐλευθερίως διὰ τῶν ἀποστολικῶν ῥήσεων εὐοδούμενα πρὸς τὴν ἄνω Ἱερουσαλήμ. *Πυλῶνες* δὲ ὅτι οἱ ἀπόστολοι, ἤδη τεθεώρηται. *Ἔξω οἱ κύνες, καὶ οἱ φαρμακοί, καὶ οἱ πόρνοι.*] Οὐ μόνον τοὺς ἀναιδεῖς ἀπίστους, ἀλλὰ καὶ τοὺς ἡταιρηκότας, διὰ τὸ ἀναιδὲς αὐτῶν καὶ ἀκάθαρτον, ἀπελαύνει, περὶ ὧν καὶ ὁ θεσπέσιός φησι Μωϋσῆς· *Οὐ προσοίσεις μισθωμα πόρνης, καὶ ἄλλαγμα κυνὸς εἰς οἶκον Κυρίου τοῦ θεοῦ σου, πρὸς πᾶσαν εὐχήν σου* (α). *Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου.*] Κάνταῦθα τὸ δεσποτικὸν τοῦ πεπομφότος τὸν ἄγγελον ἀξίωμα δείκνυται. *Μαρτυρῆσαι* δὲ τὸ διαμαρτύρασθαι, οὐκ ἐν κρυφῇ, οὐδ' ἐν παραβύστῳ, ἀλλ' ἀκουόντων ἁπάντων τῶν ἁπανταχοῦ ἐκκλησιῶν, ἵνα μή τις ἐθελοκάκως ἄγνοιαν προφασισάμενος μείνῃ ἀδιόρθωτος, πονήρως διακείμενος. Τὸ δέ· *Ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος τοῦ Δαυίδ*, ἀκολουθότερον οὕτω νοεῖν· Ἐγώ εἰμι ὁ ἐκ τῆς ῥίζης τοῦ Δαυὶδ βλαστήσας κλάδος. *Γένος* δὲ, ὡς ἐξ αὐτοῦ κατὰ σάρκα ἐκβλαστήσας, ὡς εἶναι τὸν Ἐμμανουὴλ ἐκ θεότητός τε καὶ ἀνθρωπότητος. *Ἀστὴρ* δὲ *πρωϊνὸς*, αὐτὸς ὁ Κύριος χρηματίζει· *πρωϊνὸς* μὲν, ὡς πάσης σωφροσύνης παραίτιος· *λαμπρὸς* δὲ, ὡς φωτίζων πάντα ἄνθρωπον εἰς τὸν κόσμον ἐρχόμενον (β). *Πνεῦμα* δὲ καλεῖ, τοὺς ἠξιωμένους τοῦ πνευματικοῦ γάμου· *νύμφην* δὲ, τὴν ἐκκλησίαν. Τὸ δὲ, *καὶ ὁ ἀκούων*, τούτους ὑπεμφαίνει, τοὺς μήπω μὲν τῇ ἀγέλῃ προσειλημμένους, εἰς ἀκοὴν δὲ τῶν θείων ἀκουσμάτων παρεσκευασμένους, οἳ καὶ ἐπισπεύδουσι γνῶναι τὸν Κύριον.

(α) Δευτ. ΚΓ', 18. (β) Ἰωάν. Α', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΟΒ'.

Ὅπως ἡ ἐκκλησία καὶ τὸ ἐν αὐτῇ πνεῦμα προσκαλοῦνται τὴν τοῦ Χριστοῦ ἔνδοξον ἐπιφάνειαν καὶ περὶ τῆς ἀρᾶς, ἣ ὑποβάλλονται οἱ τὴν βίβλον ταύτην παραχαράττοντες.

18 Μαρτύρομαι ἐγὼ (1) παντὶ τῷ ἀκούοντι τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· Ἐάν τις ἐπιθῇ ἐπ' αὐτὰ, ἐπιθήσει ὁ θεὸς ἐπ' αὐτὸν τὰς ἐπτὰ πληγὰς, τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τούτῳ·
19 καὶ ἐάν τις ἀφέλῃ ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης, ἀφελεῖ ὁ θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, καὶ ἐκ τῆς πόλεως τῆς ἁγίας, τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ.
20 Λέγει ὁ μαρτυρῶν ταῦτα· Ναὶ, ἔρχομαι ταχύ· ἀμήν.
21 Ναὶ, ἔρχου, Κύριε Ἰησοῦ. Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων. Ἀμήν.

Μαρτύρομαι ἐγώ.] Ἀντὶ τοῦ, Διαμαρτύρομαι, οἱονεὶ διαβεβαιοῦμαι, πιστὸν ἀποφαίνομαι καὶ ἀπαράβατον πᾶν τὸ ἐπισημανθὲν τοῖς λόγοις τῆς προφητείας ταύτης. Μαρτύρομαι δὲ, ταύτας τὰς πληγὰς ἁπάσας μέλλειν ἐπενεχθήσεσθαι ἀμεταστρέπτως, τὰς δι' ὅλου τοῦ βιβλίου τούτου ἐπηγγελμένας. Ἐάν τις ἐπιθῇ ἐπ' αὐτά.] Διαμαρτύρεται τοῖς ἀκούουσι, μήτε ἀφελεῖν, μήτε προσθεῖναι, ἀλλὰ τὰ γραφικὰ ἰδιώματα τῶν ἀττικῶν συντάξεων καὶ τῶν διαλεκτικῶν συλλογισμῶν ἡγεῖσθαι ἀξιοπιστότερα καὶ σεμνότερα. Λέγει ὁ μαρτυρῶν ταῦτα.] Ὁ διαμαρτυρόμενος ταῦτα, δι' ἐμοῦ, φησι, λέγει. Τί; Ναὶ,

(1) Παρ' ἄλλοις, Μαρτυρῶ ἐγὼ· καὶ, Συμμαρτυροῦμαι γάρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔρχομαι ταχύ. Διέκοψε γὰρ τὸν εἱρμὸν τοῦ λόγου, ὡς καὶ πρὸ τούτου, μεταξὺ τοῦ ἀφ' ἑαυτοῦ λόγου, τὸν χρηματίζοντα Χριστὸν αὐτοπρόσωπον εἰσάγων. Οὕτως οὖν καὶ νῦν τάχα εἰς παραμυθίαν τοῦ χρηματισθέντος ταῦτα, γηραιοῦ ὄντος, φησὶ τὸ, *Ναί, ἔρχομαι.* Ἢ οὖν ἀπὸ τοῦ χρηματίζοντος, ἢ καὶ ἀπὸ τοῦ χρηματιζομένου ἀκουστέον, ἵνα νοοῖτο οὕτως· Ἐγὼ ὁ μαρτυρῶν ταῦτα, εἰ καὶ τῇ ἀναγκαίᾳ τοῦ βίου ἐλαύνομαι προθεσμίᾳ καὶ πρὸ τοῦ ἐπιστῆναι ταῦτα· ἀλλ' οὖν καὶ αὐτὸς μηδὲν ἀναβαλλόμενος. *Ἔρχου, Κύριε Ἰησοῦ* κατὰ τὴν δευτέραν σου παρουσίαν. Τὸ δὲ, *Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων,* βεβαιοῦντός ἐστιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΝΔΡΕΟΥ,

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ,

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ

ΑΠΟΚΑΛΥΨΙΝ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

ΠΡΟΛΟΓΟΣ.

[ΚΥΡΙΩ ΜΟΥ ΑΔΕΛΦΩ ΚΑΙ ΣΥΛΛΕΙΤΟΥΡΩ.]

Πολλακις αἰτηθεὶς ὑπὸ πολλῶν, ἐξ ἀγάπης μείζονα τῆς ἐμῆς διανοίας ἐσχηκότων ὑπόληψιν, ἀναπτύξαι τὴν τοῦ θεολόγου Ἰωάννου ἀποκάλυψιν, καὶ τοῖς μετὰ τὴν αὐτῆς ὀπτασίαν χρόνοις ἐφαρμόσαι τὰ προφητευθέντα, τοῖς ὑπὲρ ἐμὲ ἐγχειρῆσαι ἀνεβαλόμην· εἰδὼς μεγάλης τοῦτο εἶναι διανοίας, καὶ [τῷ] θείῳ πνεύματι πεφωτισμένης, τῶν μυστικῶς τοῖς ἁγίοις ἐωραμένων ἐν τῷ μέλλοντι χρόνῳ συμβήσεσθαι, ποιεῖσθαι τὴν ἀνάπτυξιν. Εἰ γὰρ τῶν παλαιῶν προφητῶν αἱ βίβλοι ὑπὸ πολλῶν ἑρμηνευθεῖσαι, ἔτι τὸ βάθος τῶν ἐν αὐταῖς μυστηρίων [τοῖς πᾶσιν] ἔχουσιν ἀθέατον ἄχρι τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ τῆς μερικῆς καταργουμένης γνώσεως ἡ τελεία ἀναδειχθήσεται· καίπερ τὰ πλεῖστα περὶ τῆς τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν πρώτης ἐπιφανείας κηρύξασι, εἰ καί τινα τούτοις ἀναμιξ καὶ περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας κατήγγειλαν· πῶς ἄν τις οὐ τολμηρὸς δειχθήσεται, προφητικοῦ μὲν ἀμέτοχος ὢν πνεύματος, ἐγχειρῶν δὲ ἐκείνοις, ὧν οὔπω τὸ τέλος τεθέαται; Ἀλλ' ἐπεὶ ὑπακοὴ μὲν ὑπὲρ θυσίαν ἀγαθὴ, ἡ δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλπὶς οὐ καταισχύνει, καὶ ἡ ἀγάπη οὐ πίπτει, κατὰ τὸν ἀπόστολον (α)· ταύτῃ συνδεδεμένος τῇ θεαρέστῳ σου ψυχῇ, ὦ μακάριε, ἐλπίζων τε δι' αὐτῆς τήν τε τῶν ἐλλειμμάτων ἀναπλήρωσιν, τόν τε τῆς ὑπακοῆς μισθόν, ὃν [τῆς] ἀγάπης οἶδα καρπόν, τὸ ἐπιταχθὲν ἐν ὀλίγῳ πληρώσω, σὺν θεῷ τῷ σορίζοντι. Πρῶτον μὲν οὖν, ὡς οἶσθα καὶ αὐτός, πᾶσα θεόπνευστος γραφή, ἅτε τριμερεῖ τῷ ἀνθρώπῳ ὑπάρχοντι, τριμερὴς ἐκ τῆς θείας δεδώρηται χάριτος· καὶ ταύτης οἷόν τι σῶμα τὸ γράμμα καὶ ἡ κατ' αἴσθησιν ἱστορία καθέστηκεν· οἱονεὶ δὲ ψυχή, ἡ τροπολογία, ἐξ αἰσθητῆς ἐπὶ τὰ νοητὰ ποδηγοῦσα τὸν ἀναγινώσκοντα· καθάπερ δὲ πνεῦμα, ἡ τῶν μελλόντων καὶ ὑψηλοτέρων ἀναγωγὴ καὶ θεωρία πέφηνεν· ὡς τὴν μὲν πρώτην, πρέπειν τοῖς ἐκ [τοῦ] νόμου παιδαγωγουμένοις· τὴν δὲ δευτέραν, τοῖς πολιτευομένοις ἐν χάριτι· τὴν δὲ τρίτην, τῇ μακαρίᾳ λήξει, ἐν ᾗ τὸ πνεῦμα βασιλεύει, ὑποταγέντων αὐτῷ πάντων τῶν σαρκικῶν λογισμῶν τε καὶ κινήσεων. Καὶ τὸ μὲν πρότερον, ἱστορίαις πραγμάτων ἤδη γεγενημένων ἐρήρμοζεν, εἰ καὶ τοῖς προδρόμοις τῆς ἀληθείας τύποις οὐ μικρῶς καὶ αὐτὸ [πολλαχοῦ] κεκαλλώπισται· τὸ δὲ δεύτερον, ταῖς τε παροιμιακαῖς παραινέσεσι, καὶ ἑτέροις τοιούτοις διδασκαλικοῖς ἤθεσιν· οἷον· Ἄκανθαι ῥόνονται ἐν χειρὶ τοῦ μεθύσου (β)· καὶ· Αἰσχύνθητι Σιδών, εἶπεν ἡ θάλασσα (γ)· καὶ τὰ τούτοις ὅμοια. Τὸ δὲ τρίτον, δηλαδὴ τὸ πνευματικόν, ἐν τῇ Ἀποκαλύψει μάλιστα τοῦ θεολόγου ἀνδρὸς πλεονάζον εὑρίσκεται, δαψιλῶς μὲν σὺν τῷ τροπολογικῷ ἤδη καὶ τῷ ἱστορικῷ, κἂν τοῖς ἄλλοις προφήταις ὁρώμενον· ἐν τούτῳ δὲ πλεονάζον μάλιστα, ἅτε τοῖς τελειοτέροις περὶ τὴν γνῶσιν θεόθεν κελευσθὲν διαγγέλλεσθαι. Διὸ καὶ ἡμεῖς, οὐχ ὡς τὰ βάθη κατειληφότες τοῦ ἐν αὐτῷ κεκρυμμένου πνεύματος, τὴν τῶν ἑωραμένων τῷ μακαρίῳ

(α) Ῥωμ. Ε'. 5. (β) Παροιμ. ΚΣ'. 9. (γ) Ἡσ. ΚΓ', 4.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

[θεολόγῳ] ἀνάπτυξιν ποιούμεθα· οὔτε δὲ πάντα κατὰ τὸ γράμμα νοῆσαι τολμῶμεν, ἢ περὶ τῶν ἐστοχασμένων ἡμῖν ἀποφαινόμεθα· ἀλλ' ὡς γυμνασίαν τῷ νῷ πρὸς ἐντρέχειαν παρεχόμενοι, καὶ τῶν μὲν παρόντων, ἅτε παραῤῥεόντων, καταφρόνησιν· τῶν δὲ μελλόντων, ἅτε μενόντων, ἐπιπόθησιν, τὴν ἀκριβῆ τούτων γνῶσιν τῇ θείᾳ σοφίᾳ καταλιπόντες, τῇ καὶ τοὺς χρόνους ἐπισταμένῃ, καθ' οὓς τὰ προφητευθέντα γενήσεται· οὓς ζητεῖν ἡμῖν διὰ τῶν ἀποστόλων ἀπηγόρευται (α). Δι' ὑπακοὴν οὖν τοῦτο πεπράχαμεν· διελόντες τὴν παροῦσαν πραγματείαν εἰς λόγους κδ', καὶ οϐ' κεφάλαια, διὰ τὴν τριμερῆ τῶν κδ' [πρεσϐυτέρων] ὑπόστασιν, σώματος δηλαδὴ καὶ ψυχῆς καὶ πνεύματος· δι' ὧν τῶν ἀρχῆθεν μέχρι συντελείας τοῦ αἰῶνος εὐαρεστησάντων θεῷ τὸ πλήρωμα χαρακτηρίζεται, καθὼς ἐν τοῖς ἑξῆς δηλωθήσεται. Περὶ μέντοι τοῦ θεοπνεύστου τῆς ϐίϐλου, περιττὸν μηκύνειν τὸν λόγον ἡγούμεθα, τῶν μακαρίων, Γρηγορίου [ῥημι] τοῦ θεολόγου, καὶ Κυρίλλου, προσέτι δὲ καὶ τῶν ἀρχαιοτέρων Παππίου, Εἰρηναίου, Μεθοδίου, καὶ Ἱππολύτου ταύτῃ προσμαρτυρούντων τὸ ἀξιόπιστον· παρ' ὧν καὶ ἡμεῖς πολλὰς λαϐόντες ἀφορμὰς, εἰς τοῦτο ἐληλύθαμεν, καθὼς ἔν τισι τόποις χρήσεις τούτων παρεθέμεθα. Σὺ δὲ, ὦ τοῦ θεοῦ ἄνθρωπε, εὐχαῖς τὸν πόνον ἀμείψαι, οὐ μικρὸν, ὡς οἶμαι, συντελοῦντα πρὸς [τὴν] κατάνυξιν διὰ τῆς μνήμης τῶν ἀπονεμηθησομένων τοῖς τε δικαίοις τοῖς τε ἁμαρτωλοῖς ἀμοιϐῶν καὶ ἀντιδόσεων.

(α) Πραξ. Α', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΠΟΚΑΛΥΨΙΣ
ΤΟΥ
ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΚΑΙ
ΕΥΑΓΓΕΛΙΣΤΟΥ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

[ΔΗΛΩΣΙΣ ΑΥΤΗ ΤΩΝ ΘΕΟΥ ΜΥΣΤΗΡΙΩΝ.]

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΚΕΦ. I, 1. Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ θεὸς, δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει·

ΛΟΓΟΣ Α'.

Ἀποκάλυψις [μέν] ἐστιν ἡ τῶν κρυπτῶν μυστηρίων δήλωσις, καταυγαζομένου τοῦ ἡγεμονικοῦ, εἴτε διὰ θείων ὀνειράτων, εἴτε καθ' ὕπαρ, ἐκ θείας ἐλλάμψεως. Δοθῆναι δὲ τῷ Χριστῷ ταύτην φησὶν, ἀνθρωπινώτερον μᾶλλον τὸν λόγον περὶ αὐτοῦ ποιούμενος· ἐπείπερ ἐν τῷ [κατ' αὐτὸν) εὐαγγελίῳ τοῖς ὑψηλοῖς καὶ θεοπρεπέσιν ὑπὲρ πάντας ἐνδιέπρεψε· κἀνταῦθα δὲ διὰ τοῦ διακονοῦντος ἀγγέλου, καὶ τοῦ τῶν μανθανόντων δούλων ὀνόματος, τὸ τῆς θεότητος τοῦ Χριστοῦ ἐμφαίνεται μέγεθος· αὐτοῦ γὰρ δοῦλα τὰ σύμπαντα (α). Τὸ δὲ, *ἐν τάχει γενέσθαι*, σημαίνει τὸ, τινὰ μὲν αὐτῶν παρὰ πόδας γενέσθαι τῆς περὶ αὐτῶν προρρήσεως, καὶ τὰ ἐπὶ συντελείᾳ δὲ, μὴ βραδύνειν· διότι χίλια ἔτη παρὰ θεῷ ὡς ἡ ἡμέρα ἡ ἐχθὲς, ἥτις διῆλθε (β), λελόγισται.

(α) Ψαλμ. ΡΙΗ', 91. (β) Ψαλμ. Πθ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἐσήμανεν ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ
2 τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ, ὃς ἐμαρτύρησε τὸν λόγον [τοῦ θεοῦ,] καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ, ὅσα εἶδε, καὶ ἅτινά εἰσι, καὶ ἃ χρὴ γενέσθαι μετὰ ταῦτα.

Ὁ Χριστός μοί, φησιν, ὡς δεσπότης, ὡς οἰκείῳ δούλῳ, δι' ἀγγέλου ταῦτα δεδήλωκε, τὴν εἰς αὐτὸν ὁμολογίαν μαρτυρήσαντι, ἐφ' ᾧ διὰ τῶν ὁραθέντων διαμαρτύρασθαι καὶ κηρῦξαι πρὸς ἐπιστροφὴν τῶν ἀκουόντων, τά τε ὄντα καὶ [τὰ] τοὺς ἀνθρώπους λανθάνοντα, τά τε ἔσεσθαι μέλλοντα· προφητικῶς γὰρ ἑώρακεν ἀμφότερα· καὶ δῆλον ἐκ τοῦ εἰρῆσθαι, *Ἅτινά εἰσι, καὶ ἃ χρὴ γενέσθαι*. Ταῦτα δέ εἰσι παραστατικὰ τοῦ τε ἐνεστῶτος καὶ τοῦ μέλλοντος χρόνου.

3 Μακάριος ὁ ἀναγινώσκων, καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας, καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα· ὁ γὰρ καιρὸς ἐγγύς.

Μακαρίζει τοὺς διὰ τῶν πράξεων ἀναγινώσκοντας καὶ ἀκούοντας· ἐγγὺς γὰρ ὁ παρὼν καιρὸς, καὶ πᾶσιν εἰς ἐργασίαν προκείμενος· ὡς φησιν ὁ κύριος· Ἐργάζεσθε, ἕως ἡμέρα ἐστί· καὶ ἔξεστι τυχεῖν τοῦ μακαρισμοῦ. Καὶ ἑτέρως δὲ, ἐγγὺς ὁ καιρὸς, ὁ τῆς τῶν ἐπάθλων διανομῆς, διὰ τὴν τοῦ [παρόντος] βίου σμικρότητα, συγκρίσει τοῦ μέλλοντος.

4 Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ [τοῦ] ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος· καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων, ἃ ἐστιν ἐνώπιον τοῦ θρόνου αὐτοῦ·

Πολλῶν οὐσῶν τῶν κατὰ τόπον ἐκκλησιῶν, ἑπτὰ μόναις ἐπέστειλε· διὰ τοῦ ἑβδοματικοῦ ἀριθμοῦ, καὶ μυστικὸν τῶν ἁπανταχῇ ἐκκλησιῶν σημαίνων, καὶ [τὸ] τῷ παρόντι βίῳ σύστοιχον· ἐν ᾧ [καὶ] ἡ ἑβδοματικὴ τῶν ἡμερῶν περίοδος γίνεται. Διὸ καὶ ἑπτὰ ἀγγέλων καὶ ἑπτὰ ἐκκλησιῶν μέμνηται·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἷς φησι· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ τῆς τρισυποστάτου θεότητος· διὰ μὲν γὰρ τοῦ, *ὁ ὢν*, ὁ πατὴρ δηλοῦται, ὁ χρηματίσας τῷ Μωσῇ, *Ἐγώ εἰμι* [λέγων] *ὁ ὤν* (α)· διὰ δὲ τοῦ, *ὁ ἦν*, ὁ Λόγος, ὃς ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν (β)· διὰ δὲ τοῦ, *ὁ ἐρχόμενος*, ὁ παράκλητος, ὁ ἀεὶ ἐπιφοιτῶν τοῖς τῆς ἐκκλησίας τέκνοις διὰ τοῦ ἁγίου βαπτίσματος· τελεωτέρως δὲ καὶ τρανωτέρως ἐν τῷ μέλλοντι. *Ἑπτὰ δὲ πνεύματα*, τοὺς ἑπτὰ ἀγγέλους νοεῖν δυνατόν, [τοὺς τῶν ἐκκλησιῶν λαχόντας τὴν κυβέρνησιν·] οὐ συναριθμουμένους τῇ θεαρχικωτάτῃ καὶ βασιλίδι Τριάδι, ἀλλ' ὡς δούλους αὐτῇ συμμνημονευομένους· ὡς καὶ ὁ θεῖος εἶπεν ἀπόστολος· *Διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων* (γ). Ἴσως δὲ καὶ ἑτέρως τοῦτο νοηθήσεται· διὰ μὲν τοῦ, *ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος*, τοῦ πατρὸς σημαινομένου, τοῦ περιέχοντος ἐν ἑαυτῷ πάντων τῶν ὄντων τήν τε ἀρχὴν, τά τε μέσα, καὶ τὰ τελευταῖα· διὰ δὲ τῶν ἑπτὰ πνευμάτων, τῶν ἐνεργειῶν τοῦ ζωοποιοῦ πνεύματος· διὰ δὲ τοῦ ἑπομένου, Χριστοῦ τοῦ θεοῦ, τοῦ δι' ἡμᾶς ἀνθρώπου γενομένου· πολλαχοῦ γὰρ ἀδιαφόρως ἑκάστη θεϊκὴ ὑπόσασις τῷ ἀποσόλῳ προτάττεται καὶ ὑποτάττεται· διὸ κἀνταῦθα φησὶ, *Καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ*, καὶ τὰ ἑξῆς. Εἰ δὲ τῷ μακαρίῳ Γρηγορίῳ ἡ χρῆσις αὕτη τοῦ, *ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ*, εἰς μόνον τὸν Χριστὸν ἐξείληπται, οὐδὲν ἀπεικὸς τὰ μετ' ὀλίγον ῥηθησόμενα τούτοις ἐμφερῆ λόγια εἰς αὐτὸν ἀναφέρεσθαι· οἷς καὶ ὁ παντοκράτωρ πρόσκειται· καὶ ἑτέρου προσώπου ἐπεισαγωγὴ ἡ ἐπανάληψις οὐ προστεθήσεται· ἐνταῦθα γὰρ ἡ ἐπαγωγὴ τοῦ, *Καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ*, τὸν ἐκτεθέντα παρ' ἡμῶν νοῦν βεβαιοῦν φαίνεται· τῷ γὰρ περὶ μόνου τοῦ θεοῦ λόγου διαλεγομένῳ [καὶ] τῆς υἱϊκῆς ὑποστάσεως, περισσὸν ἦν ἐπάγειν εὐθὺς, *Καὶ ἀπὸ Ἰησοῦ Χρι-*

(α) Ἐξοδ. Γ', 14. (β) Ἰωαν. Α', 2.
(γ) Α Τιμ. Ε', 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

πτοῦ, ἵνα τοῦτον ἐμφάνῃ παρ' ἐκεῖνον ἕτερον, τῶν θεοπρεπῶν φωνῶν ὁμοτίμως ἐφαρμόζουσῶν ἑκάστῃ θεϊκῇ ὑποστάσει, καὶ κοινῇ ταῖς τρισί, πλὴν τῶν ἰδιοτήτων, ἤγουν σχέσεων, ὡς φησὶν [αὐτὸς] ὁ θεολόγος Γρηγόριος, [καὶ] τῆς τοῦ λόγου ἐνανθρωπήσεως· καὶ δῆλον ἐξ ὧν τὸν τρισάγιον τῶν Σεραφὶμ ὕμνον, ἐν μὲν τῷ εὐαγγελίῳ εἰς τὸν υἱὸν μανθάνομεν λέγεσθαι· ἐν δὲ τῇ δημηγορίᾳ τοῦ Παύλου τῇ ἐν ταῖς Πράξεσιν, εἰς τὸ πνεῦμα τὸ ἅγιον· ἐν δὲ τῇ τῶν φρικτῶν μυστηρίων προσφορᾷ, εἰς τὸν πατέρα, πρὸς ὃν τὴν τοιαύτην εὐχὴν εἰθίσμεθα ποιεῖν, καθὼς καὶ τῷ μακαρίῳ Ἐπιφανίῳ εἴρηται ἐν τῷ λόγῳ [αὐτοῦ] τῷ εἰς τὸ πνεῦμα τὸ ἅγιον. Καὶ ταῦτα μὲν πρὸς τὸ δεῖξαι μὴ ἐναντιοῦσθαι ταῖς πατρικαῖς φωναῖς τὴν ἡμετέραν ὑπόληψιν· ἡμεῖς δὲ, σὺν θεῷ, τῆς ἀκολουθίας ἐχώρεθα.

5 Καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ, ὁ μάρτυς ὁ πιστὸς, ὁ πρωτότοκος [ἐκ] τῶν νεκρῶν, καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς·

Αὐτὸς γάρ ἐστιν ὁ μαρτυρήσας ἐπὶ Ποντίου Πιλάτου· ὁ [καὶ] πιστὸς ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ· ὁ ἐκ νεκρῶν πρωτότοκος, ὡς ζωὴ καὶ ἀνάστασις. Ὧν γὰρ αὐτὸς κατάρχει, οὐκέτι, καθὼς οἱ πρότερον θανόντες καὶ ἀναστάντες, ὄψονται θάνατον, ἀλλ' αἰωνίως ζήσονται. *Ἄρχων δὲ τῶν βασιλέων*, ὡς βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων, καὶ ἰσοσθενὴς τῷ πατρὶ καὶ ὁμοούσιος. Καὶ ἑτέρως δὲ, *ἄρχων τῶν βασιλέων τῆς γῆς*, τῶν γηΐνων ἐπιθυμιῶν, λέγεται.

Τῷ ἀγαπήσαντι ἡμᾶς, καὶ λούσαντι ἡμᾶς ἐκ τῶν
6 ἁμαρτιῶν [ἡμῶν] ἐν τῷ αἵματι αὐτοῦ· καὶ ἐποίησεν ἡμᾶς βασιλεῖς, καὶ ἱερεῖς τῷ θεῷ καὶ πατρὶ αὐτοῦ· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τούτῳ, [φησὶν], ἡ δόξα πρέπει τῷ δι' ἀγάπην τῶν δεσμῶν τοῦ θανάτου ἡμᾶς λύσαντι, καὶ [ἐκ] τῶν τῆς ἁμαρτίας κηλίδων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λούσαντι τῇ ἐκχύσει τοῦ ζωποιοῦ αἵματος αὐτοῦ καὶ ὕδατος, καὶ ποιήσαντι ἡμᾶς βασίλειον ἱεράτευμα, ἀντὶ ἀλόγων θυσιῶν θυσίαν ζῶσαν τὴν λογικὴν λατρείαν τῷ πατρὶ προσφέροντας.

7 Ἰδοὺ, ἔρχεται μετὰ τῶν νεφελῶν· καὶ ὄψονται αὐτὸν πᾶς ὀφθαλμὸς, καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν· καὶ κόψονται ἐπ᾽ αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς· ναὶ, ἀμήν.

Ὁ γὰρ ἐνταῦθά, [φησιν], ὡς ἀμνὸς σφαγιασθεὶς, [ἰδοὺ] ἐν τῇ πατρικῇ δόξῃ κριτὴς ἐπὶ τῶν νεφελῶν ἐλεύσεται, εἴτε ἀσωμάτων νοουμένων δυνάμεων τῶν νεφελῶν, εἴτε [καὶ] τοιούτων, οἵαπερ αὐτὸν ἐν τῷ Θαβωρίῳ ὄρει σὺν τοῖς ἁγίοις μαθηταῖς ἐκάλυψεν. Ἐρχόμενον δὲ αὐτὸν μετὰ δόξης, πᾶς μὲν ὀφθαλμὸς ὄψεται· οἱ δὲ ἐκκεντήσαντες αὐτὸν, καὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, αἱ τῇ ἀπιστίᾳ ἐμμείνασαι, κόψονται. *Ναὶ, ἀμὴν*, ἀντὶ τοῦ, πάντως· δι᾽ οὗ τὸν αὐτὸν νοῦν τῇ τε Ἑλληνίδι, τῇ τε Ἑβραΐδι γλώττῃ ἐσήμανε· τὸ γὰρ, *Ἀμὴν*, Γένοιτο, ἑρμηνεύεται.

8 Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, [ἡ] ἀρχὴ καὶ [τὸ] τέλος, λέγει Κύριος ὁ θεὸς, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.

Τῷ, *Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω*, ὁ Χριστὸς ἐνταῦθα δηλοῦται, ἅτε θεὸς, καὶ κρατῶν τῶν πάντων, ἄναρχός τε ὁμοῦ καὶ ἀτελεύτητος, ὢν καὶ προὼν, καὶ πέρας οὐκ ἔχων, ὡς τῷ πατρὶ συναΐδιος· καὶ διὰ τοῦτο ἀποδώσων ἑκάστῳ τῶν πεπραγμένων τὰ ἐπίχειρα.

9 Ἐγὼ Ἰωάννης ὁ ἀδελφὸς ὑμῶν, καὶ συγκοινωνὸς ἐν τῇ θλίψει καὶ [ἐν τῇ] βασιλείᾳ καὶ ὑπομονῇ Ἰησοῦ Χριστοῦ, ἐγενόμην ἐν τῇ νήσῳ, τῇ καλουμένῃ Πάτμῳ, διὰ τὸν λόγον τοῦ θεοῦ καὶ [διὰ] τὴν μαρτυρίαν Ἰησοῦ [Χριστοῦ].

Ἐγὼ, ἅτε ἀδελφός, [φησιν], ὑμῶν ὢν, καὶ συγκοινωνὸς ἐν ταῖς διὰ Χριστὸν θλίψεσιν, εἰκότως τὸ ἀξιόπιστον παρ᾽ ὑμῖν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κέκτημαι. Διὰ γὰρ τὴν μαρτυρίαν Ἰησοῦ, Πάτμον οἰκεῖν τὴν νῆσον καταδικασθείς, ἀπαγγέλλω ὑμῖν τὰ ἑωραμένα μοι ἐν αὐτῇ μυστήρια.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὀπτασία, ἐν ᾗ τὸν Κύριον ἐθεάσατο ἐν μέσῳ ἑπτὰ λυχνιῶν χρυσῶν, ἐνδεδυμένον ποδήρη.

10 Ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ ἡμέρᾳ· καὶ ἤκουσα φωνῆς μεγάλης ὀπίσω μου, ὡς σάλπιγγος,
11 λεγούσης· Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος· καὶ ἃ βλέπεις, γράψον εἰς βιβλίον· καὶ πέμψον ταῖς ἑπτὰ ἐκκλησίαις· εἰς Ἔφεσον· εἰς Σμύρνην· εἰς Πέργαμον· εἰς Θυάτειρα· εἰς Σάρδεις· εἰς Φιλαδέλφειαν· καὶ εἰς Λαοδίκειαν.

Πνεύματι [ἁγίῳ] γενόμενος κάτοχος, καὶ πνευματικὸν οὖς κτησάμενος, ἐν τῇ κυριακῇ ἡμέρᾳ, κἂν τούτῳ τιμηθείσῃ διὰ τὴν ἀνάστασιν, φωνῆς ἤκουσε, σάλπιγγι ἐοικυίας διὰ τὸ μεγαλόφωνον· εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν· δηλούσης τὸ τοῦ θεοῦ ἄναρχόν τε καὶ ἀτελεύτητον, τὸ διὰ τοῦ Α καὶ τοῦ Ω δηλούμενον· ἐξ ἧς ἐντέταλται, τὰ ὁραθέντα ταῖς ἑπτὰ ἐκκλησίαις διαπέμψασθαι, διὰ τὸν προλεχθέντα ἑβδοματικὸν ἀριθμόν, τὸν εἰς τὸν σαββατισμὸν καταντῶντα τοῦ μέλλοντος αἰῶνος· διὸ καὶ ἑπτὰ οὐρανοὺς καὶ ἑπτὰ ἀγγέλους τῶν λοιπῶν προϋχοντας θεόθεν δεδημιουργῆσθαι ὁ μέγας Εἰρηναῖος γεγράφηκεν.

12 Καὶ ἐπέστρεψα βλέπειν τὴν φωνὴν, ἥτις ἐλάλει μετ' ἐμοῦ· καὶ ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

13 καὶ ἐν μέσῳ τῶν λυχνιῶν, ὅμοιον υἱῷ ἀνθρώπου, ἐνδεδυμένον ποδήρη, καὶ περιεζωσμένον πρὸς τοῖς μαζοῖς ζώνην χρυσῆν.

Ὅτι δὲ οὐκ ἦν αἰσθητὴ ἡ φωνὴ, [ἧς ἤκουσε,] δηλοῖ λέγων, *Ἐπέστρεψα* οὐ τοῦ ἀκοῦσαι, ἀλλὰ τοῦ βλέπειν τὴν φωνήν· ταύτην γὰρ ἔφην ἡ πνευματικὴ ἀκοή τε καὶ ὅρασις. Ἐπιστρέψας δὲ, [φησὶν], εἶδον ἑπτὰ λυχνίας· ἃς παρακατιὼν τὰς ἐκκλησίας ἐνάησε· καὶ ἐν μέσῳ αὐτῶν, τὸν Χριστὸν, ὅμοιον ἀνθρώπῳ· διὰ τὸ καὶ θεὸν αὐτὸν εἶναι, *καὶ* οὐ ψιλὸν ἄνθρωπον· καὶ *ἐνδεδυμένον ποδήρη*, ὡς ἀρχιερέα κατὰ τὴν τάξιν Μελχισεδέκ· καὶ *ζώνην χρυσῆν περιεζωσμένον*, οὐκ ἐν τῇ ὀσφύϊ, ὥσπερ οἱ λοιποὶ ἄνθρωποι, πρὸς ἐποχὴν τῶν ἡδονῶν· ταύταις γὰρ ἡ θεία σὰρξ ἀνεπίβατος· ἀλλ' ἐν τῷ στήθει, *πρὸς τοῖς μαζοῖς*· ὅπως καὶ τὸ ἔσχατον τῆς δικαίας θείας ὀργῆς φιλανθρωπία συνέχηται, καὶ ἡ τὰς δύο διαθήκας, ἤγουν τοὺς δεσποτικοὺς μαζοὺς, δι' ὧν οἱ πιστοὶ τρέφονται, ζωννύουσα δειχθείη ἀλήθεια. Χρυσῆ δὲ ἡ ζώνη, διὰ τὸ τίμιον καὶ καθαρὸν καὶ ἀκίβδηλον.

14 Ἡ δὲ κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες, λευκαὶ ὡσεὶ ἔριον λευκὸν, ὡς χιών· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός·

Εἰ γὰρ καὶ πρότρατος δι' ἡμᾶς, ἀλλὰ (καὶ) ἀρχαῖος· μᾶλλον δὲ προαιώνιος· τούτου γὰρ σύμβολον ἡ λευκὴ θρίξ. Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρὸς, τοὺς μὲν ἁγίους φωτίζοντες, τοὺς δὲ ἐβδήλους φλογίζοντες.

15 Καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ, ὡς ἐν καμίνῳ πεπυρωμένοι·

Τοὺς *πόδας* καὶ ὁ θεῖος Γρηγόριος τὴν μετὰ σαρκὸς ἐννόησεν οἰκονομίαν· πόδες γὰρ αὐτοῦ, ἡ σὰρξ· ἧτινι ἡ θεότης ἐπιβᾶσα, τὴν ἡμετέραν σωτηρίαν κατειργάσατο. *Πόδες* δέ καὶ οἱ ἀπόστολοι, ὡς θεμέλιοι τῆς ἐκκλησίας. *Χαλκολίβανος* δέ ἐστιν, ὃν φασιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ ἰατροὶ εὐώδη εἶναι θυμιώμενον, τὸν παρ' αὐτοῖς καλούμενον ἄρρενα [λίβανον]. Ἢ καὶ ἑτέρως· χαλκοῦ μὲν, τῆς ἀνθρωπίνης· λιβάνου δὲ, τῆς θείας νοουμένης φύσεως· [ἅτινα] δείκνυται καὶ τὸ εὐῶδες τῆς πίστεως, καὶ τὸ ἀσύγχυτον τῆς ἑνώσεως. Ἢ τοῦ χαλκοῦ μὲν δηλοῦντος τὸ τοῦ κηρύγματος εὔηχον· τοῦ δὲ λιβάνου, τὴν τῶν ἐθνῶν ἐπιστροφήν· ὅθεν ἡ νύμφη ἔρχεσθαι κελεύεται. ὨΙδὰς τοῦ Χριστοῦ καὶ οἱ ἀπόστολοι, τῇ καμίνῳ τῶν πειρασμῶν πυρωθέντες κατὰ τὴν τοῦ διδασκάλου μίμησιν.

16 Καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδάτων πολλῶν· καὶ ἔχων ἐν τῇ δεξιᾷ αὐτοῦ ἀστέρας ἑπτά· καὶ ἐκ τοῦ στόματος αὐτοῦ ῥομφαία δίστομος ὀξεῖα ἐκπορευομένη· καὶ ἡ ὄψις αὐτοῦ ὡς ὁ ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ.

[Τὴν δὲ φωνὴν αὐτοῦ ὡς φωνὴν ὑδάτων πολλῶν λέγει.] Εἰκότως· κοινὴ γὰρ ἡ φωνὴ αὐτοῦ τε καὶ τοῦ πνεύματος· οὗ ποταμοὶ ἐκ τῆς κοιλίας τῶν πιστῶν ζῶντος ὕδατος ἐῤῥευσαν (α), καὶ εἰς πᾶσαν τὴν γῆν διαπρύσιον ἤχησαν. *Ἀστέρας* δὲ *ἑπτὰ παρακατιὼν*, τοὺς τῶν ἐκκλησιῶν φησιν ἀγγέλους· *ῥομφαίαν δίστομον*, τὴν κατὰ τῶν ἀσεβῶν φησιν ἀπόφασιν, τομωτέραν ὑπὲρ πᾶσαν μάχαιραν δίστομον· ἢ καὶ [τὴν] περιτέμνουσαν μάχαιραν τοῦ πνεύματος, τὸν ἐντὸς ἡμῶν ἄνθρωπον. Τὸ δὲ πρόσωπον αὐτοῦ φαίνειν ὡς ἥλιον, οὐκ αἰσθητὴν τὴν αἴγλην, ἀλλὰ νοητὴν, δῆλον· ἥλιος γάρ ἐστι δικαιοσύνης, τῇ οἰκείᾳ δυνάμει καὶ ἐξουσίᾳ καταυγάζων· οὗ καθὼς ὁ αἰσθητὸς ἥλιος, ἅτε κτίσμα, θεοσδότῳ [δὲ] δυνάμει καὶ θείῳ προστάγματι.

17 Καὶ ὅτε εἶδον αὐτὸν, ἔπεσα πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρός· καὶ ἐπέθηκε τὴν δεξιὰν αὐτοῦ χεῖρα ἐπ' ἐμὲ, λέγων· Μὴ φοβοῦ· ἐγώ εἰμι ὁ πρῶ-
18 τος καὶ ὁ ἔσχατος· καὶ ὁ ζῶν, καὶ ἐγενόμην νε-

(α) Ἰωαν. Ζ', 38.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρός· καὶ, ἰδοὺ, ζῶν εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· [ἀμήν.] Καὶ ἔχω τὰς κλεῖδας τοῦ θανάτου καὶ τοῦ ᾅδου.

Ταὐτὸν δὲ πεπονθότα τὸν ἀπόστολον Ἰησοῦ τῷ τοῦ Ναυῆ καὶ Δανιὴλ (α), διὰ τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως, ἀνέρρωσεν ὁ Χριστὸς, φήσας αὐτῷ· *Μὴ φοβοῦ· οὐ γὰρ θανατῶσαί σε παραγέγονα· ὅσπερ ἄναρχος ὢν καὶ ἀτελεύτητος, δι' ὑμᾶς νεκρὸς γέγονα. [Καὶ ἔχω τὰς κλεῖς τοῦ θανάτου καὶ τοῦ ᾅδου,* ἤτοι τοῦ ψυχικοῦ καὶ σωματικοῦ θανάτου.]

19 Γράψον οὖν ἃ εἶδες, καὶ ἃ εἰσι, καὶ ἃ μέλλει γενέ-
20 σθαι μετὰ ταῦτα. Τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων ὧν εἶδες ἐπὶ τῆς δεξιᾶς μου, καὶ τὰς ἑπτὰ λυχνίας τὰς χρυσᾶς· οἱ ἑπτὰ ἀστέρες, ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσι· καὶ αἱ ἑπτὰ λυχνίαι, ἃς εἶδες, ἑπτὰ ἐκκλησίαι εἰσίν.

Ἐπειδὴ δὲ φῶς ἀληθινὸν ὁ Χριστὸς, τούτου χάριν λύχνοι, οἱ τὸν αὐτοῦ πλουτοῦντες φωτισμὸν, ὡς τὴν νύκτα τοῦ παρόντος βίου καταλάμποντες· λυχνίαι δὲ εἰκότως αἱ ἐκκλησίαι ὀνομάζονται, ὡς τοὺς φωστῆρας ἔχουσαι, τοὺς λόγον ζωῆς ἐπέχοντας (β), κατὰ τὸν ἀπόστολον. Χρυσοῖ δὲ οἵ τε λύχνοι καὶ αἱ λυχνίαι, διὰ τὸ τίμιον καὶ ἀκίβδηλον τῆς ἐν αὐτοῖς πίστεως. Τούτων δὲ ἑκάστῃ ἄγγελος φύλαξ ἐφέστηκε, καθὼς φησιν ὁ Κύριος. Καὶ ὁ θεολόγος δὲ Γρηγόριος [οὕτω] τὸ παρὸν νενόηκε κεφάλαιον· οὓς τροπικῶς ἀστέρας διὰ τὸ φωτεινὸν καὶ καθαρὸν τῆς φύσεως ὠνόμασε.

(α) Ἰησ. Ναυῆ Ε', 13—15. Δαν. Η', 15. καὶ ἑξῆς.
(β) Φιλιπ. Β', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τὰ γεγραμμένα πρὸς τὸν τῆς Ἐφεσίων ἐκκλησίας ἄγγελον.

ΚΕΦ. II, 1 Τῷ ἀγγέλῳ τῆς ἐν Ἐφέσῳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν·

Διὰ τοῦ ἀγγέλου τῇ ἐκκλησίᾳ διαλέγεται, ὥσπερ ἄν τις διὰ παιδαγωγοῦ τῷ παιδαγωγουμένῳ οἰκειοῦσθαι γὰρ ὁ διδάσκαλος τὰ τοῦ μαθητοῦ πέφυκεν, εἴτε ἐγκλήματα, εἴτε κατορθώματα, ἅτε σπεύδων ἐξομοιοῦν ἑαυτῷ τὸν διδασκόμενον. Εἰκὸς δὲ διὰ τῶν ἑπτὰ ἀστέρων, ἤγουν [τῶν] ἀγγέλων, τῶν ἐν τοῖς εἰρημένοις Εἰρηναίῳ καὶ Ἐπιφανίῳ, τοῖς μακαρίοις, ἑπτὰ οὐρανοῖς λογικῶν τάξεων δηλοῦσθαι τὴν διακόσμησιν, ἐν τῇ δεξιᾷ τοῦ Χριστοῦ κειμένην· ἐν ᾗ καὶ τὰ τῆς γῆς πέρατα· τοῦ καὶ ἐν μέσῳ τῶν ἐκκλησιῶν περιπατοῦντος, κατὰ τὴν οἰκείαν ὑπόσχεσιν.

2 Οἶδα τὰ ἔργα σου, καὶ τὸν κόπον σου, καὶ τὴν ὑπομονήν σου· καὶ ὅτι οὐ δύνῃ βαστάσαι κακούς· καὶ ἐπείρασας τοὺς λέγοντας [ἑαυτοὺς] ἀποστόλους
3 εἶναι, καὶ οὐκ εἰσί· καὶ εὗρες αὐτοὺς ψευδεῖς· καὶ ἐβάστασας· καὶ ὑπομονὴν ἔχεις διὰ τὸ ὄνομά μου,
4 καὶ [οὐ] κεκοπίακας. Ἀλλ' ἔχω κατὰ σοῦ, ὅτι τὴν
5 ἀγάπην σου τὴν πρώτην ἀφῆκας. Μνημόνευε οὖν πόθεν ἐκπέπτωκας, καὶ μετανόησον, καὶ τὰ πρῶτα ἔργα ποίησον·

Ἐν δυσὶ καὶ τρισὶ τὴν ἐκκλησίαν ἀποδεχόμενος, ἐν ἑνὶ ταύτῃ καταμέμφεται· ὃ καὶ μέσον τέθεικε, τὰ κατορθώματα θεὶς ἑκατέρωθεν· τὸν μὲν κόπον καὶ τὴν ὑπὲρ τῆς πίστεως ὑπομονήν, καὶ τὴν πρὸς τοὺς κακοὺς αὐτῆς ἀλλοτρίωσιν ἐπῄνεσεν· ὅτι τε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ παντὶ πιστεύσασα πνεύματι, ἐπείρασε τοὺς ψευδαποστόλους· καὶ γνοῦσα ψευδεῖς αὐτοὺς, ἀπεπέμψατο· πρὸς δὲ τούτῳ, ὅτι καὶ τὰ ἔργα τῶν αἰσχρουργῶν Νικολαϊτῶν μεμίσηκεν· ἐπεμέμψατο δὲ, ὅτι τὴν πρὸς τὸν πλησίον ἀγάπην καὶ εὐποιΐαν ἐχλίανε· πρὸς ἣν αὐτὴν [πάλιν] διὰ τῶν ἑξῆς ἀνεκαλέσατο· δι' ὧν φησι, *Τὰ πρῶτα ἔργα ποίησον.*

Εἰ δὲ μὴ, ἔρχομαί σοι ταχὺ, καὶ κινήσω τὴν λυχνίαν σου [ἐκ τοῦ τόπου αὐτοῦ,] ἐὰν μὴ μετανοήσῃς. 6 Ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊτῶν, ἃ κἀγὼ μισῶ.

Κίνησις [δὲ τῆς λυχνίας, ἤτοι τῆς] ἐκκλησίας ἐστὶν, ἡ τῆς θείας χάριτος γύμνωσις, δι' ἧς [γυμνώσεως] ἐν σάλῳ καὶ κλύδωνι ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων καὶ τῶν ὑπουργούντων αὐτοῖς πονηρῶν ἀνθρώπων καθίσταται. Τινὲς δὲ τὴν τῆς λυχνίας κίνησιν, τὸν ἀρχιερατικὸν τῆς Ἐφέσου θρόνον, ὡς ἐν τῇ Βασιλίδι μετατεθέντα, ἐνόησαν. Τὰ δὲ ἔργα τῶν Νικολαϊτῶν, ὅπως εἰσὶ τῷ θεῷ μισητὰ, ἐντυχών τις τῇ ὁδελυρᾷ αὐτῶν αἱρέσει, γνώσεται.

7 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Τῷ νικῶντι, δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου τοῦ θεοῦ.

Ὁ *ἔχων οὖς ἀκουσάτω.* Σαρκικὸν μὲν οὖς, πᾶς ἄνθρωπος· πνευματικὸν δὲ, ὁ πνευματικὸς μόνος κέκτηται· ὅπερ καὶ τῷ Ἡσαΐᾳ προτέθειται. Τῷ δὲ τοιούτῳ νικῶντι τὸν πρὸς τοὺς δαίμονας πόλεμον, δώσειν ἐπαγγέλλεται φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς· τουτέστι, μετασχεῖν τῶν τοῦ μέλλοντος αἰῶνος ἀγαθῶν. Περιφραστικῶς γὰρ διὰ τοῦ ξύλου δηλοῦται ἡ ζωὴ ἡ αἰώνιος· ὧν ἑκάτερον ὁ Χριστός ἐστιν, ὥς φησιν ὁ Σελευκὼν, καὶ ὁ παρὼν ἀπόστολος ἑτέρωθι· ὁ μὲν, περὶ τῆς σοφίας λέγων· Ξύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λον ζωῆς ἐστιν (α)· ὁ δέ, ὡσαύτως περὶ τοῦ Χριστοῦ· *Αὐτός ἐστιν ὁ ἀληθινὸς θεὸς, καὶ ἡ ζωὴ ἡ αἰώνιος* (β). Εἰ τοίνυν ἐκείνων τυχεῖν ἐφιέμεθα, τὴν κατὰ τῶν παθῶν νίκην [παρακαλῶ] κατορθώσωμεν· τοῖς γὰρ πόνοις αἱ ἀμοιβαὶ πάντως ἕπονται· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα καὶ τῷ ἁγίῳ Πνεύματι, δόξα, [νῦν καὶ ἀεὶ, καὶ] εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὰ δηλωθέντα τῷ τῆς Σμυρναίων ἐκκλησίας ἀγγέλῳ.

ΛΟΓΟΣ Β'.

8 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Σμύρνῃ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ πρῶτος καὶ ὁ ἔσχατος, ὃς ἐγένετο νεκρὸς, καὶ ἔζησεν·

Πρῶτός [ἐστιν] ὡς θεός· *ἔσχατος*, ὡς ἄνθρωπος, ἐπ' ἐσχάτων τῶν καιρῶν γεγονὼς, καὶ διὰ τῆς τριημέρου νεκρώσεως ἀνοίξας ἡμῖν τὴν ζωὴν τὴν αἰώνιον.

9 Οἶδά σου τὰ ἔργα, καὶ τὴν θλίψιν, καὶ τὴν πτωχείαν· ἀλλὰ πλούσιος εἶ·

Οἶδά, φησι, τὴν θλίψιν καὶ τὴν πτωχείαν, ἣν ὑπομένεις ἐν τοῖς σαρκικοῖς, μαστιζόμενος δὶ ἐμὲ ὑπὸ τῶν ἀπίστων, καὶ τῶν ὑπαρχόντων στερούμενος· πλούσιος δ' ἐν τοῖς πνευματικοῖς εἶ, ἔχων τὸν θησαυρὸν κεκρυμμένον ἐν τῷ ἀγρῷ τῆς καρδίας σου.

Καὶ τὴν βλασφημίαν τῶν λεγόντων Ἰουδαίους εἶναι ἑαυτοὺς, καὶ οὐκ εἰσὶν, ἀλλὰ συναγωγὴ τοῦ Σατανᾶ.

(α) Παροιμ. Γ', 18· (β) Α' Ἰωαν. Ε', 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κατὰ κοινοῦ δὲ τὸ, Οἶδα, ἵνα ᾖ ὁ νοῦς· Καὶ τὴν βλασφημίαν τῆς συναγωγῆς τοῦ Σατανᾶ [φησιν] ἐπίσταμαι, ὅτι οὐκ εἰσὶν ὃ λέγονται· οὐ γὰρ [ὁ] ἐν τῷ φανερῷ Ἰουδαῖος, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ (α). Ἰούδας γάρ ἐστιν ἐξομολόγησις [καὶ μετάνοια.]

10 Μὴ φοβοῦ ἃ μέλλεις παθεῖν. Ἰδοὺ [δὴ] μέλλει βαλεῖν ἐξ ὑμῶν ὁ διάβολος εἰς φυλακὴν, ἵνα πειρασθῆτε· καὶ ἕξετε θλῖψιν ἡμερῶν δέκα· γίνου πιστὸς ἄχρι θανάτου, καὶ δώσω σοι τὸν στέφανον τῆς ζωῆς.

Μὴ φοβεῖσθαι δέ φησι τὴν ἐκ τῶν θερμάχων διὰ μαστίγων καὶ πειρασμῶν θλῖψιν· δεκαήμερος γὰρ αὕτη, καὶ οὐ μακρόβιος· διὸ καὶ καταφρονητέος ὁ θάνατος, ὡς ἐν ὀλίγῳ προξενῶν στέφανον ζωῆς ἀμάραντον.

11 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου.

Ὁ πνευματικὸς δέ φησιν, ἀκούων καὶ νικῶν τὰς διαβολικὰς ὑποσποράς, εἰ καὶ τὸν πρῶτον διὰ σαρκὸς ὑποστῇ θάνατον, ὑπὸ τοῦ δευτέρου, τοῦ τῆς γεέννης, οὐ καταδικασθήσεται.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τὰ δηλωθέντα τῷ τῆς ἐν Περγάμῳ ἐκκλησίας ἀγγέλῳ.

12 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Περγάμῳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίστο-
13 μον τὴν ὀξεῖαν· Οἶδα τὰ ἔργα σου, καὶ ποῦ κατοικεῖς, ὅπου ὁ θρόνος τοῦ Σατανᾶ·

(α) Ῥωμ. Β', 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κατείδωλος ἦν αὕτη ἡ πόλις, πρὸς ἣν ταῦτά φησι, τοὺς ἐν αὐτῇ πιστοὺς δὶ ὑπομονὴν πειρασμῶν ἀποδεχόμενος. *Ῥομφαίαν* δὲ *δίστομον*, ἢ τὸν εὐαγγελικὸν λόγον φησὶ, τὸν τὴν καρδίαν περιτέμνοντα, καὶ τοὺς πιστοὺς ἐκ τῶν ἀπίστων μερίζοντα· ἢ τὴν κατὰ τῶν ἀσεβῶν ἀπότομον ἀπόφασιν.

> Καὶ κρατεῖς τὸ ὄνομά μου, καὶ οὐκ ἠρνήσω τὴν πίστιν μου ἐν ταῖς ἡμέραις, ἐν αἷς Ἀντίπας ὁ μάρτυς μου ὁ πιστός, ὃς ἀπεκτάνθη παρ' ὑμῖν, ὅπου ὁ Σατανᾶς κατοικεῖ.

Ἀντίπας δέ [τις] τοὔνομα, μάρτυς ἐν Περγάμῳ γέγονεν ἀνδρειότατος, οὗπερ ἀνέγνων τὸ μαρτύριον· οὗ νῦν ὁ εὐαγγελιστὴς πρὸς ἔνδειξιν τῆς τε ἐκείνων ὑπομονῆς, τῆς τε τῶν πεπλανημένων ὠμότητος, ἐμνημόνευσεν.

14 Ἀλλὰ ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν Βαλαάμ· ὃς ἐδίδασκε τὸν Βαλὰκ βαλεῖν σκάνδαλον ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ,
15 [καὶ] φαγεῖν εἰδωλόθυτα, καὶ πορνεῦσαι· οὕτως ἔχεις καὶ σὺ κρατοῦντας τὴν διδαχὴν τῶν Νικολαϊτῶν [ὁμοίως·] ἣν μισῶ.

Δύω δὲ χαλεπὰ, ὡς ἔοικεν, ἡ πόλις αὕτη ἐκέκτητο· [τὸ] τοὺς μὲν πλείονας, Ἕλληνας [εἶναι ἐν αὐτῇ·] ἐξ αὐτῶν δὲ τῶν πιστῶν ὠνομασμένων, τοὺς αἰσχροποιοὺς Νικολαΐτας ὑποσπαρέντας τῷ σίτῳ πονηρά ζιζάνια· διὸ καὶ τοῦ Βαλαὰμ ἐμνημόνευσε, φήσας, ὃς *ἐδίδασκε τὸν Βαλάκ*. Δηλοῖ δὲ διὰ τούτων τὸν νοητὸν Βαλαὰμ, τὸν διάβολον, ἐν τῷ αἰσθητῷ τὸν Βαλὰκ διδάξαι τὸ κατὰ τῶν Ἰσραηλιτῶν σκάνδαλον, πορνείαν καὶ εἰδωλολατρείαν· τῇ γὰρ ἐκείνης ἡδονῇ εἰς ταύτην τῷ Βεελφεγὼρ τελεσθέντες κατεκυλίσθησαν.

16 Μετανόησον οὖν· εἰ δὲ μὴ, ἔρχομαί σοι ταχὺ, καὶ πολεμήσω μετ' αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός μου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐν τῇ ἀπειλῇ δὲ ἡ φιλανθρωπία. Οὐ γὰρ μετὰ σοῦ, φησὶν, ἀλλὰ μετ' ἐκείνων πολεμήσω, τῶν νοσούντων ἀνίατα.

17 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἀπὸ τοῦ μάννα τοῦ κεκρυμμένου· καὶ δώσω αὐτῷ ψῆφον λευκὴν, καὶ ἐπὶ τὴν ψῆφον ὄνομα καινὸν γεγραμμένον, ὃ οὐδεὶς οἶδεν, εἰ μὴ ὁ λαμβάνων.

Μάννα δὲ *κεκρυμμένον*, ὁ ἄρτος τῆς ζωῆς, ὁ οὐράνιος, οὐρανόθεν δὶ ἡμᾶς κατελθὼν, καὶ βρώσιμος γενόμενος· τροπικῶς δὲ καὶ τὰ μέλλοντα ἀγαθὰ, *μάννα* λέγεται, ἅτε οὐρανόθεν κατερχόμενα, ὅθεν καὶ ἡ ἄνω Ἱερουσαλήμ. Τούτων, [φησὶν], οἱ νικῶντες τὸν διάβολον τεύξονται. Λήψονται δὲ καὶ *ψῆφον λευκὴν*, τουτέστι [καθαρῶς] νικῶσαν, τῆς δεξιᾶς μοίρας ἀξιούμενοι· καὶ ὄνομα καινὸν, τῇ παρούσῃ ζωῇ ἀγνοούμενον· ὀφθαλμὸς γὰρ οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε (α), καὶ νοῦς οὐ κατέλαβε τὰ ἀγαθὰ τὰ μέλλοντα, καὶ τὸ καινὸν ὄνομα, ὃ οἱ ἅγιοι κληρονομήσουσι.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Τὰ δηλωθέντα τῷ ἀγγέλῳ τῆς ἐν Θυατείροις ἐκκλησίας.

18 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Θυατείροις ἐκκλησίας γράψον· Τάδε λέγει ὁ υἱὸς τοῦ θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς ὡς φλόγα πυρὸς, καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ.

Εἴρηται, τὸ τῶν ὀφθαλμῶν πυρῶδες, τὸ φωτιστικὸν τῶν δικαίων, καὶ τὸ καυστικὸν δηλοῦν τῶν ἁμαρτωλῶν· τοὺς δὲ πό-

(α) Α' Κορ. Β', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δας καὶ τὸν χαλκολίβανον σημαίνειν τὴν τοῦ Χριστοῦ ἐν ταῖς σωζομένοις εὐωδίαν, ταῦ νοητοῦ μύρου, καὶ τὴν ἄτμητον καὶ ἀσύγχυτον ἕνωσιν θεότητός τε καὶ ἀνθρωπότητος· αὕτη γὰρ, ὡς πεπυρακτωμένη τῷ θείῳ πνεύματι, τοῖς ἀνθρωπίνοις λογισμοῖς ἐστιν ἀψηλάφητος.

19 Οἶδά σου τὰ ἔργα, καὶ τὴν ἀγάπην, καὶ τὴν πίστιν, καὶ τὴν διακονίαν, [καὶ τὴν ὑπακοήν σου,] καὶ τὴν ὑπομονήν σου, καὶ τὰ ἔργα σου, τὰ ἔσχατα πλείο-
20 να τῶν πρώτων· Ἀλλ' ἔχω κατὰ σοῦ [ὀλίγα,] ὅτι ἀφῆκας τὴν γυναῖκά σου Ἰεζάβελ, ἡ λέγει ἑαυτὴν προφῆτιν, καὶ διδάσκει καὶ πλανᾷ τοὺς ἐμοὺς δούλους πορνεῦσαι, καὶ φαγεῖν εἰδωλόθυτα.

Οἶδά σου τὰ ἔργα. Εἰ γὰρ καὶ διὰ τὴν πίστιν καὶ τὴν πρὸς τοὺς δεομένους διακονίαν τὸ εὐλαβὲς ὑμῶν καὶ ὑπομονητικὸν ἀποδέχομαι· ἀλλὰ δικαίως ὑμῖν ἐπιμέμφομαι, ὅτι τὴν τῶν Νικολαϊτῶν αἵρεσιν, τὴν τροπικῶς ὠνομασμένην Ἰεζάβελ διὰ τὴν δυσσέβειαν καὶ ἀσέλγειαν, ἀφήκατε παῤῥησιάζεσθαι, ὥστε τοῖς δούλοις μου, δι' ἁπλότητα γνώμης, παρέχειν σκάνδαλον, καὶ ἕλκειν αὐτοὺς [καὶ] εἰς εἰδωλόθυτα, οἷς καλῶς ἀπεταξαντο. Ταύτην οὖν ἐπιστομίζειν ὀφείλετε· ὅτι καὶ προφῆτις εἶναι ὑποκρίνεται, ὑπὸ πονηροῦ ἐνεργουμένη πνεύματος.

21 Καὶ ἔδωκα αὐτῇ χρόνον, ἵνα μετανοήσῃ· καὶ οὐ θέ-
22 λει μετανοῆσαι ἐκ τῆς πορνείας αὐτῆς. Ἰδοὺ, βάλλω αὐτὴν εἰς κλίνην· καὶ τοὺς μοιχεύοντας μετ' αὐτῆς, εἰς θλῖψιν μεγάλην, ἐὰν μὴ μετανοήσωσιν ἐκ τῶν
23 ἔργων αὐτῶν· καὶ τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ·

Καὶ ἔδωκα αὐτῇ χρόνον. Ἡ δὲ πονηρὰ, [φησὶν], αὐτῶν αἵρεσις, καιρὸν λαβοῦσα εἰς μετάνοιαν, καλῶς τούτῳ οὐκ ἐχρήσατο. Ἰδοὺ, βάλλω αὐτὴν εἰς κλίνην. Τῇ τροπῇ ἐνέμεινε· καὶ μοιχαλίδι τὴν συστροφὴν τῶν αἱρετικῶν παρεικάσας, ἀπειλεῖ ταύτην τε ἀσθενείᾳ καὶ θανάτῳ περιβαλεῖν, καὶ τοὺς αὐτῇ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

συμφθειρομένους καὶ [ἐκ θεοῦ] πορνεύοντας, εἰ μὴ διὰ μετανοίας πρὸς αὐτὸν ἐπιστρέψωσιν.

Καὶ γνώσονται πᾶσαι αἱ ἐκκλησίαι, ὅτι ἐγώ εἰμι
ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας· καὶ δώσω ὑμῖν ἑ-
24 κάστῳ κατὰ τὰ ἔργα ὑμῶν. Ὑμῖν δὲ λέγω τοῖς λοι-
ποῖς τοῖς ἐν Θυατείροις, ὅσοι οὐκ ἔχουσι τὴν δι-
δαχὴν ταύτην, οἵτινες οὐκ ἔγνωσαν τὰ βάθη τοῦ
Σατανᾶ, ὡς λέγουσιν· Οὐ βάλλω ἐφ' ὑμᾶς ἄλλο
25 βάρος· πλὴν ὃ ἔχετε, κρατήσατε ἄχρις οὗ ἂν ἥξω.

Ταῦτα μὲν πρὸς τοὺς ἠπατημένους αἱρετικοὺς, καὶ ἀπατῶντας ἑτέρους· πρὸς δὲ τοὺς ἁπλουστέρους φησίν· Ἐπείπερ πρὸς τοὺς οὕτω πονηροὺς καὶ εὑρεσιλόγους ἀντέχειν δι' ἁπλότητα τρόπων οὐ δύνασθε· ἅτε τὰ βάθη τοῦ Σατανᾶ μὴ ἐγνωκότες, ὡς λέγετε· οὐ ζητῶ παρ' ὑμῶν τὴν διὰ λόγου μάχην· ἀλλὰ τὴν φυλακὴν τῆς διδαχῆς, ἣν παρελάβετε, ἄχρις ἂν ἐντεῦθεν ὑμᾶς προσλήψωμαι.

26 Καὶ ὁ νικῶν, καὶ ὁ τηρῶν ἄχρι τέλους τὰ ἔργα μου,
27 δώσω αὐτῷ ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν· καὶ ποιμανεῖ
αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· ὡς τὰ σκεύη τὰ κεραμι-
κὰ συντριβήσεται· ὡς κἀγὼ εἴληφα παρὰ τοῦ πα-
τρός μου.

Δώσω αὐτῷ ἐξουσίαν. Τῷ ποιοῦντί, φησι, τὰ ἔργα μου, δώσω αὐτῷ ἐξουσίαν ἐπάνω πέντε ἢ δέκα πόλεων, ὡς ἐν τῷ εὐαγγελίῳ εἴρηται (α). Ἢ διὰ τούτου, καὶ τὴν τῶν ἀπίστων κρίσιν αἰνίττεται· δι' ἧς οἱ πεπλανημένοι, ὡς ἐν ῥάβδῳ ποιμαινόμενοι, συντριβήσονται, ὑπὸ τῶν ἐν αὐτοῖς τῷ Χριστῷ πιστευσάντων κρινόμενοι· καθὼς εἶπεν ὁ Κύριος· *Ἄνδρες Νινευῖται ἀναστήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην* (β). Τὸ δὲ, Ὡς κἀγὼ εἴληφα παρὰ τοῦ πατρός μου, ἀνθρώπινον, διὰ τὴν τῆς σαρκὸς πρόσληψιν.

(α) Λουκ. ΙΘ', 12 καὶ ἑξῆς. (β) Ματθ. ΙΒ', 41.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

28 Καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν· ὁ ἔχων
29 οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Ἀστέρα δὲ *πρωϊνὸν*, ἢ ἐκεῖνόν φησι, περὶ οὗ [ὁ] Ἡσαΐας ἔλεγε· *Πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωΐ ἀνατέλλων* (α); ὃν δώσειν συντετριμμένον ὑπὸ τοὺς πόδας τῶν πιστῶν ἐπήγγελται· ἢ τὸν ὑπὸ τοῦ μακαρίου Πέτρου λεχθέντα φωσφόρον, ἐν ταῖς καρδίαις τῶν πιστῶν ἀνατέλλοντα (β), τὸν Χριστοῦ φωτισμὸν δηλαδή. Καὶ ὁ βαπτιστὴς δὲ Ἰωάννης, καὶ ὁ Θεσβίτης Ἠλίας *φωσφόροι* προσαγορεύονται· ὁ μὲν γάρ, τῆς πρώτης ἀνατολῆς τοῦ ἡλίου τῆς δικαιοσύνης· ὁ δέ, τῆς δευτέρας νοεῖται πρόδρομος. Μεθ' ὧν ἔξειν τὸ μέρος τοὺς νικητὰς τοῦ διαβόλου πιστεύομεν. Οὐ θαυμαστὸν δέ, εἰ ἐπὶ τῶν σφόδρα ἀντικειμένων ἀλλήλοις ἐλάβομεν τοῦτο. *Λέοντα* γὰρ ἐξ Ἰούδα, τὸν Χριστὸν· καὶ ἐκ Βασὰν, τὸν Ἀντίχριστον, ἐκ τῆς θείας Γραφῆς μανθάνομεν, καθ' ἕτερον καὶ ἕτερον σημαινόμενον. Νοεῖται δὲ καὶ ἡ τῆς μελλούσης ἡμέρας ἀνατολή· [ἐν] ᾗ τὸ σκότος τοῦ παρόντος βίου καλυφθήσεται· καὶ ὁ ταύτην δὲ εὐαγγελιζόμενος ἄγγελος. Προπορεύσεται γὰρ αὕτη τοῦ τῆς δικαιοσύνης ἡλίου, ἐπιφανησομένου τοῖς ἁγίοις, καὶ τὴν ἀχλὺν τοῦ παρόντος βίου διασκεδάσοντος. Οὗ ταῖς ἀκτῖσι καὶ ἡμεῖς ἐλλαμφθείημεν, εὐδοκίᾳ τοῦ Πατρὸς, σὺν τῷ παναγίῳ Πνεύματι· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄

ΛΟΓΟΣ Γ΄.

Τὰ δηλωθέντα τῷ ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας.

ΚΕΦ. ΙΙΙ, 1 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας

(α) Ἡσ. ΙΔ΄, 12. (β) Β΄ Πετρ. Α΄, 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γράψον· Τάδε λέγει ὁ ἔχων τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ, καὶ τοὺς ἑπτὰ ἀστέρας· Οἶδά σου τὰ ἔργα, ὅτι ὄνομα ἔχεις, ὅτι ζῇς, καὶ νεκρὸς εἶ.

Ἑπτὰ ἀστέρας, θείους ἀγγέλους προέφημεν· καὶ ἑπτὰ πνεύματα, ἢ τούτους αὐτούς, ἢ τὰς ἐνεργείας τοῦ ζωοποιοῦ πνεύματος· ἅπερ ἀμφότερα ἐν τῇ χειρὶ τοῦ Χριστοῦ εἰσι· τῶν μὲν γὰρ, ὡς δεσπότης κρατεῖ· τοῦ δὲ πνεύματός ἐστι χορηγὸς, ὡς ὁμοούσιος. Ἐπιπλήττει δὲ τῇ ἐκκλησίᾳ, ὡς ψιλὸν ὄνομα [ζώσης] ἐχούσῃ πίστεως, νενεκρωμένῃ δὲ [οὔσῃ] ἐξ ἀγαθῶν πράξεων.

2 Γίνου γρηγορῶν, καὶ στήριξον τὰ λοιπὰ, ἃ ἔμελλον ἀποθανεῖν· οὐ γὰρ εὕρηκά σου τὰ ἔργα πεπληρω-
3 μένα ἐνώπιον τοῦ θεοῦ [μου.] Μνημόνευε οὖν πῶς εἴληφας, καὶ ἤκουσας, καὶ τήρει, καὶ μετανόησον.

Γενοῦ γρηγορῶν. Τὸν ὕπνον, φησι, τῆς ῥᾳθυμίας ἀποτίναξαι, καὶ τὰ μέλη σου, τὰ ἀποθνήσκειν τελείως δι' ἀπιστίας μέλλοντα, στήριξον· οὐ γὰρ ἡ ἀρχὴ τῶν ἀγαθῶν ἔργων στεφανοῖ τὸν ἐργάτην, ἀλλὰ τὸ πλήρωμα· καὶ τὴν παράδοσιν, ἣν ἐκ τῶν ἀποστόλων παρέλαβες, τήρησον, καὶ ἐπὶ τῇ ῥᾳθυμίᾳ σου μετανόησον.

Ἐὰν οὖν μὴ γρηγορήσῃς, ἥξω ὡς κλέπτης· καὶ οὐ μὴ γνῷς ποίαν ὥραν ἥξω ἐπὶ σέ.

Ἥξω ὡς κλέπτης. Εἰκότως· ὅ,τε γὰρ ἑκάστου θάνατος καὶ ἡ κοινὴ συντέλεια, πᾶσιν ἄγνωστος· τοῖς μὲν παρεσκευασμένοις, πόνων ἀνάπαυσις, τοῖς δὲ ἀπαρασκευάστοις, κλέπτης, ψυχικὸν ἐπάγων θάνατον.

4 Ἀλλ' ὀλίγα ἔχεις ὀνόματα ἐν Σάρδεσιν, οἳ οὐκ ἐμόλυναν τὰ ἱμάτια αὐτῶν· καὶ περιπατήσουσι μετ' ἐμοῦ ἐν λευκοῖς· ὅτι ἄξιοί εἰσιν.

Τοῦτό, [φησι], καλὸν κέκτησαι· ἔχεις τινὰς τὸ ἱμάτιον τῆς ψυχῆς ῥυπαραῖς πράξεσι μὴ μιάναντας· οἳ μετ' ἐμοῦ ἐν τῇ πα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιγγενεσίᾳ λαμπροφορήσουσιν, ὡς τηρήσαντες ἄσπιλον τὸ τῆς ἀφθαρσίας ἔνδυμα.

5 Ὁ νικῶν, οὗτος περιβαλεῖται ἐν ἱματίοις λευκοῖς· καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς ζωῆς, καὶ ὁμολογήσω τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ πατρός μου, καὶ ἐνώπιον τῶν ἀγγέλων αὐ-
6 τοῦ. Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Ὁ δὲ τὴν προλεχθεῖσαν, (φησὶ), νίκην νικῶν, τοῖς τῶν οἰκείων ἀρετῶν ἱματίοις λάμψει ὡς ὁ ἥλιος· καὶ τὸ ὄνομα αὐτοῦ ἐν τῇ τῶν ζώντων βίβλῳ ἔσται ἀνεξάλειπτον· ὁμολογηθήσεται δὲ [παρ' ἐμοῦ] ἐπὶ τοῦ πατρός μου καὶ τῶν ἀγγελικῶν δυνάμεων, ὥσπερ καὶ οἱ καλλίνικοι μάρτυρες· καθώς φησιν ἐν τῷ εὐαγγελίῳ, λάμψαι τοὺς δικαίους ὡς τὸν ἥλιον (α).

ΚΕΦΑΛΑΙΟΝ Η'.

Τὰ δηλωθέντα τῷ ἀγγέλῳ τῆς ἐν Φιλαδελφείᾳ ἐκκλησίας.

7 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Φιλαδελφείᾳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἅγιος, ὁ ἀληθινός, ὁ ἔχων τὴν κλεῖδα τοῦ Δαυίδ· ὁ ἀνοίγων, καὶ οὐδεὶς κλείει· καὶ κλείων, καὶ οὐδεὶς ἀνοίγει·

Κλεὶς τοῦ *Δαυὶδ*, ἡ βασιλεία αὐτοῦ κέκληται· ἐξουσίας γὰρ αὕτη σύμβολον. Κλεὶς δὲ πάλιν τῆς τε ψαλμικῆς βίβλου καὶ πάσης προφητείας, τὸ πνεῦμα τὸ ἅγιον· δι' οὗ οἱ θησαυροὶ τῆς γνώσεως ἀνοίγονται· καὶ τὴν μὲν πρώτην κατὰ τὸ ἀνθρώπινον δέχεται· τὴν δὲ δευτέραν, ἔχει κατὰ τὸ ἄναρχον τῆς θεότητος.

(α) Ματθ. ΙΓ', 43.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπεὶ δὲ ἔν τισι τῶν ἀντιγράφων ἀντὶ τοῦ *Δαυὶδ*, ᾄδου γέγραπται, διὰ τῆς τοῦ ᾄδου κλειδὸς ἡ ἐξουσία τῆς ζωῆς καὶ τοῦ θανάτου τῷ Χριστῷ προσμεμαρτύρηται. Ἅγιος δὲ καὶ ἀληθινός, ὡς αὐτοαγιωσύνη καὶ αὐτοουσιώδης ἀλήθεια.

8 Οἶδά σου τὰ ἔργα· ἰδοὺ, δέδωκα ἐνώπιόν σου θύραν ἠνεῳγμένην, καὶ οὐδεὶς δύναται κλεῖσαι αὐτὴν· ὅτι μικρὰν ἔχεις δύναμιν· καὶ ἐτήρησάς μου τὸν λόγον, καὶ οὐκ ἠρνήσω τὸ ὄνομά μου.

Ἐκ τῶν γεγραμμένων δὲ, μικρὰν μὲν τῷ μεγέθει τὴν πόλιν ταύτην, μεγάλην δὲ τῇ πίστει μανθάνομεν· δι' ὧν φησιν [αὐτῇ], *Οἶδά σου τὰ ἔργα*· τουτέστιν, ἀποδέχομαι· ὥσπερ καὶ τῷ Μωσῇ λέγει· *Οἶδά σε παρὰ πάντας*· καὶ Θύραν ἐνώπιόν σου τοῦ διδασκαλικοῦ κηρύγματος ἤνοιξα, κλεισθῆναι διὰ πειρασμῶν μὴ δυναμένην· τῇ προθέσει γὰρ ἀρκοῦμαι, καὶ οὐκ ἀπαιτῶ τὰ ὑπὲρ δύναμιν.

9 Ἰδοὺ, δίδωμί [σοι] ἐκ τῆς συναγωγῆς τοῦ Σατανᾶ τῶν λεγόντων ἑαυτοὺς Ἰουδαίους εἶναι, καὶ οὐκ εἰσὶν, ἀλλὰ ψεύδονται· καὶ ποιήσω αὐτοὺς, ἵνα ἥξωσι καὶ προσκυνήσωσιν ἐνώπιον τῶν ποδῶν σου· καὶ γνῶσιν, ὅτι ἐγὼ ἠγάπησά σε.

Ἕξεις, [φησὶ], μισθὸν τῆς ὁμολογίας τοῦ ἐμοῦ ὀνόματος, τὴν τῶν Ἰουδαίων ἐπιστροφήν τε καὶ μετάνοιαν· οἳ προσπεσοῦνται τοῖς ποσί σου, τὴν πρὸς ἐμὲ προσαγωγὴν, καὶ τὸν ἐξ ἐμοῦ φωτισμὸν αἰτούμενοι, καὶ ἐν τῷ κρυπτῷ τῆς καρδίας, [οὐκ] ἐν τῷ φανερῷ λοιπὸν Ἰουδαΐζοντες.

10 Ὅτι ἐτήρησας τὸν λόγον τῆς ὑπομονῆς μου· κἀγώ σε τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι ἐπὶ τὴν οἰκουμένην ὅλην, πειράσαι
11 τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. Ἔρχομαι ταχύ· κράτει ὃ ἔχεις· ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν σου.

Τὴν ὥραν δὲ τοῦ *πειρασμοῦ*, εἴτε ὡς αὐτίκα [μάλα] παρεσομένην, τὴν τῶν ἀσεβῶς τῆς Ῥώμης τοτηνικαῦτα βασιλευσάντων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατὰ Χριστιανῶν δίωξιν εἴρηκεν· ἧς λυτροῦσθαι αὐτὴν ἐπαγγέλλεται· ἢ τὴν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος παγκόσμιον κατὰ τῶν πιστῶν τοῦ Ἀντιχρίστου κίνησιν λέγει· [ἐξ] ἧς ἐλευθεροῦν τοὺς ζηλωτὰς αὐτῆς ὑπισχνεῖται, προκαρπαζομένους διὰ τῆς ἐντεῦθεν ἀναλύσεως, ἵνα μὴ πειρασθῶσιν ὑπὲρ ὃ δύνανται. Καλῶς δέ φησιν, *Ἔρχομαι ταχύ*· μετὰ γὰρ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων εὐθέως, [ὡς] φησίν, ὁ Κύριος ἐλεύσεται· διὸ παρεγγυᾷ κρατῆσαι τὸν θησαυρὸν τῆς πίστεως ἄσυλον, ἵνα μή τις ἀπολέσῃ τὸν τῆς ὑπομονῆς στέφανον.

12 Ὁ νικῶν, ποιήσω αὐτὸν στύλον ἐν τῷ ναῷ τοῦ θεοῦ μου, καὶ ἔξω οὐ μὴ ἐξέλθῃ ἔτι·

Εἰκότως [δὲ εἶπε ποιῆσαι τὸν νικῶντα στύλον ἐν τῷ ναῷ τοῦ θεοῦ·] ὁ γὰρ νικητὴς τῶν ἐναντίων δυνάμεων, στύλος καὶ ἑδραίωμα τῆς ἐκκλησίας καθίσταται, ἀκίνητον ἐν αὐτῇ τὴν βάσιν ἔχων, κατὰ τὸν [θεῖον] ἀπόστολον.

Καὶ γράψω ἐπ' αὐτὸν τὸ ὄνομα τοῦ θεοῦ μου, καὶ τὸ ὄνομα τῆς πόλεως τοῦ θεοῦ μου τῆς καινῆς Ἱερουσαλήμ, ἡ καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ μου· καὶ τὸ ὄνομά μου τὸ καινόν.

Καὶ ἐπὶ τὴν καρδίαν, [φησί], τοῦ τοιούτου στύλου, χαράξω τὴν γνῶσιν τοῦ θείου ὀνόματος, καὶ τῆς ἄνω Ἱερουσαλήμ· ἵνα ἴδῃ τὰ ἐν αὐτῇ κάλλη τοῖς τοῦ πνεύματος ὄμμασι· καὶ *τὸ καινόν μου ὄνομα*, τὸ [ἐν] τοῖς ἁγίοις ἐν τῷ μέλλοντι [αἰῶνι] γνωριζόμενον. Τὸ δὲ, *Θεοῦ μου*, ἀθρωπίνως περὶ τοῦ πατρὸς εἴρηκεν, ὡς σὰρξ δι' ἡμᾶς ἀτρέπτως γενόμενος. Ἄνωθεν δὲ ἡ Ἱερουσαλὴμ καταβαίνει· ἐκ μὲν ἀγγέλων ἀρξαμένης τῆς θείας γνώσεως, μέχρις ἡμῶν δὲ καταντησάσης, συναφθέντων ἀλλήλοις διὰ Χριστοῦ, τῆς κεφαλῆς ἡμῶν.

13 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Τούτου τοῦ ὠτίου καὶ ἡμεῖς τυχεῖν εὐξώμεθα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Τὰ δηλωθέντα πρὸς τὸν τῆς Λαοδικέων ἐκκλησίας ἄγγελον.

14 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Λαοδικείᾳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἀμὴν, ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινὸς, ἡ ἀρχὴ τῆς κτίσεως τοῦ θεοῦ·

Καὶ διὰ τοῦ πιστοῦ ἡ ἀλήθεια τοῦ Χριστοῦ δείκνυται· μᾶλλον δὲ ὅτι αὐτὸς οὐσιώδης ἐστὶν ἀλήθεια. Ἀρχὴ [δὲ τῆς κτίσεως·] ἀντὶ τοῦ βασιλεία· καὶ ἀρχὴ πάντων, ὡς τῶν κτισμάτων δεσπόζουσα. Ἀρχὴ γὰρ [τῆς] κτίσεως, ἡ προκαταρκτικὴ αἰτία καὶ ἄκτιστος.

15 Οἶδά σου τὰ ἔργα· ὅτι οὔτε ψυχρὸς εἶ, οὔτε ζεστὸς, [ὅτι χλιαρὸς εἶ·] ὄφελον ψυχρὸς ἦς ἢ ζεστός.
16 Οὕτως ὅτι χλιαρὸς εἶ, καὶ οὔτε ζεστὸς, οὔτε ψυχρὸς, μέλλω σε ἐμέσαι ἐκ τοῦ στόματός μου.

Καὶ ὁ θεολόγος φησι Γρηγόριος· Δέον ἢ ἀκριβῶς ζέειν, ἢ ἀκριβῶς ἀπεψύχθαι. Εἰκότως· ὁ μὲν γὰρ ψυχρὸς, καὶ τῆς ζεούσης πίστεως ἄγευστος, ἐν ἐλπίδι πολλάκις ἔσται τοῦ τυχεῖν αὐτῆς· ὁ δὲ ζέσας διὰ τοῦ βαπτίσματος τῷ πνεύματι, καὶ ἀποψυχθεὶς διὰ ῥαθυμίαν ὕστερον, ἑαυτῷ τὰς ἐλπίδας τῆς σωτηρίας ἐξέκοψε, καταγνοὺς τῆς αἱρεθείσης πίστεως. Ἔργοις μὲν γὰρ οὐκ ἀπογνωστέα ἡ μεσότης· ὥσπερ ὁ ἔννομος γάμος, μέσος ὢν παρθενίας καὶ πορνείας, οὐκ ἀπόβλητος· ἐν δὲ τῇ πίστει, τὸ μέσον καὶ χλιαρὸν, ἀδόκιμον.

17 Μέλλω σε ἐμέσαι ἐκ τοῦ στόματός μου· ὅτι λέγεις· Πλούσιός εἰμι, καὶ πεπλούτηκα, καὶ οὐδενὸς χρείαν ἔχω· καὶ οὐκ οἶδας, ὅτι σὺ εἶ ὁ ταλαίπωρος, [καὶ ἐλεεινὸς,] καὶ πτωχὸς, καὶ τυφλὸς, καὶ γυμνός.

Ὥσπερ γάρ, [φησι], τὸ χλιαρὸν ἔμετον κινεῖ τοῖς μεταλαμβάνουσιν, οὕτω κἀγώ σε ὡς βδελυκτὸν βρῶμα ἐμέσω διὰ λό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γου στόματός μου εἰς αἰώνιον κόλασιν· ὅτι ταῖς ἀκάνθαις τοῦ πλούτου τὸν σπόρον τοῦ θείου λόγου συμπνίγουσα, τὴν ἑαυτῆς ἐν τοῖς πνευματικοῖς ἀγνοεῖς πτωχείαν, καὶ τὴν τῶν νοητῶν (σου) ὀφθαλμῶν τύφλωσιν, καὶ τὴν ἐξ ἀγαθῶν πράξεων γύμνωσιν.

18 Συμβουλεύω σοι ἀγοράσαι παρ' ἐμοῦ χρυσίον πεπυρωμένον ἐκ πυρός, ἵνα πλουτήσῃς· καὶ ἱμάτια λευκά, ἵνα περιβάλῃ, καὶ μὴ φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνότητός σου· καὶ κολλύριον ἔγχρισον τοὺς ὀφθαλμούς σου, ἵνα βλέπῃς.

Εἰ δὲ πλουτῆσαι βούλῃ, φησί, συμβουλεύω σοι, παρ' ἐμοῦ τοῦ πλουτίζοντος κτήσασθαι, προθέσει ζεούσῃ καὶ καρδίᾳ θελούσῃ, *χρυσίον πεπυρωμένον*, [ἤγουν] τὸν διδασκαλικὸν λόγον, τὸν τῷ πυρὶ τῶν πειρασμῶν λαμπρυνόμενον· δι' οὗ ἕξεις ἐν τῇ καρδίᾳ τὸν θησαυρὸν ἄσυλον, καὶ περιβαλῇ τὴν στολὴν τῶν ἀρετῶν τὴν ὑπέρλαμπρον· δι' ἧς ἡ προσγενομένη σοι ἐξ ἁμαρτίας ἀμφιασθήσεται γύμνωσις. *Κολλύριον* δὲ, ἡ ἀκτημοσύνη. Εἰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων, τούτους πάντως ἀνοίγει τὸ ἀδωροδόκητον.

19 Ἐγὼ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω· ζήλωσον οὖν καὶ μετανόησον.

Βαβαὶ τῆς φιλανθρωπίας! πόσῃ ἀγαθότητι ὁ ἔλεγχος κέκραται!

20 Ἰδοὺ, ἕστηκα ἐπὶ τὴν θύραν, καὶ κρούω· ἐὰν [οὖν] τις ἀκούσῃ τῆς φωνῆς μου, καὶ ἀνοίξῃ τὴν θύραν, εἰσελεύσομαι πρὸς αὐτὸν, καὶ δειπνήσω μετ' αὐτοῦ, καὶ αὐτὸς μετ' ἐμοῦ.

Ἀβίαστός (φησιν) ἡ ἐμὴ παρουσία· τὴν θύραν τῆς καρδίας κρούω· καὶ τοῖς ἀνοίγουσιν ἐπὶ τῇ αὐτῶν σωτηρίᾳ συνευφραίνομαι. Τροφὴν γὰρ καὶ δεῖπνον ταύτην ἡγοῦμαι, τρεφόμενος ἐφ' οἷς αὐτοὶ τρέφονται, καὶ τὸν λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου καὶ τὸ σκότος τῆς πλάνης ἀποφεύγουσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

21 Ὁ νικῶν, δώσω αὐτῷ καθίσαι μετ' ἐμοῦ ἐν τῷ
θρόνῳ μου· ὡς κἀγὼ ἐνίκησα καὶ ἐκάθισα μετὰ
22 τοῦ πατρός μου ἐν τῷ θρόνῳ αὐτοῦ. Ὁ ἔχων οὖς,
ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Διὰ δὲ τοῦ *θρόνου*, ἡ βασιλεία καὶ ἡ ἀνάπαυσις τοῦ μέλλοντος αἰῶνος δείκνυται. Φησί τινυν, ὅτι οἱ τὸν ἐχθρὸν νικήσαντες, συνδοξασθήσονταί μοι καὶ συμβασιλεύσουσι. Τὸ δέ, *ὡς κἀγὼ ἐνίκησα*, ἀνθρωπίνως εἴρηται, διὰ τὴν πρόσληψιν. Οὐ γὰρ ἆθλον ἀρετῆς τὴν βασιλείαν ὁ θεὸς λόγος ἐκτήσατο· ταύτην γὰρ ἔχει οὐσιωδῶς [ὡς] ἀΐδιον. Εἰ γὰρ μὴ τοῦτο, οὐκ ἂν ἑτέροις μεταδιδόναι ταύτης ἠδύνατο· ἀλλὰ, κατὰ τὸν θεολόγον καὶ τῆς βροντῆς υἱόν, ἐκ τοῦ πληρώματος αὐτοῦ τοῖς ἁγίοις [πᾶσι] μετέδωκεν (α)· ὅθεν καὶ τοῖς ἱεροῖς ἀποστόλοις ἐπήγγελται καθίσειν ἐπὶ δώδεκα θρόνους, κρίνειν τὰς [δώδεκα] φυλὰς τοῦ Ἰσραὴλ μέλλοντας (β). Ἐπειδὴ γὰρ [δι' ἡμᾶς] ἄνθρωπος γέγονε, θεὸς ὑπάρχων καὶ βασιλεὺς προαιώνιος, καὶ πάντων τῶν ἡμετέρων, ἁμαρτίας χωρὶς, μετέσχηκε, πάντων τῶν ἑαυτοῦ τοῖς νικηταῖς τοῦ διαβόλου μετέδωκε, καθὼς ἦν δυνατὸν ἀνθρώποις ὑποδέξασθαι. Ὅθεν νεφέλην ὄχημα τῆς εἰς οὐρανοὺς ἀναβάσεως ἐν τῇ ἀναλήψει αὐτοῦ ποιησάμενος (γ), καὶ τοὺς ἁγίους ἐπὶ νεφελῶν διὰ τοῦ ἀποστόλου φησὶν ἁρπαγήσεσθαι πρὸς τὴν αὐτοῦ ὑπάντησιν (δ)· καὶ κριτὴς, ὡς δημιουργὸς καὶ δεσπότης τῆς κτίσεως, ἐλευσόμενος, κρίνειν τοῖς ἁγίοις παρέξει τοὺς τῆς θείας ὄντως καὶ μακαρίας δουλείας ἀφηνιάσαντας, ὥς φησιν ὁ ἀπόστολος· *Οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν* (ε); δηλαδὴ τοὺς τοῦ σκότους ἄρχοντας. Ἐπεὶ τοίνυν οὕτω φιλάνθρωπον τὸν κριτὴν ἔχομεν, εὐμενοῦς αὐτοῦ τυχεῖν σπουδάσωμεν· δικαίως πληροῦντες τὸ Σολομώντειον λόγιον· *Ἐν παντὶ καιρῷ ἔστωσαν τὰ ἱμάτιά σου λευκὰ* (ζ), [ταῖς] πονηραῖς μὴ ῥυπαι-

(α) Ιωαν. Α', 16. (β) Ματθ. ΙΘ', 28. (γ) Πραξ. Α', 9.
(δ) Α' Θεσ. Δ', 17. (ε) Α' Κορ. ϛ', 3, (ζ) Εκκλ. Θ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Μέρους

νόμενα πράξεσιν. Οὕτω γὰρ νυμφικῶς τὰς ψυχὰς ἡμῶν κοσμήσαντες, ἐπεράστους ἑαυτοὺς τῷ [ἀθανάτῳ νυμφίῳ καὶ] βασιλεῖ [πρὸς συνάφειαν] παραστήσομεν, καὶ τῶν αἰωνίων ἀγαθῶν [δι' ἀρετῶν αὐτῷ συναφθέντες], τευξόμεθα, ἐν αὐτῷ Χριστῷ τῷ θεῷ ἡμῶν, τῷ τούτων χορηγῷ· μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμὴ καὶ προσκύνησις, ἅμα τῷ παναγίῳ Πνεύματι, [νῦν καὶ ἀεί, καὶ] εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

ΛΟΓΟΣ Δ΄.

Περὶ τῆς ὁραθείσης θύρας ἐν τῷ οὐρανῷ, καὶ τῶν κδ΄ πρεσβυτέρων, [καὶ τῶν ἑξῆς.]

ΚΕΦ. IV, 1 Μετὰ ταῦτα εἶδον· καὶ, ἰδοὺ, θύρα ἠνεῳγμένη ἐν τῷ οὐρανῷ· καὶ ἡ φωνὴ ἡ πρώτη, ἣς ἤκουσα, ὡς σάλπιγγος λαλούσης μετ' ἐμοῦ, λέγουσα· Ἀνάβα ὧδε· καὶ δείξω σοι ἃ δεῖ γενέσθαι μετὰ ταῦτα.

Ἡ περιαίρεσις τῆς θύρας, τῶν κρυπτῶν τοῦ πνεύματος μυστηρίων σημαίνει τὴν δήλωσιν· ἡ δὲ *σάλπιγξ*, τὸ τοῦ ἀποκαλύπτοντος μεγαλόφωνον· τὸ δὲ, *Ἀνάβα ὧδε*, τὸ τῶν γηΐνων τελείως ἀποστῆναι καὶ ἐν οὐρανῷ γενέσθαι τὴν διάνοιαν τοῦ ἀκούοντος.

2 Καὶ εὐθέως ἐγενόμην ἐν πνεύματι· καὶ, ἰδοὺ, θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ· καὶ ἐπὶ τοῦ θρόνου καθήμε-
3 νος, ὅμοιος ὁράσει λίθῳ ἰάσπιδι καὶ σαρδίῳ· καὶ ἶρις κυκλόθεν τοῦ θρόνου, ὁμοία ὁράσει σμαραγδίνῳ.

Τῆς φωνῆς, [φησιν], ἀκούσας, καὶ τῷ πνεύματι τυπωθείς τὸ ἡγεμονικὸν, *θρόνον* ἐθεασάμην· δι' οὗ δηλοῦται ἡ ἐν τοῖς ἁγίοις τοῦ θεοῦ ἀνάπαυσις· αὐτοῖς γὰρ ἐνθρονίζεται. Ἐπειδὴ δὲ τὸν πατέρα τὸν ὁρκθέντα ἐνταῦθα παρίστησι, σωματικὸν αὐτῷ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χαρακτῆρα οὐ περιτίθησιν, ὥσπερ ἐν τῇ προτεραίᾳ τοῦ υἱοῦ ὀπτασίᾳ· ἀλλὰ τιμίοις αὐτὸν λίθοις ἀπεικάζει· τῆς μὲν *ἰάσπιδος* σημαινούσης, ὡς χλοερᾶς [οὔσης,] ὁμοῦ τὸ ἀειθαλὲς καὶ φερέσβιον καὶ τροφῆς χορηγὸν τῆς θείας φύσεως, διὰ τὸ πᾶν σπέρμα χλοηφορεῖν· τοῦ δὲ *σαρδίου* σημαίνοντος τὸ φοβερὸν τοῖς ὑπεναντίοις. Φασὶ γὰρ τὸν σάρδιον φοβερὸν εἶναι θηρίοις καὶ φάσμασι· μετὰ τοῦτο δέ, καὶ τῶν ἐπιδεχομένων τὴν ψυχικὴν ἴασιν τὸ θεραπευτικόν. Λέγει γὰρ ὁ μέγας Ἐπιφάνιος, τοῦτον τὸν λίθον ἰατρεύειν οἰδήματά τε καὶ τὰς ἀπὸ σιδήρου πληγὰς ἐπιχριόμενον· ἡ δὲ *ἶρις*, σμαραγδίζουσα, τὸ ποικίλον καὶ ἀνθοῦν ἐν ἀρεταῖς τῶν ἀγγελικῶν ἐμφαίνει τάξεων.

4 Καὶ κύκλῳ τοῦ θρόνου, θρόνοι εἰκοσιτέσσαρες· καὶ ἐπὶ τοῖς θρόνοις εἰκοσιτέσσαρας πρεσβυτέρους καθημένους, [καὶ] περιβεβλημένους [ἐν] ἱματίοις λευκοῖς· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν στεφάνους χρυσοῦς.

Εἰκοσιτέσσαρας δὲ πρεσβυτέρους τίς τῶν πρὸ ἡμῶν, Ἄβελ καὶ ἑτέρους εἴκοσι τῆς Παλαιᾶς ἐξελάβετο, καὶ τρεῖς τῆς Νέας. Εἴτε δὲ τοῦτό ἐστιν, εἴτε μᾶλλον τοὺς πρὸς ταῖς πράξεσι καὶ τῷ λόγῳ κεκοσμημένους χρὴ νοεῖν τὸ διὰ τῶν εἰκοσιτεσσάρων στοιχείων δηλούμενον, ὁ ἀναγινώσκων δοκιμαζέτω. Τάχα δὲ ἐκλαβεῖν ἀκολουθότερον διὰ τῶν ιβ' πρεσβυτέρων, τοὺς ἐν τῇ Παλαιᾷ διαλάμψαντας· διὰ δὲ τῶν ἑτέρων ιβ', τοὺς ἐν τῇ Νέᾳ διαπρέψαντας· κἀκείνων γὰρ δώδεκα φύλαρχοι· καὶ τῶν ἐν τῇ Νέᾳ, δώδεκα ἀπόστολοι προηγήσαντο· οἷς καθίσαι ἐπὶ δώδεκα θρόνων ὁ Κύριος ἐπηγγείλατο. Τὰ δὲ *λευκὰ ἱμάτια*, τοῦ λαμπροῦ βίου καὶ τῆς ἀληκτου ἑορτῆς καὶ εὐφροσύνης σύμβολά [εἰσιν]· οἱ δὲ *στέφανοι*, τῆς νίκης, ἣν πρὸς τοὺς πονηροὺς δαίμονας κατώρθωσαν ἀνδρισάμενοι.

5 Καὶ ἐκ τοῦ θρόνου ἐκπορεύονται ἀστραπαί, καὶ φωναί, καὶ βρονταί·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κάντεῦθεν τὸ φοβερὸν καὶ καταπληκτικὸν τοῦ θεοῦ κατὰ τῶν ἀναξίων τῆς αὐτοῦ μακροθυμίας δείκνυται. Τοῖς μέντοι σωτηρίας ἀξίοις, τούτων ἑκάτερα φωτισμὸν ἐντίθησιν· ἡ μὲν τοῖς τῆς διανοίας ὄμμασιν· ἡ δὲ, τοῖς πνευματικοῖς ὠσὶν ἐμπίπτουσα.

Καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι ἐνώπιον τοῦ
6 θρόνου· αἵ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ. Καὶ ἐνώπιον τοῦ θρόνου, θάλασσα ὑαλίνη, ὁμοία κρυστάλλῳ.

Τὰ δὲ *ἑπτὰ πνεύματα τοῦ θεοῦ*, εἴτε (ὡς φησιν Εἰρηναῖος) ἑπτὰ ἀγγέλους τῶν λοιπῶν ὑπερέχοντας δεῖ νοεῖν· εἴτε τὰς ἐνεργείας τοῦ ζωοποιοῦ πνεύματος· ὧν Ἡσαΐας μέμνηται (α)· οὐδέτερον, οἶμαι, ἀπίθανον. Ἡ δὲ *ὑαλίνη θάλασσα*, τὸ πλῆθος τῶν ἁγίων δυνάμεων καὶ τὸ καθαρὸν καὶ ἀκηλίδωτον, καὶ τὸ τῆς μελλούσης ζωῆς χαρακτηρίζει ἀτάραχον. Τάχα δὲ διὰ ταύτης δηλοῦται τὰ οὐράνια νῶτα, ἀνεφίκτοις ἡμῖν ὕδασι κατὰ τὸν ψαλμῳδὸν στεγαζόμενα (β). Εἰ δέ τισι κρυσταλλοειδὴς ἡ τοῦ οὐρανοῦ φύσις νενόμισται, σκοπεῖν χρὴ, εἰ μὴ ἡ οὐσία τοῦ θεοστιβοῦς ἐκείνου ἐδάφους διὰ τούτων σημαίνεται, τὸ στιλβὸν ὁμοῦ καὶ διαυγὲς ἔχουσα. Ἀλλὰ τῶν ὑπὲρ κατάληψιν ἡ ἔρευνα καταγέλαστος.

Καὶ ἐν μέσῳ τοῦ θρόνου, καὶ κύκλῳ τοῦ θρόνου, τέσσαρα ζῶα γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν.

Διὰ τούτου δείκνυται ὁ *θρόνος*, σημαντικὸς εἶναι τῆς τοῦ θεοῦ βασιλείας τε καὶ ἀναπαύσεως· ἐν ᾗ καὶ περὶ ἣν τὰ Σεραφὶμ ἐθεώρησε· διὰ τοῦ πλήθους τῶν ὀφθαλμῶν, τὸ πρὸς τὰς θείας αὐγὰς θεοπτικὸν αὐτῶν διδασκόμενος· ὅτι καὶ τῶν ἔμπροσθεν καὶ τῶν ὄπισθεν [θεόθεν] τὴν γνῶσιν ἐναυγάζονται.

(α) Ησ. ΙΑ', 2. (β) Ψαλμ. ΡΓ', 3. ΡΜΗ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

7 Καὶ τὸ ζῶον τὸ πρῶτον ὅμοιον λέοντι· καὶ τὸ δεύτερον ζῶον, ὅμοιον μόσχῳ· καὶ τὸ τρίτον ζῶον, ἔχον πρόσωπον ἀνθρώπου· καὶ τὸ τέταρτον ζῶον, ὅμοιον ἀετῷ πετομένῳ.

Ταῦτα τὰ [τέσσαρα] ζῶα, καὶ τὸν Ἰεζεκιὴλ τεθεᾶσθαι νομίζομεν (α)· διὰ τῶν τεσσάρων προσώπων δηλοῦντα [εἴτε] τὴν τῶν τεσσάρων στοιχείων τοῦ θεοῦ δημιουργίαν τε καὶ συντήρησιν, ὥς τισιν ἔδοξεν· εἴτε τῶν οὐρανίων καὶ ἐπιγείων, καὶ τῶν ἐν θαλάσσῃ [καὶ καταχθονίων] τὴν [θείαν] δεσποτείαν· εἴτε τὰς ἀρετὰς τὰς τέσσαρας, καὶ τὰ τέσσαρα εὐαγγέλια, ὡς ἑτέροις καλῶς ἔχειν λελόγισται· τοῦ μὲν *λέοντος* δηλοῦντος τὴν ἀνδρείαν, καὶ τὸ κατὰ Ἰωάννην εὐαγγέλιον, ὥς φησιν Εἰρηναῖος, διὰ τὸ τῆς προαιωνίου βασιλείας τούτου σημαντικόν· ἐν ἀρχῇ γὰρ εἶναι τὸν λόγον ἐκήρυξε (β)· τοῦ δὲ *μόσχου*, ἅτε τοῖς οἰκείοις ἀρκουμένου πόνοις, τὴν δικαιοσύνην, καὶ τὸ κατὰ Λουκᾶν εὐαγγέλιον, ὡς νομικῶς καὶ ἱερατικῶς τὸν Χριστὸν γενεαλογῆσαν· τοῦ δὲ *ἀετοῦ*, τὴν σωφροσύνην· ταύτην γὰρ [φιλεῖν] μαρτυρεῖται [τοῦτο] τὸ ζῶον· καὶ τὸ κατὰ Μάρκον εὐαγγέλιον, ὡς σύντομον καὶ ἀπὸ τοῦ προφητικοῦ πνεύματος ἀρξάμενον· τοῦ δὲ *ἀνθρώπου*, τὴν φρόνησιν, καὶ τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, ὡς φύσει καὶ οὐ νόμῳ κηρύξαν τὴν [τοῦ] Χριστοῦ γέννησιν. Εἰκὸς δὲ διὰ τούτων καὶ τὴν οἰκονομίαν [τοῦ] Χριστοῦ δηλοῦσθαι· διὰ τοῦ λέοντος, ὡς βασιλέως· διὰ τοῦ μόσχου, ὡς ἱερέως, μᾶλλον δὲ καὶ ἱερείου· διὰ τοῦ ἀνθρώπου, ὡς δι' ἡμᾶς ἀνδρωθέντος· διὰ δὲ τοῦ ἀετοῦ, ὡς χορηγοῦ τοῦ ζωοποιοῦ πνεύματος, τοῦ ἐπιπτάντος ἡμῖν ἄνωθεν.

8 Καὶ τὰ τέσσαρα ζῶα, ἓν καθ' ἓν αὐτῶν ἔχον ἀνὰ πτέρυγας ἓξ κύκλωθεν, καὶ ἔσωθεν γέμουσιν ὀφθαλμῶν·

Ταῦτα ὁ μέγας φησὶ Διονύσιος διὰ τοῦτο ταῖς δυσὶ πτέρυξι

(α) Ἰεζ. Α', 5. καὶ ἑξῆς. (β) Ἰωάν. Α', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καλύπτειν τὰ πρόσωπα, καὶ ταῖς δυσὶ τοὺς πόδας, καὶ ταῖς μέσαις πέτεσθαι, ἵνα ἡ περὶ τὰ ὑψηλότερα [αὐτῶν] καὶ βαθύτερα τῆς οἰκείας καταλήψεως φανῇ εὐλάβεια· δι' ἣν τοῖς μέσοις πρὸς τὰς θεαρχικὰς αὐγὰς [τοῖς] θείοις ζυγοῖς ἀνατείνονται.

Καὶ ἀνάπαυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτὸς, λεγοντες· Ἅγιος, ἅγιος, ἅγιος Κύριος ὁ παντοκράτωρ, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος.

Ἀνάπαυσις δὲ ταῖς ἁγίαις ταύταις δυνάμεσι, τὸ ἐκ τῆς θείας ὑμνῳδίας μὴ παύεσθαι, καὶ τὸν τρισσὸν ἁγιασμὸν τῇ τρισυποστάτῳ προσφέρειν θεότητι. Τὸ δὲ, Ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος [ὁ παντοκράτωρ,] τὴν ἁγίαν Τριάδα δηλοῦν ἔφημεν.

9 Καὶ ὅταν δώσωσι τὰ ζῶα δόξαν καὶ τιμὴν καὶ εὐ-
χαριστίαν τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, τῷ ζῶντι
10 εἰς τοὺς αἰῶνας τῶν αἰώνων, πεσοῦνται οἱ εἰκοσι-
τέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ καθημένου ἐπὶ
τοῦ θρόνου· καὶ προσκυνήσουσι τῷ ζῶντι εἰς τοὺς
αἰῶνας τῶν αἰώνων·

Διὰ τούτων δηλοῦται, καὶ τοὺς νοηθέντας ἡμῖν πρεσβυτέρους κοινωνοὺς εἶναι τῆς [ὑμνῳδίας] τῶν οὐρανίων δυνάμεων· ὁμολογοῦντας ἐκ θεοῦ κεκομίσθαι τῆς [κατὰ] τῶν νοητῶν ἐχθρῶν νίκης τὴν δύναμιν.

Καὶ βαλοῦσι τοὺς στεφάνους αὐτῶν ἐνώπιον τοῦ
11 θρόνου, λέγοντες· Ἄξιος εἶ, Κύριε ὁ θεὸς ἡμῶν,
[ὁ ἅγιος], λαβεῖν τὴν δόξαν, καὶ τὴν τιμὴν, καὶ τὴν
δύναμιν· ὅτι σὺ ἔκτισας [τὰ] πάντα, καὶ διὰ τὸ
θέλημά σου ἐκτίσθησαν, καὶ εἰσίν.

Σὺ [γάρ], φησι, δέσποτα τῶν στεφάνων τῆς νίκης αἴτιος καὶ χορηγὸς γέγονας· καὶ σοὶ παρὰ πάντων, ὡς κτισμάτων, ἡ εὐχαριστία ὀφείλεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς βίβλου τῆς ἐσφραγισμένης ἑπτὰ σφραγῖσιν, ἣν οὐδεὶς ἀνοῖξαι τῆς κτιστῆς φύσεως δύναται.

ΚΕΦ. V, 1 Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ θρόνου βιβλίον γεγραμμένον ἔσωθεν καὶ ἔξωθεν, κατεσφραγισμένον σφραγῖσιν ἑπτά.

Βιβλίον, τὴν πάνσοφον τοῦ θεοῦ μνήμην νοοῦμεν· ἐν ᾗ πάντες κατὰ τὸν [θεῖον] Δαυὶδ γράφονται (α)· καὶ τῶν θείων κριμάτων τὴν ἄβυσσον. Ταύτης δὲ τὰ μὲν ἔσω, διὰ τὸ πνεῦμα, [εὔληπτα οὐκ εἰσὶν, ἀλλὰ] δυστέκμαρτα· τὰ δὲ ἔξω, διὰ τὸ γράμμα, εὐληπτότερα. Τὰς δὲ *ἑπτὰ σφραγῖδας*, ἢ τὴν τελείαν τῆς βίβλου ἀσφάλειαν καὶ πᾶσιν ἄγνωστον [δηλοῦν φημι·] ἢ τὰς οἰκονομίας τοῦ ἐρευνῶντος τὰ βάθη τοῦ θείου πνεύματος· ἃς λῦσαι πάσας οὐδεμία κτιστὴ φύσις δύναται. *Βίβλος* δὲ καὶ ἡ προφητεία νοεῖται· ἣν αὐτὸς ὁ Χριστὸς ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ πεπληρῶσθαι ἔφη· ἧς τὰ ἔξης ἐπ' ἐσχάτων πληρωθήσονται.

2 Καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύσσοντα ἐν φωνῇ μεγάλῃ· Τίς ἄξιός ἐστιν ἀνοῖξαι τὸ βιβλίον, καὶ
3 λῦσαι τὰς σφραγῖδας αὐτοῦ; Καὶ οὐδεὶς ἠδύνατο ἐν τῷ οὐρανῷ, οὔτε ἐπὶ τῆς γῆς, οὔτε ὑποκάτω τῆς γῆς, ἀνοῖξαι τὸ βιβλίον, οὔτε βλέπειν αὐτό.

Διὰ δὲ τοῦ, *Οὐδεὶς ἠδύνατο ἀνοῖξαι τὸ βιβλίον*, δηλοῦται μήτε ἀγγέλους, μήτε ἀνθρώπους τοὺς ἐν σαρκὶ ὄντας, μήτε τοὺς ἐκ σαρκὸς ἀποδεδημηκότας ἁγίους, τὴν ἀκριβῆ τῶν θείων κριμάτων κατειληφέναι γνῶσιν, πλὴν τοῦ ἀμνοῦ τοῦ θεοῦ, τοῦ τῶν προφητευθέντων περὶ αὐτοῦ ἔκπαλαι διὰ τῆς παρουσίας αὐτοῦ τὴν ἀσφάλειαν λύσαντος.

(α) Ψαλμ. ΡΛΗ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

4 Καγὼ ἔκλαιον πολὺ, ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι, καὶ ἀναγνῶναι τὸ βιβλίον, οὔτε βλέπειν αὐτό.

Κἀγὼ ἔκλαιόν, φησιν· ἴσως ὡς εἰς ἀγνωσίαν πεσούσης τῆς καθαρωτάτης τῶν ἀγγελικῶν οὐσιῶν τάξεως.

5 Καὶ εἷς ἐκ τῶν πρεσβυτέρων λέγει μοι· Μὴ κλαῖε· ἰδοὺ ἐνίκησεν ὁ λέων ὁ [ὢν] ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα [τοῦ] Δαυὶδ, ἀνοῖξαι τὸ βιβλίον, καὶ [λῦσαι] τὰς ἑπτὰ σφραγίδας αὐτοῦ.

Μὴ κλαῖε· εἰ γὰρ καὶ ἀγγέλοις, [φησὶν], ἡ βίβλος ἀκατάληπτος, ἀλλ' οὐ τῷ θεῷ, τῷ διὰ τοὺς ἀνθρώπους ἐνανθρωπήσαντι· ὃς ῥίζα μὲν *Δαυὶδ*, ὡς κτίστης, διὰ τὴν θεότητα· ἐκ ῥίζης δὲ αὐτοῦ, διὰ τὴν ἀνθρωπότητα.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῆς ἐν μέσῳ τοῦ θρόνου καὶ τῶν ζώων θεωρίας.

6 Καὶ εἶδον ἐν μέσῳ τοῦ θρόνου καὶ τῶν τεσσάρων ζώων, καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων, ἀρνίον ἑστηκὸς ὡς ἐσφαγμένον, ἔχον κέρατα ἑπτὰ καὶ ὀφθαλμοὺς ἑπτά· οἵ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ, ἀποστελλόμενα εἰς πᾶσαν τὴν γῆν.

Τὰ *ἑπτὰ κέρατα* καὶ οἱ *ἑπτὰ ὀφθαλμοὶ* τοῦ ἀρνίου δηλοῦσι τοῦ Χριστοῦ τὰ ἑπτὰ πνεύματα, ὧν Ἡσαΐας ἐμνημόνευσε (α) καὶ Ζαχαρίας οἱ προφῆται· τὸ δὲ, *ὡς ἐσφαγμένον*, δηλοῖ τὴν μετὰ τὴν σφαγὴν ζωὴν αὐτοῦ· ἐν ᾗ ἐδείκνυ τὰ τοῦ πάθους σύμβολα, ὡς ἐσφαγμένον ἀληθῶς, μετὰ τὴν ἐκ νεκρῶν ἔγερσιν.

(α) Ἡσ. ΙΑ', 2.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

7 Καὶ ἦλθε καὶ εἴληφεν ἐκ τῆς δεξιᾶς τοῦ καθημένου
8 ἐπὶ τοῦ θρόνου τὸ βιβλίον. Καὶ ὅτε ἔλαβε τοῦτο, τὰ τέσσαρα ζῶα, καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι, ἔπεσον ἐνώπιον τοῦ ἀρνίου, ἔχοντες ἕκαστος κιθάρας, καὶ φιάλας χρυσᾶς, γεμούσας θυμιαμάτων· αἵ εἰσιν αἱ προσευχαὶ τῶν ἁγίων.

Αἱ *κιθάραι* δὲ, τὴν ἐναρμόνιον καὶ εὔηχον δηλοῦσι θείαν δοξολογίαν· τὰ δὲ *θυμιάματα*, τὴν εὐώδη τῶν πιστῶν θυσίαν, προσαγομένην διὰ βίου καθαροῦ, ὡς φησιν ὁ [θεῖος] ἀπόστολος· *Χριστοῦ εὐωδία ἐσμέν* (α)· αἱ *φιάλαι* δὲ, τῶν διανοιῶν σημαντικαί· ἐξ ὧν ἡ τῶν ἀγαθῶν ἔργων εὐωδία καὶ ἡ καθαρὰ προσευχὴ προέρχεται.

9 Καὶ ᾄδουσιν ᾠδὴν καινὴν, λέγοντες· Ἄξιος εἶ λαβεῖν τὸ βιβλίον, καὶ ἀνοῖξαι τὰς σφραγίδας αὐτοῦ· ὅτι ἐσφάγης, καὶ ἠγόρασας τῷ θεῷ ἡμᾶς ἐν τῷ
10 αἵματί σου ἐκ πάσης φυλῆς καὶ γλώσσης, καὶ λαοῦ, καὶ ἔθνους· καὶ ἐποίησας αὐτοὺς τῷ θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς· καὶ βασιλεύσουσιν ἐπὶ τῆς γῆς.

Οἱ πρεσβύτεροι, οἱ ἐν τῇ Παλαιᾷ τε καὶ Νέᾳ θεῷ εὐαρεστήσαντες, καὶ τὴν ὑπὲρ τοῦ παντὸς κόσμου τῷ σφαγιασθέντι ἀμνῷ τοῦ θεοῦ καὶ ἀγοράσαντι ἡμᾶς εὐαρεστίαν προσάγοντες. *Καινὴ* δὲ [ἡ] *ᾠδὴ*, ἣν οἱ τῆς παλαιότητος τοῦ γράμματος ἀπαλλαγέντες, ἐκ πάσης φυλῆς καὶ γλώσσης καταυγασθέντες, ᾄδειν ἐδιδάχθημεν διὰ τοῦ πνεύματος. Τῆς γῆς δὲ βασιλεῦσαι τούτους φησὶ τῆς καινῆς· ἣν ὁ Κύριος τοῖς πραέσιν ἐπηγγείλατο (β).

11 Καὶ εἶδον, καὶ ἤκουσα ὡς φωνῆς ἀγγέλων πολλῶν κύκλῳ τοῦ θρόνου καὶ τῶν ζώων καὶ τῶν πρεσβυτέρων· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν μυριάδες μυριάδων,

(α) Β' Κορ. Β', 15. (β) Ματθ. Ε', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

12 καὶ χιλιάδες χιλιάδων· λέγοντες φωνῇ μεγάλῃ· Ἄ-
ξιόν ἐστι τὸ ἀρνίον τὸ ἐσφαγμένον λαβεῖν τὴν δύνα-
μιν καὶ τὸν πλοῦτον, καὶ σοφίαν, καὶ ἰσχὺν, καὶ τι-
13 μὴν, καὶ δόξαν, καὶ εὐλογίαν· καὶ πᾶν κτίσμα, ὅ ἐστιν
ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, καὶ ὑποκάτω τῆς
γῆς, καὶ ἐπὶ τῆς θαλάσσης [ἅ ἐστι], καὶ τὰ ἐν αὐτοῖς,
πάντας ἤκουσα λέγοντας· Τῷ καθημένῳ ἐπὶ τοῦ θρό-
νου, καὶ τῷ ἀρνίῳ ἡ εὐλογία, καὶ ἡ τιμὴ, καὶ ἡ δόξα,
καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκ πάντων γὰρ τῶν τε νοητῶν, τῶν τε αἰσθητῶν, τῶν τε ζώντων, τῶν τε ἁπλῶς ὄντων, φυσικοῖς λόγοις ὁ θεὸς δοξάζεται, ὡς πάντων γενεσιάρχης· καὶ ὁ τούτου μονογενὴς καὶ ὁμοούσιος υἱός, ὡς τὴν καινότητα τῷ ἀνθρώπῳ, καὶ πάσῃ τῇ δι' αὐτοῦ γεγενημένῃ κτίσει χαριζόμενος, εἰ καὶ λαβεῖν τῶν ἐν οὐρανοῖς καὶ τῶν ἐπιγείων τὴν ἐξουσίαν ὡς ἄνθρωπος γέγραπται.

14 Καὶ τὰ τέσσαρα ζῶα ἔλεγον· Ἀμήν. Καὶ οἱ πρε-
σβύτεροι ἔπεσον, καὶ προσεκύνησαν.

Διὰ δὲ τῶν τεσσάρων ζώων καὶ τῶν πρεσβυτέρων δείκνυται μία ποίμνη καὶ μία ἐκκλησία γεγενῆσθαι ἀγγέλων καὶ ἀνθρώπων διὰ Χριστοῦ τοῦ θεοῦ, τοῦ τὰ διεστῶτα συνάψαντος, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσαντος (α). Ἰδοὺ γὰρ, ὡς ἀκηκόαμεν, σὺν τοῖς τέσσαρσι ζώοις, τοῖς τῶν λοιπῶν ἀγγελικῶν ὑπερέχουσι τάξεων, καὶ οἱ κδ' πρεσβύτεροι, χαρακτηριστικοὶ τοῦ τῶν σωζομένων ἀνθρώπων πληρώματος, τῆς τοῦ θεοῦ ἀξιοῦνται ὑμνῳδίας τε καὶ προσκυνήσεως· ἧς καὶ ἡμεῖς ἀξιωθείημεν ἐν αὐτῷ [τῷ] Χριστῷ, τῷ τῆς εἰρήνης δοτῆρι, καὶ θεῷ ἡμῶν· μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, [τιμὴ, νῦν καὶ ἀεὶ, καὶ] εἰς τοὺς [ἀτελευτήτους) αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(α) Ἐφεσ. Β', 14. Ἰωάν. Ι', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

ΛΟΓΟΣ Ε'.

Λύσις τῆς πρώτης σφραγῖδος, [τὴν ἀποστολικὴν διδαχὴν σημαίνουσα.]

ΚΕΦ. VI, 1 Καὶ εἶδον ὅτι ἤνοιξε τὸ ἀρνίον μίαν ἐκ τῶν ἑπτὰ σφραγίδων· καὶ ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων λέγοντος, ὡς φωνῆς βροντῆς· Ἔρχου, καὶ ἴδε.

Κάνταῦθα ἡ τῶν ἐν οὐρανοῖς εὐταξία σημαίνεται, ἐκ τῶν πρώτων τάξεων εἰς τὰ δεύτερα καταβαίνουσα· διὸ [καὶ] ἐκ τοῦ ἑνὸς προσώπου τῶν τετραμόρφων, δηλαδὴ τοῦ λέοντος, τὴν πρώτην γεγενῆσθαι φωνὴν ἤκουτε, κελευομένην τῷ, Ἔρχου, τῷ τὴν ὀπτασίαν τυποῦντι ἀγγέλῳ δι' αἰνίγματος. Τὸ δὲ πρῶτον ζῶον, ὁ λέων, ἐμφαίνειν μοὶ δοκεῖ τὸ βασιλικὸν τῶν ἀποστόλων κατὰ δαιμόνων φρόνημα· δι' οὗς εἴρηται· Ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν (α)· καὶ πάλιν· Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν (β).

2 Καὶ εἶδον· καὶ, ἰδοὺ, ἵππος λευκός· καὶ ὁ καθήμενος ἐπ' αὐτὸν, ἔχων τόξον· καὶ ἐδόθη αὐτῷ στέφανος· καὶ ἐξῆλθε νικῶν, καὶ ἵνα νικήσῃ.

Τῆς παρούσης σφραγῖδος τὴν λῦσιν, καὶ τῶν ἑξῆς ἁπασῶν, τινὲς εἰς τὴν ἔνσαρκον τοῦ θεοῦ λόγου οἰκονομίαν ἐξειλήφασι· τὴν πρώτην, εἰς τὴν γένεσιν· τὴν δευτέραν, εἰς τὸ βάπτισμα· τὴν τρίτην, εἰς τὰς μετὰ τοῦτο θεοσημείας· τὴν τετάρτην, εἰς τὴν ἐνώπιον τοῦ Πιλάτου παράστασιν· τὴν πέμπτην, εἰς τὸν σταυρόν· τὴν ἕκτην, εἰς τὴν ἐν [τῷ] μνήματι κατάθεσιν· καὶ τὴν ἑβδόμην, εἰς τὴν τοῦ ᾅδου σκύλευσιν. Ἡμεῖς δὲ, ἐντετυχηκότες Μεθοδίῳ οὕτως εἰρηκότι ἐπὶ λέξεως, ἔνθα τὴν τοῦ πυρρὸυ

(α) Ψαλμ. Β'. 2. (β) Ψαλμ. ΜΔ', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δράκοντος ἀνάπτυξιν ἐποιήσατο ὡς ὑποτέτακται· ὅτι, «Οὐ χρὴ τὸν Χριστὸν αὐτὸν εἶναι νομίζειν τὸν γεγεννημένον· πάλαι γὰρ πρὸ τῆς ἀποκαλύψεως ἐπεπλήρωτο τὸ μυστήριον τῆς ἐνανθρωπήσεως τοῦ [θεοῦ] λόγου· ὁ δὲ Ἰωάννης, περὶ [τῶν] παρόντων καὶ μελλόντων θεσμῳδεῖ·» οὕτως ἐξειλήφαμεν τὴν τῆς πρώτης σφραγῖδος λύσιν, τὴν τῶν ἀποστόλων ἐννοεῖσθαι γενεάν· οἳ καθάπερ τόξον τὸ εὐαγγελικὸν κήρυγμα κατὰ δαιμόνων ἐντείναντες, τῷ Χριστῷ τοὺς τρωθέντας τοῖς σωτηρίοις βέλεσι προστήγαγον· στέφανον εἰληφότες ἀνθ' ὧν διὰ τῆς ἀληθείας τὸν τῆς πλάνης ἀρχηγὸν ἐνίκησαν, ἐπ' ἐλπίδι δευτέρας νίκης, τῆς μέχρι βιαίου θανάτου ὁμολογίας τοῦ δεσποτικοῦ ὀνόματος. Διὸ γέγραπται· *Ἐξῆλθε νικῶν, καὶ ἵνα νικήσῃ.* Πρώτη γὰρ νίκη, ἡ τῶν ἐθνῶν ἐπιστροφή· δευτέρα [δὲ,] ἡ τοῦ σώματος δι' αὐτὴν ἑκούσιος μετὰ κολάσεων ἔξοδος.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Λύσις τῆς δευτέρας σφραγῖδος, [δηλοῦσα τὸν τῶν ἀπίστων κατὰ τῶν πιστῶν πόλεμον.]

3 Καὶ ὅτε ἤνοιξε τὴν δευτέραν σφραγῖδα, ἤκουσα τοῦ δευτέρου ζώου, λέγοντος· Ἔρχου, καὶ ἴδε.

Ζῶον οἶμαι δεύτερον, τὸν μόσχον λέγεσθαι, τῶν ἁγίων μαρτύρων τὰς ἱερὰς θυσίας χαρακτηρίζοντα· τοῦ προτέρου τὴν ἀποστολικὴν ἐξουσίαν διαγράφοντος, ὡς εἴρηται.

4 Καὶ εἶδον, καὶ, ἰδοὺ, ἐξῆλθεν ἄλλος ἵππος πυρρός· καὶ τῷ καθημένῳ ἐπ' αὐτὸν, ἐδόθη αὐτῷ λαβεῖν τὴν εἰρήνην ἐκ τῆς γῆς, ἵνα ἀλλήλους σφάξωσι· καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ταύτην ἡμεῖς στοχαζόμεθα τὴν δευτέραν τῶν ἀποστόλων νοεῖσθαι διαδοχὴν, διὰ μαρτύρων καὶ διδασκάλων συμπληρουμένην· ἐν ᾗ, πλατυνομένου λοιπὸν τοῦ κηρύγματος, ἡ τοῦ κόσμου εἰρήνη ἐλύθη, καθ' ἑαυτῆς μερισθείσης τῆς φύσεως, κατὰ τὸ ῥηθὲν ὑπὸ τοῦ Χριστοῦ· *Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν* (α)· δι' ἧς τὰ μαρτυρικὰ σφάγια εἰς τὸ ἄνω θυσιαστήριον ἀνηνέχθησαν. Ὁ δὲ *πυρρὸς ἵππος*, ἢ τῆς ἐκχύσεως τῶν αἱμάτων, ἢ τῆς πεπυρωμένης τῶν ὑπὲρ Χριστοῦ πασχόντων διαθέσεως σύμβολον. Τὸ δὲ γεγράφθαι, *δοθῆναι τῷ καθημένῳ ἐπ' αὐτὸν λαβεῖν τὴν εἰρήνην*, τὴν πάνσοφον δείκνυσι τοῦ θεοῦ συγχώρησιν, τοὺς πιστοὺς δούλους διὰ πειρασμῶν δοκιμάζουσαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Λύσις τῆς τρίτης σφραγῖδος· [δηλοῦσα τῶν μὴ παγίως πιστευόντων τῷ Χριστῷ τὴν ἀπ' αὐτοῦ ἔκπτωσιν.]

5 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν τρίτην, ἤκουσα τοῦ τρίτου ζώου, λέγοντος· Ἔρχου, [καὶ ἴδε.]

[Τὸ] *τρίτον ζῶον* ἐνταῦθα τὸν *ἄνθρωπον* οἶμαι λέγεσθαι, τὴν τῶν ἀνθρώπων δηλοῦντα ἔκπτωσιν, καὶ διὰ τοῦτο κόλασιν, διὰ τὸ πρὸς ἁμαρτίαν εὐόλισθον τῇ ἐξουσίᾳ τῆς προαιρέσεως.

[Καὶ εἶδον,] καὶ, ἰδοὺ, ἵππος μέλας· καὶ ὁ καθή-
6 μενος ἐπ' αὐτὸν, ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ. Καὶ ἤκουσα φωνῆς ἐν μέσῳ τῶν τεσσάρων ζώων, λεγούσης· Χοῖνιξ σίτου, δηναρίου· καὶ τρεῖς χοίνικες

(α) Ματθ. ι', 34.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κριθῆς, δηναρίου· καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον μὴ ἀδικήσῃς.

Διὰ δὲ τοῦ *μέλανος ἵππου*, τὸ πένθος δηλοῦσθαι νομίζομεν, τὸ ἐπὶ τοῖς ἐκπεσοῦσι τῆς εἰς Χριστὸν πίστεως, διὰ τὴν ὑπερβολὴν τῶν κολάσεων. Τὸν δὲ *ζυγὸν*, δοκιμαστὴν εἶναι τῶν τε δι' εὐκολίαν γνώμης ἢ κενοδοξίαν, τῶν τε διὰ σώματος ἀσθένειαν ἐκπεπτωκότων τῆς πίστεως. *Χοῖνιξ σίτου, δηναρίου*· εἰκὸς μὲν καὶ αἰσθητὸν λιμὸν τότε γενέσθαι, καθὼς καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται· τὸν δὲ τοῦ σίτου χοίνικα, τὸν δηναρίου ἄξιον, τροπικῶς δηλοῦν τοὺς νομίμως ἀθλήσαντας, καὶ τῆς δοθείσης θείας εἰκόνος ἀκριβῶς φύλακας· τοὺς δὲ *τρεῖς χοίνικας τῆς κριθῆς*, τοὺς κτηνοπρεπῶς τοῖς διώκταις δι' ἀνανδρίαν ὑποκύψαντας, ἀναλόγως δὲ μετανοήσαντας ὕστερον, καὶ τὴν ῥυπωθεῖσαν εἰκόνα δάκρυσιν ἀποπλύναντας. Τὸ μέντοι ἐντετάλθαι μὴ ἀδικεῖσθαι τὸν οἶνον καὶ τὸ ἔλαιον, τὸ μὴ ἀθετεῖσθαι λέγει τὴν δι' ἐπιστροφῆς [τοῦ] Χριστοῦ ἰατρείαν, ἢ τοὺς ἐμπεπτωκότας τοῖς λῃσταῖς καὶ τραυματισθέντας θεραπεῦσαι, καὶ μὴ ἐάσαι προαρπαγῆναι θανάτῳ τούτους, οὓς διὰ μακροθυμίας τὴν ἧττταν ἔμελλον ἀναμαχήσασθαι. Ἵνα τοίνυν καὶ ἡμεῖς φιλάνθρωπον ἰατρὸν τὸν Θεὸν ἐπὶ τοῖς ψυχικοῖς ἡμῶν πάθεσι κτησώμεθα, τοιοῦτοι τοῖς ἀδελφοῖς ἡμῶν σπλαγχνιζόμενοι γενέσθαι σπουδάσωμεν, τῷ ἐλαίῳ τῆς συμπαθείας μεμιγμένον τὸν τῆς παραινέσεως οἶνον [τούτοις] προσφέροντες· ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον κατὰ τὸν [θεῖον] ἀπόστολον (α). ὅπως θεοῦ συνεργοὶ γινόμενοι, τοῖς αὐτοῦ ἀγαθοῖς αἰωνίως ἐντρυφήσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, [κράτος, νῦν καὶ ἀεὶ καὶ] εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(α) Ἑβρ. ΙΒ', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΙΣ'.

ΛΟΓΟΣ ΣΤ'.

Λύσις τῆς τετάρτης σφραγῖδος, ἐμφαίνουσα τὰς ἐπαγομένας τοῖς ἀσεβέσι μάστιγας.

7 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν τετάρτην, ἤκουσα φωνῆς τοῦ τετάρτου ζώου, λέγοντος· Ἔρχου, [καὶ ἴδε.]

Τὸ τοῦ τετάρτου ζώου, δηλαδὴ τοῦ ἀετοῦ, ὑψιπετὲς καὶ ὀξὺ πρὸς βορὰν, ἄνωθεν ἥκειν ἐκ θεηλάτου ὀργῆς τὰς πληγὰς ἐμφαίνειν δύναται, εἰς τὴν τῶν εὐσεβῶν ἐκδίκησιν καὶ τῶν ἀσεβῶν τιμωρίαν, εἰ μὴ ταύταις βελτιωθέντες ἐπιστρέψουσι.

8 Καὶ εἶδον, καὶ, ἰδοὺ, ἵππος χλωρός· καὶ ὁ καθήμενος ἐπάνω αὐτοῦ, ὄνομα αὐτῷ ὁ Θάνατος· καὶ ὁ ᾅδης ἠκολούθει αὐτῷ· καὶ ἐδόθη αὐτοῖς ἐξουσία ἐπὶ τὸ τέταρτον [μέρος] τῆς γῆς, ἀποκτεῖναι ἐν ῥομφαίᾳ, καὶ ἐν λιμῷ, καὶ ἐν θανάτῳ, καὶ ὑπὸ τῶν θηρίων τῆς γῆς.

Τοῦ εἱρμοῦ τῶν προεκτεθέντων καὶ τὰ παρόντα ἔχεται. Ὡς γάρ φησιν ἐν ὀγδόῳ κεφαλαίῳ τοῦ ἐννάτου λόγου τῆς ἐκκλησιαστικῆς αὐτοῦ ἱστορίας [ὁ] Εὐσέβιος, ἐν τῇ τῶν διωγμῶν ἀκμῇ, ἐπὶ Μαξιμιανοῦ Ῥωμαίων βασιλεύοντος, [ὑπὸ μὲν λιμοῦ καὶ λοιμοῦ κατασκήψαντος αὐτοῖς σὺν ἑτέροις συμπτώμασιν,] ἄπειρα πλήθη διεφθείροντο, ὡς ταφῇ μὴ δύνασθαι παραδίδοσθαι· καίτοι Χριστιανῶν τότε φιλοτίμως περὶ τὰς κηδείας ἠσχολημένων, καὶ τῷ φιλανθρώπῳ τοὺς πεπλανημένους ἐναγόντων πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν· ὑπὸ δὲ Ἀρμενίων ἐπαναστάντων Ῥωμαίοις, οὐκ ὀλίγους ἀνῃρῆσθαι ῥομφαίᾳ φησὶ, καὶ ὑπὸ κυνῶν ἀνηλῶσθαι τὰ τῶν θανόντων σώματα· ὡς λοι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πὸν τοὺς λειπομένους εἰς κυνοκτονίαν τραπῆναι, δεδιότας, μὴ καὶ αὐτοὶ θανόντες ζῶντας τούτους τάφους κτήσωνται. Οὐκ ἀπεικὸς δὲ τοῖς κυσὶ τῆς αὐτῆς θοίνης καὶ ἀγρίους θῆρας συμμετέχειν, διὰ τὸ τῆς τροφῆς ἄφθονον. Καὶ ἐν τῇ ἡμετέρᾳ δὲ γενεᾷ τούτων ἕκαστον συμβὰν ἐγνωμεν.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Λύσις τῆς πέμπτης σφραγῖδος, δηλοῦσα τὴν τῶν ἁγίων [ψυχῶν] πρὸς Κύριον περὶ τῆς συντελείας καταβόησιν.

9 Καὶ ὅτε ἤνοιξε τὴν πέμπτην σφραγῖδα, εἶδον ὑποκάτω τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν [ἀνθρώπων] τῶν ἐσφαγμένων διὰ τὸν λόγον τοῦ θεοῦ καὶ διὰ
10 τὴν μαρτυρίαν [τοῦ ἀρνίου], ἣν εἶχον· καὶ ἔκραζον φωνῇ μεγάλῃ, λέγοντες· Ἕως πότε ὁ δεσπότης [ἡμῶν] ὁ ἅγιος καὶ ὁ ἀληθινὸς οὐ κρίνεις καὶ [οὐκ] ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἀπὸ τῶν κατοικούντων ἐπὶ τῆς γῆς;

Εἰ μέν τις τὴν λύσιν τῶν τεσσάρων σφραγίδων ταῖς τοῦ Χριστοῦ παρωχηκυίαις οἰκονομίαις προσνεῖμαι διάσεται, καὶ ταύτην εἰκότως τοῖς προτελειωθεῖσι προφήταις καὶ λοιποῖς ἁγίοις ἐφαρμόσει· [οἳ] τῆς θείας καταβοῶσι μακροθυμίας, ἐφ' οἷς μέχρι σταυροῦ παρὰ Ἰουδαίων ὑβριζόμενος ἀνέχεται. Εἰ δέ τις ὡς μελλόντων πρόῤῥησιν ταῦτα ἐκλάβῃ κατὰ τοὺς διδασκάλους τῆς ἐκκλησίας, τοῖς διὰ Χριστὸν σφαγιασθεῖσι τὴν τοιαύτην πρέπειν κατὰ τῶν διωκτῶν οἰήσεται καταβόησιν, ἐφ' ᾧ τοὺς ἐν αὐτῇ ἀξίους ἐπιστρέψαι· τῶν δὲ ἀπειθῶν τῇ παγκοσμίῳ συντελείᾳ ἐκκόψαι τὴν ἀσέβειαν· ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν (α). Εἰ γὰρ καὶ ἤδη τότε, καθὼς εἴ-

(α) Ψαλμ. ΡΚΔ', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρηται, οἱ δυσσεβεῖς θείας ὀργῆς ἐπειράθησαν, ἀλλ' οὐδὲν ἧττον τὰ ταύτων λείψανα ἐπιστρεπτικῶν ἢ κολαστικῶν μαστίγων ἐδέοντο.

11 Καὶ ἐδόθη αὐτοῖς ἑκάστῳ στολὴ λευκή· καὶ ἐρρέθη αὐτοῖς ἵνα ἀναπαύσωνται ἔτι χρόνον μικρὸν, ἕως οὗ πληρώσωσι καὶ οἱ σύνδουλοι αὐτῶν, καὶ οἱ ἀδελφοὶ αὐτῶν, οἱ μέλλοντες ἀποκτείνεσθαι, ὡς καὶ αὐτοί.

Τὸ δὲ, *Ἕως οὗ πληρώσωσι καὶ οἱ σύνδουλοι αὐτῶν*, δηλοῖ, ὅτι τὴν τοῦ κόσμου συντέλειαν αἰτούμενοι φαίνονται οἱ ἅγιοι· διὸ καὶ μακροθυμεῖν ἄχρι τῆς τῶν ἀδελφῶν τελειώσεως κελεύονται, ἵνα μὴ χωρὶς αὐτῶν τελειωθῶσι, κατὰ τὸν Ἀπόστολον (α). Ἡ δὲ *λευκὴ στολὴ*, τὴν ἐπανθοῦσαν αὐτοῖς τῶν ἀρετῶν ἐμφαίνει λαμπρότητα, ἣν ἀμφιέννυνται, εἰ καὶ μήπω τὰς ἐπαγγελίας ἐκομίσαντο· τῇ γοῦν ἐλπίδι τούτων, ἅπερ νοερῶς ἐνοπτρίζονται, πάσης ἀπηλλαγμένοι παχύτητος, εἰκότως εὐφραίνονται, τοῖς κόλποις Ἀβραὰμ ἐπαναπαυόμενοι. Πολλοῖς γὰρ τῶν ἁγίων τοῦτο εἴρηται, τὸ χώρους ἀξίους εἰληφέναι τῶν τῆς ἀρετῆς ἐργατῶν ἕκαστον, δι' ὧν καὶ περὶ τῆς μελλούσης αὐτῶν δόξης τεκμαίρονται.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Λύσις τῆς ἕκτης σφραγῖδος, τὰς ἐν τῇ συντελείᾳ ἐπαγομένας πληγὰς σημαίνουσα.

12 Καὶ εἶδον ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἕκτην, καὶ σεισμὸς μέγας ἐγένετο, καὶ ὁ ἥλιος ἐγένετο μέλας ὡς ἀσκὸς τρίχινος· καὶ ἡ σελήνη [ὅλη] ἐγένετο ὡς
13 αἷμα· καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσον εἰς τὴν γῆν, ὡς συκῆ βάλλει τοὺς ὀλύνθους αὐτῆς ὑπὸ μεγάλου ἀνέμου σειομένη.

(α) Ἑβρ. ΙΑ', 40.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰ καὶ ταῦτά τινες εἰς τὴν ἐπὶ Οὐεσπασιανοῦ πολιορκίαν ἐξέλαβον ἅπαντα, τῶν εἰρημένων ἕκαστον τραπολογήσαντες· ἡμῖν δὲ φαίνεται μετάβασιν ἐνταῦθα γεγενῆσθαι ἀπὸ τῶν ἐν τοῖς διωγμοῖς χρόνων, εἰς τὸν καιρὸν τὸν πρὸ τῆς τοῦ Ἀντιχρίστου ἀφίξεως· ἐν ᾧ τοσαύτας προεφητεύθη ἔσεσθαι τὰς πληγάς· ἴσως πρὸς τὸ ἐμμελετῶντας ταύταις τοὺς ἀνθρώπους, μὴ ἀπειπεῖν πρὸς τὰς ἐπαγομένας [ἐκ] τοῦ Ἀντιχρίστου κολάσεις, [τοιαύτας οὔσας], οἵας οὐδέποτε γεγενημένας ἔγνωμεν. *Σεισμὸν* μέντοι, τὴν τῶν πραγμάτων μετάθεσιν πολλαχοῦ τῆς Γραφῆς εὑρίσκομεν. Τὸ γὰρ, *Ἔτι ἅπαξ σείσω τὴν γῆν* (α), δηλοῖ τὴν τῶν σαλευομένων μετάθεσιν, ὥς φησιν ὁ ἀπόστολος (β). Καὶ ἐν τῇ Παλαιᾷ δὲ εἴρηται περὶ τῆς ἐξ Αἰγύπτου πορείας τῶν Ἰσραηλιτῶν, *Γῆ ἐσείσθη· καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν* (γ). Τὸ δὲ *μέλαν τοῦ ἡλίου*, καὶ τῆς σελήνης τὸ ἀφεγγὲς καὶ αἱματῶδες, τὸ τοῖς παρὰ τῆς θείας ὀργῆς καταληφθεῖσιν ἀφώτιστον ἐνδείκνυται. Οὕτω γὰρ πολλάκις ταῦτα καὶ ὁ μακάριος Κύριλλος ἐξείληφε. Τὸ δὲ *πεσεῖν τοὺς ἀστέρας*, καθὼς καὶ ἤδη περὶ τῶν ὑπὸ Ἀντιόχου ἀπατηθέντων γέγραπται, τὸ καὶ τοὺς φωστῆρας εἶναι δοκοῦντας ἐν κόσμῳ πίπτειν τοῖς γινομένοις ἀποκλάζοντας, ὡς [φησὶν ὁ Κύριος] πλανηθῆναι, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτοὺς (δ), διὰ τὸ τῆς θλίψεως μέγεθος. Ἴσως γὰρ διὰ τοῦτο καὶ ἡ *συκῆ* εἰς παράδειγμα παραλαμβάνεται· ὡς τοὺς ἀτελεῖς καρποὺς, καὶ μήπω πεπανθέντας τῷ τῶν πειρασμῶν καύσωνι, καὶ [μήπω] γλυκανθέντας τῇ χάριτι, ἐν τῷ ὑπὸ τοῦ διαβολικοῦ ἀνέμου τινάσσεσθαι καταβάλλουσα. Δισσῶς γὰρ ταύτην ἐπί τε καλῷ, ἐπί τε κακῷ, ἐκλαμβανομένην οἴδαμεν ἔκ τε τῶν δύω καλάθων τῶν χρηστῶν, καὶ τῶν πονηρῶν σύκων τῶν τῷ Ἱερεμίᾳ φανέντων (ε), ἔκ τε τῆς ξηρανθείσης ὑπὸ [τοῦ] Χρι-

(α) Ἀγγ. Β', 7. (β) Ἑβρ. ΙΒ', 26. (γ) Ψαλμ. ΙΖ', 8.
(δ) Ματθ. ΚΔ', 24. (ε) Ἱερ. ΚΔ', 1, 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στοῦ συκῆς (α), καὶ τῆς φερομένης ἐν τῷ ἄσματι (β). Εἰ δὲ αἰσθητῶς ταῦτα τοῦ Χριστοῦ κριτοῦ μετὰ δόξης ἐρχομένου συμβήσεται, αὐτὸς ἂν εἰδείη ὁ τοὺς ἀποκρύφους ἔχων θησαυροὺς τῆς γνώσεως καὶ τῆς σοφίας.

14 Καὶ ὁ οὐρανὸς ἀπεχωρίσθη ὡς βιβλίον ἑλισσόμενος· Τὸ δὲ *τον οὐρανὸν ἑλίσσεσθαι ὡς βιβλίον*, ἢ τὸ ἄγνωστον τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας αἰνίττεται· ἀψοφητὶ γὰρ καὶ ἐν ἀκαριαίῳ ἡ βίβλος ἀνοίγεται· ἢ ὅτι καὶ αἱ οὐράνιαι δυνάμεις τοῖς ἐκπίπτουσι τῆς πίστεως ἐπαλγοῦσαι, οἱονεὶ συμπάθειαν καὶ λύπην ἕξουσι. Διὰ τούτου δέ, καὶ ἕτερόν τι σημαίνεται· τὸ μὴ ἀφανισμὸν τὸν οὐρανὸν ὑποστῆναι· ἀλλ' οἷον εἰλιγμόν τινα καὶ ἀλλαγὴν ἐπὶ τὸ βέλτιον, ὥς φησιν Εἰρηναῖος ἐν τῷ πέμπτῳ λόγῳ τοῦ ἐλέγχου τῆς ψευδωνύμου γνώσεως ἐπὶ λέξεως οὕτως· « Οὐ γὰρ ἡ ὑπόστασις, οὐδὲ ἡ οὐσία τῆς κτίσεως ἐξαφανίζεται· ἀληθὴς γὰρ καὶ βέβαιος ὁ συστησάμενος αὐτήν· ἀλλὰ τὸ σχῆμα, παράγει τοῦ κόσμου τούτου, ἐν οἷς ἡ παράβασις ἐγένετο, ὡς οἱ πρεσβύτεροι λέγουσι. » Καὶ ταῦτα μὲν ὁ μέγας Εἰρηναῖος. Ἡγούμεθα δὲ τῇ ἀρχαίᾳ συνηθείᾳ χρήσασθαι τὸν ἀπόστολον· εἰλιταρίοις γὰρ οἱ Ἑβραῖοι ἀντὶ τῶν παρ' ἡμῖν βιβλίων ἐκέχρηντο· ὧν ἡ ἀνείλιξις, οὐκ ἀφανισμὸν, ἀλλὰ τῶν γεγραμμένων φανέρωσιν ἀπειργάζετο· ὡς καὶ τοῦ οὐρανίου σώματος ἡ ἀνάπτυξις, τῶν ἀποκειμένων τοῖς ἁγίοις ἀγαθῶν τὴν ἀποκάλυψιν δεικνύει. Καὶ τοῦτο μὲν τετραχῶς πρὸς τὸ χορηγηθὲν ἡμῖν θεόθεν νενοήκαμεν· τῶν δὲ ἑξῆς ἐχώμεθα.

Καὶ πᾶν ὄρος καὶ νῆσος ἐκ τῶν τόπων αὐτῶν ἐκι-
15 νήθησαν· καὶ οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ μεγιστᾶνες, καὶ οἱ χιλίαρχοι, καὶ οἱ πλούσιοι, καὶ οἱ ἰσχυροὶ, καὶ πᾶς δοῦλος καὶ πᾶς ἐλεύθερος ἔκρυψαν ἑαυτοὺς εἰς τὰ σπήλαια, καὶ εἰς τὰς πέτρας τῶν ὀρέων·

(α) Ματθ. ΚΔ'. 19· (β) Ἄσμ. Β', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

16 και ἔλεγον τοῖς ὄρεσι, καὶ ταῖς πέτραις· Πέσετε
ἐφ' ἡμᾶς, καὶ κρύψατε ἡμᾶς ἀπὸ προσώπου τοῦ
καθημένου ἐπὶ τοῦ θρόνου, καὶ ἀπὸ τῆς ὀργῆς τοῦ
17 ἀρνίου· ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς
αὐτοῦ· καὶ τίς δύναται σταθῆναι;

Ὁ Κύριος ἡμῶν τοῖς ἀποστόλοις ἐρωτῶσι περὶ τῆς τοῦ ἐν Ἱεροσολύμοις ναοῦ καταστροφῆς καὶ τῆς συντελείας, καθὼς ἠδύναντο χωρεῖν, προεῖπε τὰ μέλλοντα· ἅπερ [καὶ] ἤδη μὲν ἐν τῇ πολιορκίᾳ [ἐπὶ] Οὐεσπασιανοῦ καὶ Τίτου τοῖς χριστοκτόνοις Ἰουδαίοις συμβέβηκε, καθὼς ἱστορεῖ ὁ Ἑβραῖος Ἰώσηππος· ἐπὶ τέλει δὲ μεθ' ὑπερβολῆς πλείονος παντὶ, ὡς εἰπεῖν, τῷ κόσμῳ ἐν τῇ τοῦ Ἀντιχρίστου ἐπιδημίᾳ ἐπελεύσεται, καθὼς εἴρηται· ἐν ᾗ οἱ κατ' ἐξοχὴν εἴτε ἐκκλησιαστικῆς εὐταξίας, εἴτε κοσμικῆς δυναστείας ὑπάρχοντες, ὄρη τροπικῶς ὀνομαζόμενοι· αἵ τε τῶν πιστῶν ἐκκλησίαι, μεταφορικῶς νῆσοι καλούμεναι, καὶ πρὸς θεὸν, κατὰ τὸν Ἡσαΐαν, ἐγκαινιζόμεναι (α), ἐκ τῶν τόπων αὐτῶν φεύξονται, τόπον ἐκ τόπου διὰ τὸν ψευδόχριστον ἀμείβοντες· ὧν καὶ ἡμεῖς πρὸ τῆς αὐτοῦ παρουσίας δι' ἁμαρτίας φιλανθρώπως πεπειράμεθα. Οἱ δὲ τῆς γῆς βασιλεῖς, τουτέστιν, οἱ ταύτης κατεξουσιάζοντες, καὶ μηδὲν ἐν οὐρανοῖς κεκτημένοι, σὺν πᾶσι μεγιστᾶσι καὶ πλουσίοις, ἐν τοῖς δούλοις τῶν κάτω, καὶ ἐλευθέροις [ὡς οὐκ ὤφειλε] τῆς Χριστοῦ δουλείας, ὑπὸ τῶν σπηλαίων, καὶ πετρῶν, καὶ ὀρέων καλυφθῆναι εὔξονται, ἢ πειραθῆναι τῆς θείας ὀργῆς, τῆς ἐπομβρούσης αὐτοῖς ἐν τῇ τοῦ Ἀντιχρίστου παρουσίᾳ κατὰ συγχώρησιν τὰς ἀπὸ λιμοῦ καὶ ἑτέρων πληγῶν μάστιγας· ἢ ἐν ταῖς προσδοκωμέναις μετὰ τὴν ἀνάστασιν ἀπεράντοις κολάσεσιν· ὅτε καὶ μᾶλλον ἡ θεία ὀργὴ δικαίως ὡς κλίβανος ἐκκαυθήσεται, τοὺς τῷ θεμελίῳ τῆς πίστεως ἐποικοδομοῦντας ξύλα [καὶ] χόρτον [καὶ] καλάμην, ὡς τροφὴν πυρὸς, καπαναλίσκουσα (β)· ἧς ὁ

(α) Ἡσ. ΜΔ', 1. (β) Α' Κορ. Γ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φιλάνθρωπος θεὸς λυτρούμενος ἡμᾶς, τῶν αἰωνίων ἀγαθῶν, τῶν ἡτοιμασμένων τοῖς ἁγίοις αὐτοῦ, μετόχους ἀπεργάσαιτο, συντάττων τῷ τῶν σωζομένων πληρώματι, χάριτι τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ· μεθ' οὗ τῷ Πατρὶ πρέπει δόξα, σὺν τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

ΛΟΓΟΣ Ζ'.

Περὶ τῶν σωζομένων ἐκ τῆς πληγῆς τῶν τεσσάρων ἀγγέλων χιλιάδων ἑκατοντεσσαρακοντατεσσάρων.

ΚΕΦ. VII, 1 Καὶ μετὰ ταῦτα εἶδον τέσσαρας ἀγγέλους ἑστῶτας ἐπὶ τὰς τέσσαρας γωνίας τῆς γῆς, κρατοῦντας τοὺς τέσσαρας ἀνέμους [τῆς γῆς,] ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τὴν γῆν, μήτε ἐπὶ τὴν θάλασσαν, μήτε ἐπὶ πᾶν δένδρον.

Εἰ καὶ ταῦτά τισιν ὑπὸ Ῥωμαίων πάλαι τοῖς Ἰουδαίοις γεγενῆσθαι ἐξείληπται, τῶν τεσσάρων θείων ἀγγέλων δηλοῦν αὐτοῖς νομισθέντων τὸ ἐπί τε γῆς, ἐπί τε θαλάττης, τῶν τὴν ὀργὴν πειρωμένων διαδιδράσκειν ἄφυκτον, πολλῷ μᾶλλον τοῦτο ἐν τῇ τοῦ Ἀντιχρίστου ἐπελεύσει γενήσεται· οὐκ ἐν τῇ μερικῇ γῇ τῆς Ἰουδαίας, ἀλλ' ἐν πάσῃ, ἧς ἐπὶ τῶν τεσσάρων γωνιῶν ἑστάναι τοὺς ἀγγέλους διέξεισιν, ὡς πληροῦντας διακονίας θεόθεν αὐτοῖς ἐγκεχειρισμένας, ἡμῖν δὲ ἀγνώστους. Ἡ δὲ τῶν *ἀνέμων ἐποχὴ*, προδήλως λύσιν τῆς εὐταξίας τῆς κτίσεως, καὶ τὸ τῶν κακῶν ἐμφαίνει ἀδιάδραστον· δι' ἀνέμων γὰρ καὶ τὰ τῆς γῆς φυτὰ τρέφονται, καὶ πλεῖται ἡ θάλασσα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

2 Καὶ εἶδον ἄλλον ἄγγελον ἀναβαίνοντα ἀπὸ ἀνατολῆς ἡλίου, ἔχοντα σφραγῖδα θεοῦ ζῶντος· καὶ ἔκραζε φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις, οἷς ἐδόθη [αὐτοῖς] ἀδικῆσαι τὴν γῆν, καὶ τὴν θάλασσαν, λέγων·

Ὁπερ τῷ Ἰεζεκιὴλ (α) πάλαι ἀποκεκάλυπτο περὶ τοῦ ἐνδεδυμένου τὸ βαδδὶν, καὶ τῶν καταστεναζόντων τὰ μέτωπα σφραγίζοντος πρὸς τὸ μὴ συναπολέσθαι τοὺς δικαίους τοῖς ἀδίκοις, διὰ τὸ τῆς κεκρυμμένης τῶν ἁγίων ἀρετῆς καὶ τοῖς ἀγγέλοις ἄγνωστον· τοῦτο κάνταῦθα τῷ μακαρίῳ δείκνυται, ὑπερτέρας ἁγίας δυνάμεως τοῖς τιμωροῖς ἁγίοις ἀγγέλοις ἐγκελευομένης μηδὲν δράσαι εἰς τοὺς πλημμελήσαντας, πρὶν ἂν διὰ τοῦ σφραγισθῆναι διακριθέντας ἐπιγνῶσι τοὺς τῆς ἀληθείας θεραπευτάς. Τοῦτο δὲ, εἰ καὶ μερικῶς πάλαι γεγένηται, τῶν τῷ Χριστῷ πεπιστευκότων τὴν τῆς Ἱερουσαλὴμ ὑπὸ Ῥωμαίων ἐκπεφευγότων πορθησιν, εἰς πολλὰς τελούντων μυριάδας, κατὰ τὸν μέγαν Ἰάκωβον, τὸν τῷ μακαρίῳ Παύλῳ τὸ πλῆθος αὐτῶν ἐμφαίνοντα (β)· ἀλλ' οὖν, ὡς εἴρηται, ἐν τῷ καιρῷ τῆς τοῦ Ἀντιχρίστου ἐπελεύσεως μάλιστα γενήσεται, τῆς σφραγῖδος τοῦ ζωοποιοῦ σταυροῦ διειργούσης τῶν ἀπίστων τοὺς πιστοὺς, ἀνεπαισχύντως καὶ πεπαρρησιασμένως τὴν τοῦ Χρίστου σημείωσιν ἐνώπιον τῶν ἀσεβῶν φέροντας· διό φησιν ὁ ἄγγελος·

3 Μὴ ἀδικήσητε τὴν γῆν, μήτε τὴν θάλασσαν, μήτε τὰ δένδρα, ἄχρις οὗ σφραγίσωμεν τοὺς δούλους τοῦ θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν.

Ἡ κτίσις, ὡς δι' ἡμᾶς γεγενημένη, παιδευομένοις ἡμῖν κοινωνεῖ ἐπὶ ταῖς μάστιξιν, ὥσπερ [οὖν] καὶ δοξαμένοις τοῖς ἁγίοις συμφαιδρυνθήσεται. Διὰ τούτων δὲ μανθάνομεν καὶ τοὺς ἐναρέτους δεῖσθαι δυναμωθῆναι δι' ἀγγελικῆς βοηθείας πρὸ τῆς τῶν πειρασμῶν ἐπαγωγῆς τῇ δεδομένῃ [ἡμῖν] σφραγῖδι τοῦ

(α) Δαν. Γ'. 5. ΙΒ', 6. καὶ ἑξ. (β) Πραξ. ΚΑ', 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πνεύματος, καὶ κατὰ τοσοῦτον ἐπιδεικνυμένη τὴν οἰκείαν δύναμιν, καθ' ὅσον ἂν αὐτοὶ ἐργασίαν παρασχώμεθα· τῶν λοιπῶν μενόντων ἀβοηθήτων παρ' οἰκεῖον τοῦ μὴ βοηθηθῆναι θέλημα.

4 Καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων· [ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες ἐσφραγισμέ-
5 νοι,] ἐκ πάσης φυλῆς [τῶν] υἱῶν Ἰσραήλ. Ἐκ φυλῆς Ἰούδα, δώδεκα χιλιάδες ἐσφραγισμένοι.

Ἰούδας, ἐξομολόγησις ἑρμηνεύεται· δι' οὗ δηλοῦνται οἱ διὰ ἐξομολογήσεως τῆς πρὸς Χριστὸν, τὸν ἐξ Ἰούδα βλαστήσαντα, σωζόμενοι.

Ἐκ φυλῆς Ῥουβὶμ, δώδεκα χιλιάδες ἐσφραγισμένοι.

Ῥουβὶμ, ὁράσεως υἱὸς ἑρμηνεύεται· δι' οὗ δηλοῦνται οἱ διὰ καθαρότητα καρδίας τὴν πνευματικὴν ὅρασιν κτησάμενοι.

Ἐκ φυλῆς Γὰδ, δώδεκα χιλιάδες ἐσφραγισμένοι.

Γὰδ, πειρασμός· δι' οὗ δηλοῦνται οἱ διὰ ὑπομονῆς πειρασμῶν κατὰ τὸν Ἰὼβ στεφανούμενοι.

6 Ἐκ φυλῆς Ἀσὴρ, δώδεκα χιλιάδες ἐσφραγισμένοι.

Ἀσὴρ, μακαρισμός· δι' οὗ δείκνυνται οἱ τὸν δεσποτικὸν μακαρισμὸν διὰ πολιτείας ἀξίας κληρονομοῦντες, καὶ τῆς δεσποτικῆς τῆς ἐκ δεξιῶν τοῦ Χριστοῦ στάσεως ἀξιούμενοι, καὶ υἱοὶ φωτὸς καὶ ἡμέρας ἀναδεικνύμενοι.

Ἐκ φυλῆς Νεφθαλεὶμ, δώδεκα χιλιάδες.

Νεφθαλεὶμ, προσευχή· δι' ἧς χαρακτηρίζονται οἱ διὰ προσευχῆς ἀδιαλείπτου τῷ θεῷ κολλώμενοι.

Ἐκ φυλῆς Μανασσῆ, δώδεκα χιλιάδες.

Μανασσῆς, ἐπιλησμοσύνη· τουτέστιν, οἱ τῶν ὄπισθεν ἐπιλανθανόμενοι καὶ τῶν πατρῴων οἴκων διὰ τὸν θεῖον ἔρωτα.

7 Ἐκ φυλῆς Συμεὼν, δώδεκα χιλιάδες.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Συμεών, ὑπακοή· δηλαδή, οἱ δι' ὑπακοῆς τῶν θείων ἐντολῶν δικαιούμενοι.

Ἐκ φυλῆς Λευί, δώδεκα χιλιάδες.

Λευΐ, προσειλημμένος· δι' οὗ νοοῦνται οἱ διὰ πολιτείας ἱεροπρεποῦς ὑπὸ Χριστοῦ προσειλημμένοι. Ὄγδοος δὲ Λευΐ τέτακται, ὡς κατὰ τὴν ὀγδόην ἡμέραν τῆς ἀναστάσεως τῆς ἀληθοῦς ἱερωσύνης ἀναδεικνυμένης.

Ἐκ φυλῆς Ἰσάχαρ, δώδεκα χιλιάδες.

Ἰσάχαρ, μισθός· τουτέστιν, οἱ τὸν ἐκ θεοῦ μισθὸν λαμβάνοντες, ὡς ἐναρέτως πολιτευόμενοι.

8 Ἐκ φυλῆς Ζαβουλών, δώδεκα χιλιάδες.

Ζαβουλών, κατοικητήριον δυνάμεως, ἢ εὐωδία· δι' οὗ νοοῦνται οἱ τῇ ἐνοικήσει [τοῦ] Χριστοῦ κατὰ τῶν παθῶν δυναμωθέντες, καὶ εὐωδία αὐτοῦ, [ὥς φησιν ὁ Παῦλος], γινόμενοι (α).

Ἐκ φυλῆς Ἰωσήφ, δώδεκα χιλιάδες.

Ἰωσήφ, πρόσθεσις· τουτέστιν, οἱ ἐν προσθήκης μέρει σὺν τῇ βασιλείᾳ τῶν οὐρανῶν τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα λαμβάνοντες, ὥς φησιν ὁ Κύριος.

Ἐκ φυλῆς Βενιαμίν, δώδεκα χιλιάδες ἐσφραγισμένοι.

Βενιαμίν, υἱὸς ὀδύνης· ἢ υἱὸς ἡμέρας· ἢ υἱὸς δεξιᾶς· δηλαδή, οἱ διὰ καρδιακῶν ὀδυνῶν, εἴτε οἱ τότε ἐξ Ἑβραίων πιστοὶ καὶ διαπεφευγότες τὴν [τῶν] Ῥωμαίων αἰχμαλωσίαν, τὸν ἀριθμὸν τοῦτον ἀναπληροῦντες· εἴτε, ὃ καὶ μᾶλλον πιστότερον, οἱ ἐπὶ συντελείᾳ ἐξ Ἰουδαίων [διὰ πίστεως] σωζόμενοι, ὅτε, καθώς φησιν ὁ ἀπόστολος, μετὰ τὸ εἰσελθεῖν τὸ πλήρωμα τῶν ἐθνῶν, πᾶς Ἰσραὴλ σωθήσεται (β). Οὐδέτερον ἀπαράδεκτον. Ἡ μέντοι

(α) Β' Κορ. Β', 15. (β) Ρωμ. ΙΑ', 25.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀκρίβεια τῆς ἐξ ἑκάστης φυλῆς ἰσότητος, ἐμφαίνειν μοι δοκεῖ τὸν πολυπλασιασμὸν τοῦ ἀποστολικοῦ σπόρου, δωδεκάκις δώδεκα πολυπλασιαζομένου ἐπὶ τὸν τέλειον τῆς χιλιάδος ἀριθμόν, καὶ οὕτω τὰς ῥηθείσας χιλιάδας ἀποτελοῦντος. Μαθηταὶ γὰρ ἦσαν τοῦ κόκκου τοῦ εἰς τὴν γῆν διὰ φιλανθρωπίαν πεσόντος, καὶ πολύφορον τῆς παγκοσμίου σωτηρίας τὸν καρπὸν ἐλαστήσαντος. Ἐπισημαντέον δὲ τοῦτο· ὅτι ἡ φυλὴ τοῦ Δὰν, ὡς ἐξ αὐτῆς τικτομένου τοῦ Ἀντιχρίστου, ταῖς λοιπαῖς οὐ συντέτακται· ἀλλ' ἀντ' αὐτῆς ἡ τοῦ Λευὶ, ὡς ἱερατικὴ πάλαι εἰς ἀριθμὸν μὴ ἐρχομένη. Ἐκ δὲ τῆς τῶν ὀνομάτων ἑρμηνείας ἔστι τινὰ τῶν φυλῶν ἑκάστῃ προσαρμόσαι διάνοιαν, ὡς ἐν τοῖς πλησίοις παρατίθεται. Τὸν δὲ Ἰωσὴφ ἀντὶ τοῦ Ἐφραὶμ, τοῦ υἱοῦ αὐτοῦ, τέθεικεν. Ἁρμόδιος δὲ τούτοις ὁ λεχθεὶς ἀριθμὸς [τέθειται,] ὡς εἴρηται, διά τε τοὺς δώδεκα ἀρχαίους τῶν Ἑβραίων πατριάρχας καὶ τῶν φυλῶν ἄρχοντας, διά τε τοὺς ἀντ' αὐτῶν καταστάντας ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν θεσπεσίους ἀποστόλους, ὡς γέγραπται· δι' ὧν οἱ ἐν τῇ διασπορᾷ τῆς γῆς Ἰουδαῖοι [ἐπ' ἐσχάτων] σώζονται.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τοῦ ἀναριθμήτου ὄχλου τῶν ἐξ ἐθνῶν λαμπροφορούντων.

9 Μετὰ ταῦτα εἶδον· καὶ, ἰδοὺ, ὄχλος πολὺς, ὃν ἀριθμῆσαι οὐδεὶς ἠδύνατο, ἐκ παντὸς ἔθνους καὶ λαῶν, καὶ φυλῶν, καὶ γλωσσῶν, ἑστῶτες ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τοῦ ἀρνίου,, περιβεβλημένοι στολὰς λευκάς· καὶ φοίνικες ἐν ταῖς χερσὶν αὐτῶν·
10 καὶ κράζοντες φωνῇ μεγάλῃ, καὶ λέγοντες· Ἡ σωτηρία τῷ θεῷ ἡμῶν τῷ καθημένῳ ἐπὶ τῷ θρόνῳ, καὶ τῷ ἀρνίῳ·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὗτοί εἰσι, περὶ ὧν φησιν ὁ Δαυίδ· *Ἐξαριθμήσομαι αὐτοὺς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται* (α)· οἵ τε πάλαι ὑπὲρ Χριστοῦ μαρτυρικῶς διηγωνισμένοι, οἵ τε ἐπ' ἐσχάτων ἀνδρικῶς ἀθλήσαντες ἐκ πάσης φυλῆς καὶ γλώσσης, [καὶ] τῇ ἐκχύσει τοῦ ἰδίου διὰ Χριστὸν αἵματος τὰς στολὰς τῶν οἰκείων πράξεων λευκάναντες, καὶ λευκαίνειν μέλλοντες, καὶ τοὺς τῆς νίκης χαρακτηριστικοὺς κλάδους τῶν εὐχρήστων καὶ ὀρθοτάτων καὶ λευκῶν τῶν καρδιῶν φοινίκων ἐν ταῖς χερσὶν ἔχοντες, καὶ περὶ τὸν θεῖον θρόνον τῆς θεαρχικῆς ἀναπαύσεως χορεύοντες, καὶ ὡς εὐγνώμονες οἰκέται τῷ χορηγῷ τὴν κατα [τῶν] δαιμόνων νίκην ἐπιγράφοντες.

11 Καὶ πάντες οἱ ἄγγελοι εἱστήκεισαν κύκλῳ τοῦ θρόνου, καὶ τῶν πρεσβυτέρων, καὶ τῶν τεσσάρων ζώων· καὶ ἔπεσον ἐνώπιον τοῦ θρόνου ἐπὶ πρόσωπον αὐ-
12 τῶν· καὶ προσεκύνησαν τῷ θεῷ, λέγοντες· Ἀμήν· ἡ εὐλογία, καὶ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ εὐχαριστία, καὶ ἡ σοφία, καὶ ἡ δύναμις, καὶ ἡ ἰσχὺς τῷ θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. [Ἀμήν.]

Ἰδοὺ μία ἐκκλησία ἀγγέλων καὶ ἀνθρώπων· καὶ οἱ πάλαι τοῖς εἰσαγγέλοις ἀνθρώποις καταπληκτικοὶ φαινόμενοι, καθὼς διὰ τοῦ Δανιὴλ ἔγνωμεν (β), τότε συλλειτουργοὶ ἀνθρώποις γενήσονται· εἴτε, κατά τινας τῶν ἁγίων, ἐν τοῖς οἰκείοις σώμασι διὰ τὴν ἐν τόπῳ περιγραφὴν αὐτοῖς ἐμφανιζόμενοι· εἴτε, καθ' ἑτέρους, ὡς τὸ τριχῇ διάστατον ἐν μήκει καὶ πλάτει καὶ βάθει μὴ ἔχοντες· ὅπερ σωμάτων ἴδιον· οὐκ ἐν τῇ οἰκείᾳ φύσει φαινόμενοι, ἀλλὰ κατὰ τὸ δοκοῦν τῷ θεῷ τυπούμενοι καὶ σχηματιζόμενοι. Κύκλῳ μέντοι τῶν χερουβὶμ καὶ τῶν πρεσβυτέρων ἑστῶτες, ἐμφαίνουσι διὰ τῆς στάσεως τὸ τῆς τιμῆς μέγεθος· ἢ δοξάζονται οἱ [διὰ] τοῦ ἀριθμοῦ τῶν πρεσβυτέρων δηλούμενοι· ὑφ' ὧν πάντων ἡ εὐχαριστία τῷ θεῷ ἐπὶ ταῖς θεσ-

(α) Ψαλμ. ΡΜΗ', 18. (β) Δαν. Η', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρεπέσιν αὐτοῦ εἰς τὴν σύμπασαν κτίσιν οἰκονομίαις ὑπὲρ ἡμῶν ἀναπεμφθήσεται.

13 Καὶ ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυτέρων, λέγων μοι· Οὗτοι οἱ περιβεβλημένοι τὰς στολὰς τὰς λευκάς,
14 τίνες εἰσί; καὶ πόθεν ἦλθον; Καὶ εἴρηκα αὐτῷ· Κύριέ μου· σὺ οἶδας.

Διεγείρει διὰ τῆς πεύσεως τὸν μακάριον ὁ ὀφθεὶς πρὸς τὴν τῶν ὁραθέντων ἔρευναν· ὁ δὲ, τὴν ἄγνοιαν εὐγνωμόνως προβαλλόμενος, παρὰ τοῦ ὀφθέντος σοφίζεται.

Καὶ εἶπέ μοι· Οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλίψεως τῆς μεγάλης, καὶ ἔπλυναν τὰς στολὰς αὐτῶν· καὶ ἐλεύκανον αὐτὰς ἐν τῷ αἵματι τοῦ ἀρνίου.
15 Καὶ διὰ τοῦτό εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ, καὶ λατρεύουσιν αὐτῷ ἡμέρας καὶ νυκτός ἐν τῷ ναῷ αὐτοῦ· καὶ ὁ καθήμενος ἐπὶ τοῦ θρόνου, σκηνώσει ἐπ' αὐτούς.

Μακάριοι οἱ διὰ προσκαίρων πόνων αἰώνιον ἀνάπαυσιν καρπούμενοι, καὶ, διὰ τοῦ συμπάσχειν Χριστῷ, τούτῳ συμβασιλεύοντες, καὶ διηνεκῶς αὐτῷ λατρεύοντες. Τὸ γὰρ, *ἡμέρας καὶ νυκτὸς*, ἐνταῦθα δηλοῖ τὸ ἀκατάπαυστον. Ἐκεῖ γὰρ νὺξ οὐκ ἔσται· ἀλλ' ἡμέρα μία ἀντὶ [τοῦ] αἰσθητοῦ ἡλίου τῷ [νοητῷ] τῆς δικαιοσύνης ἡλίῳ καταλαμπομένη. Ἴσως δὲ *νὺξ* νοεῖται καὶ τὰ ἀπόκρυφα καὶ βαθέα τῆς γνώσεως μυστήρια· *ἡμέρα* δὲ, τὰ σαφῆ τε καὶ εὔληπτα. Ναὸς δὲ τούτου, πᾶσα μὲν ἡ ἀνακαινιζομένη κτίσις διὰ τοῦ πνεύματος· μάλιστα δὲ οἱ τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος σῶον καὶ ἄσβεστον φυλάξαντες· οἷς ἐνοικήσειν καὶ ἐμπεριπατήσειν ἐπήγγελται (α).

16 Οὐ πεινάσουσιν ἔτι, οὐδὲ διψήσουσιν ἔτι·

Εἰκότως· τὸν γὰρ ἄρτον τὸν οὐράνιον καὶ τὸ ὕδωρ τῆς ζωῆς ἕξουσι.

(α) Β' Κορ. ς', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐδ' οὐ μὴ πέσῃ ἐπ' αὐτοὺς [ὁ] ἥλιος, οὐδὲ πᾶν καῦμα.

Καὶ ὑπὸ πειρασμῶν ἔτι, τῶν διὰ τοῦ *ἡλίου*, καὶ τοῦ *καύσωνος* σημαινομένων, οὐκ ὀδυνηθήσονται, τοῦ καιροῦ τῶν ἀγώνων παρωχηκότος.

17 Ὅτι τὸ ἀρνίον τὸ ἀνὰ μέσον τοῦ θρόνου, ποιμανεῖ αὐτοὺς, καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζώσας πηγὰς ὑδάτων· [καὶ ἐξαλείψει ὁ θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.]

Τὸ δὲ, *Ποιμανεῖ αὐτοὺς*, δηλοῖ, ὅτι οἱ ὑπὸ τοῦ Χριστοῦ τότε ποιμαινόμενοι, ἐπιδρομὰς λύκων οὐ φοβηθήσονται, ἅτε πεμπομένων [τῶν λύκων] εἰς τὸ πῦρ τὸ ἄσβεστον· ἀλλ' ἐπὶ τὰς καθαρὰς καὶ πρανωτάτας τῶν θείων νοήσεων *πηγὰς* ἀύλως ποιμανθήσονται, δηλουμένας διὰ τοῦ *ὕδατος*, τοῦ καὶ ἤδη τὴν ἄφθονον χύσιν τοῦ [θείου] πνεύματος χαρακτηρίσαντος· εἰρηκότος τοῦ Κυρίου περὶ τοῦ εἰλικρινῶς εἰς αὐτὸν πιστεύοντος, ὅτι *ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος* (α), ᾧ οἱ ἅγιοι τότε δαψιλῶς ποτιζόμενοι, ἐν ἀγαλλιάσει καὶ εὐφροσύνῃ ἀπεράντως ἔσονται, τῆς μερικῆς γνώσεως καταργουμένης (β), τὴν τελείαν κτώμενοι, καὶ τὴν τροπὴν μετὰ τῆς φθορᾶς ἀπεκδυόμενοι.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Λύσις τῆς ἑβδόμης σφραγῖδος, δηλοῦσα ἀγγελικὰς δυνάμεις προσάγειν τῷ θεῷ τὰς τῶν ἁγίων προσευχὰς, ὡς θυμιάματα.

ΚΕΦ. VIII, 1 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἑβδό-
2 μην, ἐγένετο σιγὴ ἐν τῷ οὐρανῷ ὡσεὶ ἡμιώριον. Καὶ

(α) Ἰωαν. Ζ', 38. (β) Α' Κορ. ΙΓ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶδον τοὺς ἑπτὰ ἀγγέλους, οἱ ἐνώπιον [τοῦ θρόνου] τοῦ θεοῦ ἑστήκασι· καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγγες.

Συχνῶς ὁ ἀριθμὸς τῶν *ἑπτὰ ἀγγέλων* τῷ ἁγίῳ τούτῳ παραλαμβάνεται, ὡς τῷ αἰῶνι τούτῳ καὶ τῷ σαββατισμῷ καὶ τῇ ἀναπαύσει τῶν ἁγίων σύστοιχος. Διὸ κἀνταῦθα ἐπὶ τῇ λύσει τῆς ἑβδόμης σφραγῖδος, ἡ λύσις τῆς γηΐνης πολιτείας διασημαίνεται, *ἑπτὰ ἀγγέλων* διακονούντων ταῖς κατὰ τῶν παιδείας ἢ κολάσεως δεομένων ἀνθρώπων μάστιξιν. Ἡ δὲ *σιγὴ* δηλοῖ τήν τε ἀγγελικὴν εὐταξίαν καὶ εὐλάβειαν, τό τε περὶ τῆς δευτέρας παρουσίας ἄγνωστον. Τὸ δὲ, *ἡμιώριον*, τὸ τοῦ καιροῦ ἐμφαίνει βραχύ· ἐν ᾧ, τῶν πληγῶν ἐπαγομένων, καὶ τῶν ἐπὶ γῆς συντελουμένων, ἡ τοῦ Χριστοῦ βασιλεία φανήσεται.

3 Καὶ ἄλλος ἄγγελος ἦλθε, καὶ ἐστάθη ἐπὶ τοῦ θυσιαστηρίου, ἔχων λιβανωτὸν χρυσοῦν·

Εἰ καὶ σχηματίζονται εἰς ὕλας καὶ χρώματα τὰ τοῖς ἁγίοις ὁρώμενα, εἴτε θυσιαστήριον, εἴτε θυμιατήριον, εἴτε ἕτερόν τι, ἀλλ' ἀόρατα καὶ νοητὰ τυγχάνουσιν. Ἐπὶ τοιούτου τοίνυν θυσιαστηρίου στὰς ὁ ἄγγελος, καὶ τὸν *λιβανωτὸν*, δηλαδὴ τὸ τὸν λίβανον δεχόμενον θυμιατήριον, κρατῶν, τὰς εὐχὰς τῶν ἁγίων ὡς θυμιάματα τῷ θεῷ προσέφερε· δι' ὧν ᾐτοῦντο διὰ τῆς παγκοσμίου συντελείας, ταῖς μὲν τιμωρητικαῖς μάστιξι τῶν δυσσεβῶν καὶ παρανόμων ἐλαττῶσαι τὴν ἐν τῷ μέλλοντι [αἰῶνι] κόλασιν· τῇ δὲ οἰκείᾳ παρουσίᾳ τοὺς μισθοὺς κατανεῖμαι τοῖς κοπιάσασι, καὶ τοῦτο ἐκ τῶν ἑξῆς δείκνυται.

Καὶ ἐδόθη αὐτῷ θυμιάματα πολλὰ, ἵνα δώσῃ ταῖς προσευχαῖς τῶν ἁγίων πάντων ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν τὸ ἐνώπιον τοῦ θρόνου.

Θυσιαστήριον δὲ *χρυσοῦν*, ὁ Χριστός ἐστιν· ἐν ᾧ πᾶσα λειτουργικὴ καὶ ἁγία συνέστηκε δύναμις, καὶ αἱ μαρτυρικαὶ θυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σίαι προτκομίζονται· οὗ ἦν τύπος τὸ δειχθὲν ἐν τῷ ὄρει τῷ Μωσῇ σὺν τῇ σκηνῇ θυσιαστήριον. Τὰ δὲ *θυμιάματα*, αἱ προσευχαὶ τῶν ἁγίων, ὡς εὐώδεις τῷ Θεῷ, καλὰ λέλεκται. Τὸ δὲ θυσιαστήριον, ὅπερ τὸν Χριστὸν εἶναι εἰρήκαμεν, *ἐνώπιον τοῦ θρόνου*, δηλαδὴ τῶν ὑπερτάτων [ἁγίων] δυνάμεων, διὰ τὴν χύσιν τῆς ἐν αὐταῖς ἐμπύρου θείας ἀγάπης, καὶ τῆς ἀκραιφνοῦς σοφίας τε καὶ γνώσεως, ὅπερ ἐμφαίνει ἡ ἑρμηνεία τῶν ὀνομάτων τῶν τῷ Θεῷ πλησιαζουσῶν ὑπερτάτων δυνάμεων.

4 Καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς προσευ-
χαῖς τῶν ἁγίων ἐκ χειρὸς τοῦ ἀγγέλου ἐνώπιον τοῦ
5 Θεοῦ. Καὶ εἴληφεν ὁ ἄγγελος τὸν λιβανωτὸν, καὶ ἐγέμισεν αὐτὸν ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου, καὶ ἔβαλεν εἰς τὴν γῆν.

Αἱ διακονηθεῖσαι δι' ἀγγέλου τῶν ἁγίων προσευχαὶ προσδεχθεῖσαι, καὶ τοῦ τιμωρητικοῦ πυρὸς τὸν λιβανωτὸν πληρώσαι, ἐπὶ τὴν γῆν ἐκχυθῆναι πεποιήκασιν· ὥσπερ πάλαι τῷ Ἰεζεκιὴλ ἐφάνη ἐξ ἑνὸς τῶν Χερουβὶμ ἐκ τοῦ τοιούτου πυρὸς ληφθὲν τοῖς ἀγγέλοις δίδοσθαι, τοῖς πεμφθεῖσιν εἰς τὸν τῶν οἰκητόρων τῆς Ἱερουσαλὴμ τῶν δυσσεβεστέρων ἐκκοπήν. Τοῦ δὲ ἀγγέλου τούτου τύπον ἐπέχει ἕκαστος ἱεράρχης, ὡς μεσίτης θεοῦ καὶ ἀνθρώπων· καὶ τῶν μὲν, τὰς κλήσεις ἀνάγων· τῶν δὲ, τὸν ἱλασμὸν κατάγων· τοὺς δὲ τῶν ἁμαρτανόντων ἐπιστρέφων ἢ λόγῳ ἢ παιδείαις αὐστηροτέραις.

Καὶ ἐγένοντο φωναὶ, καὶ βρονταὶ, καὶ ἀστραπαὶ, καὶ
6 σεισμός. Καὶ οἱ ἑπτὰ ἄγγελοι, οἱ ἔχοντες τὰς ἑπτὰ σάλπιγγας, ἡτοίμασαν ἑαυτοὺς, ἵνα σαλπίσωσι.

Διὰ τούτων πάντων τὰ πρὸ τῆς συντελείας χαρακτηρίζονται φόβητρα, καθάπερ ἐν τῷ Σινᾷ ὄρει θείας παρουσίας ἐγνωρίζοντο σύμβολα (α), πάντας καταπλήττοντα, καὶ πρὸς ἐπιστροφὴν

(α) Ἐξοδ. ΙΘ', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς εὐγνωμονεστέρους ἐνάγοντα. Ἄγγελοι δὲ τούτοις διακονοῦσιν, ὡς ἰατροὶ συμπαθεῖς, χριστομιμήτως, καυτῆρσι καὶ τομαῖς τοὺς τὴν δεινοτάτην τῆς ἁμαρτίας νόσον ἀσθενοῦντας θεραπεύοντες· ἢ, τό γε μετριώτερον, τοῖς ῥᾳθυμοτέροις τὴν μέλλουσαν ἐπικουφίζοντες κόλασιν, εἰ ὁπωσοῦν εὐχαρίστως ἐνέγκωσιν. Ἡμᾶς δέ, τοὺς τῷ τιμίῳ [τοῦ] Χριστοῦ ἐσφραγισμένους ὀνόματι, καὶ τὴν δόξαν τῶν ἁγίων ἐπιποθοῦντας, καὶ τοῖς ἐνταῦθα ἀλγεινοῖς τὴν τῶν μελλόντων πόνων φυγὴν εὐχομένους, παιδεύων ὁ φιλάνθρωπος Κύριος, τῷ τῆς ἁμαρτίας θανάτῳ μὴ παραδώσοι, καθὼς γέγραπται· ἀλλὰ πραΰνοι ἡμῖν τὰς πονηρὰς ἡμέρας τῶν αἰωνίων κολάσεων, ὅταν ὀργῇ βάθρος τῷ τῆς ἁμαρτίας εὑρετῇ ὁ ἀφεγγὴς τῆς γεέννης χῶρος καὶ βαθύτατος· ὅπως, ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία, τοῖς ἁγίοις συναυλιζόμενοι, σὺν αὐτῷ τῷ σωτῆρι Χριστῷ, τῷ θεῷ ἡμῶν, [ἐσόμεθα·] ᾧ πρέπει πᾶσα δοξολογία, τιμή τε καὶ προσκύνησις, ἅμα τῷ Πατρὶ καὶ τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

ΛΟΓΟΣ Η'.

Περὶ τῶν ἑπτὰ ἀγγέλων, [ἐξ] ὧν τοῦ πρώτου σαλπίσαντος, χάλαζα καὶ πῦρ καὶ αἷμα ἐπὶ τῆς γῆς φέρεται.

7 Καὶ ὁ πρῶτος ἄγγελος ἐσάλπισε· καὶ ἐγένετο χάλαζα, καὶ πῦρ μεμιγμένον ἐν αἵματι· καὶ ἐβλήθη εἰς τὴν γῆν· καὶ τὸ τρίτον τῆς γῆς κατεκάη· καὶ τὸ τρίτον τῶν δένδρων κατεκάη· καὶ πᾶς χόρτος χλωρὸς κατεκάη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ταῦτά τισιν ἔδοξεν αἰνίττεσθαι τὴν ἐν γεέννῃ τῶν ἁμαρτωλῶν κόλασιν, πολυτρόπως διὰ τῶν αἰσθητῶν ὀδυνηρῶν τροπολογουμένην. Ἡμεῖς δὲ νομίζομεν διὰ τὸ μάλιστα οὐ τὴν τρίτην μοῖραν εἶναι τῶν κολαζομένων ἐν τῷ μέλλοντι [αἰῶνι] ἐκ τοῦ παντὸς τῶν ἀνθρώπων πληρώματος, ἀλλὰ τὴν πλείονα· (πλατεῖα γάρ, [φησὶν], ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν (α)·) τὰς πρὸ τῆς συντελείας μᾶλλον ταῦτα πληγὰς ἐμφαίνειν· καὶ τὴν μὲν *χάλαζαν* δηλοῦν τὸ οὐρανόθεν ἥκειν κατὰ δίκαιον κρίμα τὰς τοιαύτας μάστιγας· τὸ δὲ *πῦρ* σὺν τῷ *αἵματι*, τὰς ἐκ βαρβαρικῶν χειρῶν γινομένας πυρπολήσεις τε καὶ ἀνδροκτασίας ὀσημέραι· ὑφ' ὧν οὐκ ἔλαττον τοῦ τρίτου μέρους, [ὡς ὁρῶμεν], τῶν ἐν τῇ γῇ κτισμάτων καὶ κατὰ τὸ αἰσθητὸν ἀνήλωται· τοῦ πολέμου οὐ τοὺς ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὰ τῆς γῆς ἐκφόρια πάντα καταναλίσκοντος. Καὶ ὁ μακάριος δὲ Ἰωὴλ αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ πρὸ τῆς μεγάλης ἡμέρας εἰπὼν ἐλεύσεσθαι (β), τὴν ἡμετέραν κρατύνει περὶ τῶν ἐκτεθέντων ὑπόληψιν.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Περὶ τοῦ δευτέρου ἀγγέλου, καὶ τῆς ἀπωλείας τῶν ἐν θαλάσσῃ ἐμψύχων.

8 Καὶ ὁ δεύτερος ἄγγελος ἐσάλπισε, καὶ ὡς ὄρος μέγα πυρὶ καιόμενον ἐβλήθη εἰς τὴν θάλασσαν·
9 καὶ ἐγένετο τὸ τρίτον τῆς θαλάσσης, αἷμα· καὶ ἀπέθανε τὸ τρίτον τῶν κτισμάτων ἓν τῇ θαλάσσῃ, τὰ ἔχοντα ψυχάς· καὶ τὸ τρίτον τῶν πλοίων διεφθάρη.

Καὶ τὴν *θάλασσαν*, κατὰ τὸ δόξαν τισὶ, σὺν τοῖς ἐν αὐτῇ τῷ καθαρσίῳ πυρὶ καιομένην μετὰ τὴν ἀνάστασιν διὰ τούτων δη-

(α) Ματθ. Ζ', 13. (β) Ἰωὴλ Β', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λοῦσθαι ἐνομίζομεν, εἰ μὴ ἡ τοῦ τρίτου μνήμη ἀνάρμοστος ἡμῖν πρὸς τοῦτο κατεφαίνετο· πλείονες γὰρ, [ὡς εἴρηται], τῶν σωζομένων οἱ κολαζόμενοι. Κατὰ μέντοι ἀναγωγὴν οὐδὲν ἀπεικὸς τὸν παρόντα βίον, τροπικῶς ὠνομασμένον *θάλασσαν*, ταῦτα ὑφίστασθαι, καὶ τῶν ἐν αὐτῇ τὸ τρίτον ταῖς πληγαῖς συντελεῖσθαι· διὰ δὲ τὴν τῶν θείων κριμάτων ἄβυσσον, [ἡ] τοὺς μὲν παρὰ πόδας κολάζει, τοῖς δὲ μακροθυμεῖ, πρὸς ἐπιστροφὴν καὶ μετάνοιαν [ἄγουσα.] *Ὄρος δὲ μέγα* ἡγούμεθα νοεῖσθαι τὸν διάβολον, ὡς καί τισι τῶν διδασκάλων ἔδοξε, [τῷ] πυρὶ τοῦ καθ' ἡμῶν θυμοῦ καιόμενον, [καὶ] τῇ γεέννῃ τηρηθησόμενον, ἐν τῷ καιρῷ [δὲ] τῆς αὐτοῦ συγχωρήσεως τὸ τρίτον τῶν ἐν θαλάσσῃ νήσων τε καὶ πλοίων καὶ νηκτῶν διαφθείροντα, ὥσπερ πάλαι ἐπὶ τοῦ Ἰὼβ πεποίηκεν· ἐχθρὸς γάρ ἐστι καὶ ἐκδικητὴς, κατὰ τὸ θεῖον δίκαιον κρίμα· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται (α). Εἰ δὲ καὶ τοῖς ἐν θαλάσσῃ τοῦ βίου δι' ἔργων ἢ λόγων τὴν Τριάδα βλασφημοῦσιν ὁ ψυχικὸς ἐπάγεται θάνατος, οὐδὲ τοῦ σκοποῦ ἀπεμφαῖνον.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ τοῦ τρίτου ἀγγέλου, καὶ τοῦ πικρασμοῦ τῶν ποταμίων ὑδάτων.

10 Καὶ ὁ τρίτος ἄγγελος ἐσάλπισε, καὶ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀστὴρ μέγας, καιόμενος ὡς λαμπάς· καὶ ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν ποταμῶν, καὶ ἐπὶ
11 τὰς πηγὰς τῶν ὑδάτων· καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται Ἄψινθος· καὶ ἐγένετο τὸ τρίτον τῶν ὑδάτων εἰς ἄψινθον· καὶ πολλοὶ τῶν ἀνθρώπων ἀπέθανον ἐκ τῶν ὑδάτων, ὅτι ἐπικράνθησαν.

(γ) Β' Πέτρ. Β', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὴν διὰ τοῦ *ἀψινθίου* δηλουμένην πικρίαν, τὴν τοῖς κολαζομένοις ἐν γεέννῃ ἁμαρτωλοῖς ἐγγινομένην ὀδύνην φασί τινες αἰνίττεσθαι· οὓς διὰ τὸ πλῆθος εἰκὸς καλεῖσθαι *ὕδατα*. Ἡγούμεθα δὲ καὶ διὰ τούτων τὰ κατὰ τὸν δηλωθέντα καιρὸν ἀλγεινὰ σημαίνεσθαι. Τὸν δὲ *ἀστέρα* δηλοῦν, ἢ οὐρανόθεν ταῦτα τοῖς ἀνθρώποις ἐπέρχεσθαι· ἢ τὸν διάβολον διὰ τούτου σημαίνεσθαι· περὶ οὗ φησιν [ὁ] Ἡσαΐας· *Πῶς ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωὶ ἀνατέλλων* (α); Οὗτος γὰρ ἀνατροπὴν θολερὰν καὶ πικρὰν δι' ἡδονῆς ποτίζων τοὺς ἀνθρώπους, καὶ διὰ ταύτην συγχωρούμενος τὰς τιμωρητικὰς αὐτοῖς ἐπάγειν ἐνταῦθα μάστιγας, οὐ πᾶσι, τῷ δὲ τρίτῳ μέρει, διὰ τὴν τοῦ θεοῦ μακροθυμίαν, καὶ τὸ μὴ ἀπιστεῖσθαι τὴν ἐν τῷ μέλλοντι [αἰῶνι] ἀνταπόδοσιν, τοῖς ἀνυπομονήτοις θανάτου ψυχικοῦ καθίσταται αἴτιος· ὅτι γὰρ πικρὰ συμβήσεται τοῖς πρὸ τῆς συντελείας εὑρισκομένοις, ὧν τὰ ὀρώμενα πρόδρομα, μᾶλλον δὲ προοίμια, προλαβὼν ὁ Κύριος ἐπιστώσατο. Δέον ταίνυν μὴ βουλομένους κρίνεσθαι, ἡμᾶς αὐτοὺς ἀνακρίνειν, κατὰ τὸν [θεῖον] Ἀπόστολον (β)· *Εἰ γὰρ ἑαυτοὺς*, φησίν, *ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα*· κρινομένους δὲ ὑπὸ [τοῦ] Κυρίου παιδεύεσθαι καὶ εὐχαρίστως τὰς ἐπαγωγὰς τῶν ἀλγεινῶν δέχεσθαι· ὡς ὁρῶμεν τοὺς εὐγνώμονας τῶν ἀσθενῶν τῷ σώματι, μεθ' ὑπομονῆς τὰς ἐκ τῶν ἰατρῶν τομὰς καὶ τοὺς καυτῆρας φέροντας, ἐπιθυμίᾳ τῆς ἰάσεως· ἵνα καὶ ἡμεῖς, ψυχικῶς ὑγιαίνοντες, καὶ μηδεμίαν ὕλην πρὸς τροφὴν τῇ γεέννῃ τοῦ πυρὸς ἐπιφερόμενοι, μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν, ἀλλὰ τῷ Χριστῷ αἰωνίως συμβασιλεύσωμεν. Ὧ πρέπει [πᾶσα] δόξα, τιμὴ καὶ προσκύνησις, [μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια,] ἅμα τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(α) Ἡσ. ΙΔ', 12 (β) Α' Κορ. ΙΑ', 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

ΛΟΓΟΣ Θ'.

Περὶ τοῦ τετάρτου ἀγγέλου, καὶ τοῦ σκοτισμοῦ τῶν φωστήρων.

12 Καὶ ὁ τέταρτος ἄγγελος ἐσάλπισε· καὶ ἐπλήγη τὸ τρίτον τοῦ ἡλίου, καὶ τὸ τρίτον τῆς σελήνης, καὶ τὸ τρίτον τῶν ἀστέρων· ἵνα σκοτισθῇ τὸ τρίτον αὐτῶν, καὶ ἡ ἡμέρα μὴ φαίνῃ [τὸ τρίτον αὐτῆς·] καὶ ἡ νὺξ ὁμοίως.

Ἡγούμεθα συγγενῆ καὶ ταῦτα τοῖς παρὰ τοῦ Ἰωὴλ εἰρημένοις περὶ ἡλίου καὶ σελήνης (α), τοῖς ἤδη προεκτεθεῖσι κατὰ τὴν δεσποτικὴν περὶ τῆς συντελείας ἀπόφασιν. Φαμὲν δὲ διὰ τοῦ *τρίτου τῶν φωστήρων τε καὶ ἀστέρων*, τὸ τρίτον τῆς ἡμέρας τε καὶ [τῆς] νυκτὸς δηλοῦσθαι διάστημα· ὡς ἂν γνοίημεν, ὅτι οὐδὲ τότε ἄκρατον ὁ θεὸς ἐπάγει τὴν κάκωσιν· ἀλλὰ τὸ τρίτον τοῦ χρονικοῦ διαστήματος συγχωρῶν τοὺς πεπληγότας ἀλγύνεσθαι, λελῃθότως τούτους παρακαλεῖ κατὰ τὸ πλεῖον μέρος τὸ λειπόμενον· τίς γὰρ οἶσει τὸ ποτήριον τῆς θείας ὀργῆς ἄκρατον;

13 Καὶ ἤκουσα ἑνὸς ἀγγέλου πετομένου ἐν μεσουρανήματι, λέγοντος φωνῇ μεγάλῃ· Οὐαί, οὐαί, οὐαὶ τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς, ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν τριῶν ἀγγέλων τῶν μελλόντων σαλπίζειν.

Καὶ διὰ τούτων τὸ συμπαθὲς καὶ φιλάνθρωπον τῶν θείων ἀγγέλων δείκνυται, θεομιμήτως οἰκτειρόντων παιδευομένους τοὺς πλημμελήσαντας· πολλῷ δὲ πλέον τοὺς μηδὲ ταῖς μάστιξι πρὸς ἐπιστροφὴν βλέποντας· οἷς [καὶ] μάλιστα τὸ *Οὐαὶ* ἁρμό-

(α) Ἰωὴλ Β', 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζει, ὡς ἐπὶ γῆς οἰκοῦσι, καὶ φρονοῦσι τὰ γήϊνα, καὶ χοῦν ἀντὶ τοῦ ἐκκενωθέντος μύρου δι' ἡμᾶς πνέουσι· τοῖς γὰρ ἐν οὐρανῷ ἔχουσι τὸ πολίτευμα, ἁφορμὴ τὰ δυσχερῆ στεφάνων ἀμαράντων καὶ βραβείων γίνονται.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Περὶ τοῦ πέμπτου ἀγγέλου, καὶ τῶν νοητῶν ἀκρίδων, καὶ τοῦ ποικίλου τῆς μορφῆς αὐτῶν.

ΚΕΦ. IX, 1 Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισε· καὶ εἶδον ἀστέρα ἐκ τοῦ οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν· καὶ
2 ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ φρέατος τῆς ἀβύσσου. Καὶ ἤνοιξε τὸ φρέαρ τῆς ἀβύσσου· καὶ ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος ὡς καπνὸς καμίνου μεγάλης· καὶ ἐσκοτίσθη ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ
3 φρέατος· καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν, καὶ ἐδόθη αὐταῖς ἐξουσία ὡς ἔχουσιν
4 ἐξουσίαν οἱ σκορπίοι τῆς γῆς. Καὶ ἐρρέθη αὐταῖς, ἵνα μὴ ἀδικήσωσι τὸν χόρτον τῆς γῆς, οὐδὲ πᾶν χλωρὸν, οὐδὲ πᾶν δένδρον· εἰ μὴ τοὺς ἀνθρώπους, οἵτινες οὐκ ἔχουσι τὴν σφραγῖδα [τοῦ θεοῦ] ἐπὶ
5 τῶν μετώπων [αὐτῶν.] Καὶ ἐδόθη αὐταῖς, ἵνα μὴ ἀποκτείνωσιν αὐτούς· ἀλλ' ἵνα βασανισθῶσι μῆνας πέντε· καὶ ὁ βασανισμὸς αὐτῶν ὡς βασανισμὸς σκορπίου, ὅταν παίσῃ ἄνθρωπον.

Ἀστέρα τινὲς ἔφησαν *ἐκ τοῦ οὐρανοῦ καταβάντα* ἐν τῇ γῇ, οἷον τῇ ὑπολειφθείσῃ κοιλάδι Ἰωσαφὰτ ἐν τῇ κρίσει, ἄγγελον θεῖον εἶναι ἐπὶ τῶν κολάσεων· *φρέαρ* δὲ *τῆς ἀβύσσου, τὴν γέενναν*· καὶ ἐξ αὐτῆς τὸν *καπνὸν* ἐξιόντα, ἀθέατον τοῖς κολαζομένοις τὸν ἥλιον καὶ τὸν ἀέρα ἀπεργάζε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθαι· *ἀκρίδας δὲ*, τοὺς σκώληκας, περὶ ὧν φησιν ὁ προφήτης· *Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει* (α). Τὸ δὲ μὴ τὴν γῆν ἢ τὸν χόρτον, ἀλλὰ τοὺς ἀνθρώπους βασανίζεσθαι, διὰ τὸ ἀπαλλάττεσθαι ταῦτα τῆς φθορᾶς, ἣ δι' ἡμᾶς δουλεύει σήμερον· *Μῆνας δὲ πέντε* τούτους βασανίζεσθαι, χρόνον τινὰ ὡρισμένον ἐπιτεταμένως τούτους κολάζεσθαί [φησι·] μετὰ δὲ τοῦτον, ὑφειμένως μέν, αἰωνίως δέ. Ἐγὼ δέ, τὸν μὲν *ἀστέρα* συνομολογῶ εἶναι θεῖον ἄγγελον. Τοῦτον δὲ κατὰ θείαν συγχώρησιν τοὺς καταδεδικασμένους [τῇ ἀξύσσῳ] πονηροὺς ἀνάγειν δαίμονας, οὓς ὁ Χριστὸς ἐνανθρωπήσας ἔδησεν, ὅπως πρὸ τῆς συντελείας τὰ οἰκεῖα ἐνεργήσαντες, ἀτελευτήτου τύχωσι κολάσεως· *καπνὸν* δὲ, τὸν προηγούμενον τῶν πονηρῶν ἔργων καὶ τῶν προσβολῶν αὐτῶν ζόφον· ὧν παραδειχθεισῶν ἐξουσία τούτοις βασανίζειν τοὺς ἀνθρώπους δέδοται. Ἡ δὲ τοῦ *ἡλίου* καὶ τοῦ *ἀέρος σκότωσις*, τὴν τῶν ἀπολαυόντων ἀνθρώπων τοῦ φωτὸς αὐτῆς δηλοῖ ψυχικὴν τύφλωσιν· ἢ τὴν ἐπὶ τοῖς δυσχερέσι διάθεσιν· σκότος γὰρ τοῖς ἐν ὀδύναις τὸ φῶς νενόμισται. Τὸ δὲ τὰς νοητὰς ἀκρίδας πλήττειν τοὺς ἀνθρώπους κατὰ τὴν τῶν σκορπίων ὁμοιότητα, δηλοῖ τὸ ἐν τῷ τέλει τῶν πονηρῶν πράξεων τὸν βλαπτικὸν τῆς ψυχῆς ἐγκεκρύφθαι θάνατον, ὃν ὑφίστανται οἱ μὴ σεσημειωμένοι τῇ θείᾳ σφραγῖδι τὰ μέτωπα, καὶ τῷ φωτισμῷ τοῦ ζωοποιοῦ σταυροῦ διὰ Πνεύματος ἁγίου [μὴ] περιλαμπόμενοι, ὥστε κατὰ τὸν δεσποτικὸν λόγον [μηδὲ] λάμπειν καὶ ἔμπροσθεν τῶν ἀνθρώπων τὸ φῶς αὐτῶν πρὸς δόξαν τοῦ θείου ὀνόματος (β). Τοὺς δὲ πέντε μῆνας τοῦ βασανισμοῦ αὐτῶν, σημαίνειν ἡγούμεθα, ἢ τὸ τοῦ χρόνου μικρόν· *εἰ γὰρ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σὰρξ*, κατὰ τὸ δεσποτικὸν λόγιον (γ)· ἢ χρόνον τινὰ πεμπταῖον, διὰ τὰς πέντε αἰσθήσεις, δι' ὧν ἡ ἁμαρτία τοῖς

(α) Ἡσ. ΞϚ', 24. (β) Ματθ. Ε', 16. (γ) Ματθ. ΚΔ', 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνθρώπους εἰσέρπει· ἢ καιρὸν ὡρισμένον, θεῷ δὲ μόνῳ γνώριμον.

6 Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ζητήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον, καὶ οὐ μὴ εὑρήσουσιν αὐτόν· καὶ ἐπιθυμήσουσιν ἀποθανεῖν, καὶ φεύξεται ὁ θάνατος ἀπ' αὐτῶν.

Καὶ διὰ τούτου ἡ ὑπερβολὴ σημαίνεται τῶν κακώσεων. Ἔθος γὰρ τοῖς ἐν ὀδύναις ἐπικαλεῖσθαι τὸν θάνατον. Τὸ δὲ τοῖς αἰτοῦσι τοῦτον ἐν ὀδύναις μὴ παραγίνεσθαι, τῶν θείων κριμάτων ἥρτηται· οἷς λυσιτελὲς κρίνεται, τῇ πικρίᾳ τῶν ὀδυνηρῶν ἐπιφορῶν στυγητὴν γίνεσθαι τοῖς ἀνθρώποις τὴν ἁμαρτίαν, ὡς τούτων μητέρα καὶ πρόξενον.

7 Καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων, ὅμοια ἵπποις ἡτοιμασμένοις εἰς πόλεμον· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν ὡς στέφανοι ὅμοιοι χρυσῷ, καὶ τὰ πρόσωπα αὐτῶν
8 ὡς πρόσωπα ἀνθρώπων. Καὶ εἶχον τρίχας ὡς τρίχας γυναικῶν· καὶ οἱ ὀδόντες αὐτῶν ὡς λεόντων ἦ-
9 σαν. Καὶ εἶχον θώρακας, ὡς θώρακας σιδηροῦς·

Διὰ πάντων τούτων καὶ τῶν ἑφεξῆς λεχθησομένων, τὰς ῥηθείσας ἀκρίδας τιμωρητικοὺς θείους ἀγγέλους τινὲς ἐξελάβοντο, παραβολικῶς ἐξ ἑκάστου τῶν εἰρημένων τροπολογουμένους, ἢ διὰ τὸ φοβερὸν καὶ καταπληκτικόν, ἢ διὰ τὸ ταχύ, ἢ διὰ τὸ κολαστικὸν τοῖς ἀξίοις ἐπάγον τὴν ἐν γεέννῃ κόλασιν. Οἶμαι δὲ καὶ διὰ τούτων τῶν ἀκρίδων τοὺς πονηροὺς μᾶλλον νοεῖσθαι δαίμονας, τοὺς ἡτοιμασμένους εἰς τὸν καθ' ἡμῶν πόλεμον, καὶ ἐπὶ τῶν κεφαλῶν στεφάνους χρυσοειδεῖς τῆς καθ' ἡμῶν νίκης φέροντας· οἷς ἡμεῖς, ὅταν ἡττηθῶμεν, τὴν κακὴν νίκην δι' ἡδονῆς νικῶντες, στεφανοῦσθαι νομίζομεν. Τὰς δὲ *τρίχας τῶν γυναικῶν* σημαίνειν τὸ ἡδυπαθὲς τῶν δαιμόνων, καὶ πρὸς πορνείαν διεγερτικόν· τοὺς δὲ *λεοντείους ὀδόντας*, τὸ φονικὸν καὶ ἰοβόλον· τοὺς δὲ *σιδηροῦς θώρακας*, τὸ σκληροκάρδιον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν ὡς φωνὴ ἁρμά-
10 των, ἵππων πολλῶν τρεχόντων εἰς πόλεμον. Καὶ
εἶχον οὐρὰς ὁμοίας σκορπίοις· καὶ κέντρα ἐν ταῖς
οὐραῖς αὐτῶν. Καὶ ἡ ἐξουσία αὐτῶν, ἀδικῆσαι τοὺς
11 ἀνθρώπους μῆνας πέντε. Καὶ εἶχον ἐπ' αὐτῶν βασι-
λέα τὸν ἄγγελον τῆς ἀβύσσου· ὄνομα αὐτῷ Ἑβραι-
στὶ Ἀβαδδών· ἐν δὲ τῇ Ἑλληνικῇ [ῥήσει] ὄνομα
12 ἔχει Ἀπολλύων. Ἡ οὐαὶ ἡ μία ἀπῆλθεν· ἰδοὺ ἔρχον-
ται [αἱ] δύο οὐαὶ μετὰ ταῦτα.

Τὴν δὲ φωνὴν τῶν πτερύγων τῶν νοητῶν ἀκρίδων, ἀπεικα-
σθῆναι φωνῇ ἁρμάτων πολεμικῶν νομίζομεν διὰ τὸ μετάρ-
σιον αὐτῶν καὶ ὀξύ· πολεμοῦσι γὰρ ἡμᾶς ἀπὸ ὕψους, ὥς φησι
Δαυὶδ ὁ μακάριος (α). Τὰς δὲ ὁμοιωθείσας τοῖς σκορπίοις οὐ-
ρὰς αὐτῶν, τὰ τῶν ἁμαρτιῶν τέλη [αἰνίττεσθαι] τίκτοντα ψυ-
χικὸν θάνατον· *ἡ γὰρ ἁμαρτία ἀποτελεσθεῖσα, ἀποκύει θά-
νατον* (β)· δι' ἧς ἡ πεντάμηνος βάσανος τοῖς ἀνθρώποις ἐπέρ-
χεται· διά τε τὸ τοῦ χρόνου ὀλίγον, τῷ μέλλοντι αἰῶνι συγ-
κρινόμενον, διά τε τὰς πέντε αἰσθήσεις, οὕτω παρ' ἡμῶν ἐκ-
ληφθείσας, ὡς γέγραπται. Τὸν δὲ τούτων βασιλέα τὸν διάβο-
λον νοεῖσθαι ἀκόλουθον, τὸν ἀληθῶς τοὺς αὐτῷ πειθομένους
ἀπολλύοντα· πρὸς ὃν ὅπως ἄσπονδον ἀναλάβωμεν πόλεμον,
ἀπειλεῖ ἡμῖν ἐλεύσεσθαι τὰς μετὰ ταῦτα δύο οὐαί.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ τοῦ ἕκτου ἀγγέλου, καὶ τῶν ἐπὶ τῷ Εὐφράτῃ λυομένων ἀγγέλων.

13 Καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισε· καὶ ἤκουσα φωνῆς
μιᾶς ἐκ τῶν τεσσάρων κεράτων τοῦ θυσιαστηρίου

(α) Ψαλμ. ΝΕ', 3. (β) Ἰακ. Α', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

14 τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ θεοῦ, λεγούσης τῷ
ἕκτῳ ἀγγέλῳ, ὁ ἔχων τὴν σάλπιγγα· Λῦσον τοὺς
τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ τῷ ποτα-
15 μῷ τῷ [μεγάλῳ] Εὐφράτῃ. Καὶ ἐλύθησαν οἱ τέσ-
σαρες ἄγγελοι οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν, καὶ
ἡμέραν, καὶ μῆνα, καὶ ἐνιαυτὸν, ἵνα ἀποκτείνωσι
16 τὸ τρίτον [μέρος] τῶν ἀνθρώπων. Καὶ ὁ ἀριθμὸς
τῶν στρατευμάτων τοῦ ἱππικοῦ, μυριάδες μυριά-
δων. Καὶ ἤκουσα τὸν ἀριθμὸν αὐτῶν.

Τούτους φασί τινες τοὺς τέσσαρας ἀγγέλους, Μιχαὴλ εἶναι, Γαβριὴλ, καὶ Οὐριὴλ, καὶ Ῥαφαὴλ, τοὺς προσδεδεμένους τῇ εὐφροσύνῃ τῆς [θείας] θεωρίας· ἀπολύεσθαι δὲ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως μετὰ ἀναριθμήτων ἀγγέλων εἰς τὴν τῶν ἀσεβῶν κατάκρισιν· δι' ὧν τὸ τρίτον ἀφανισθήσεται. Ἐγὼ δὲ καὶ τούτους οἶμαι πονηροτάτους εἶναι δαίμονας, δεθέντας ἐν τῇ Χριστοῦ παρουσίᾳ· οὓς κατὰ θεῖον πρόσταγμα ἐκ τοῦ ὑπερουρανίου θυσιαστηρίου ἐξερχομένους, οὗ ἦν τὸ ἐν τῇ παλαιᾷ σκηνῇ ἀντίτυπον, ὑπὸ θείου ἀγγέλου λύεσθαι, ὥστε ταράξαι τὰ ἔθνη, οὐ μόνον κατὰ Χριστιανῶν, ἀλλὰ καὶ κατ' ἀλλήλων· ὡς ἂν οἱ μὲν δόκιμοι καὶ πιστοὶ φανεροὶ γένωνται, καὶ μειζόνων ἀμοιβῶν καὶ τῶν ἄνω μονῶν, οἷον ἀποθηκῶν, ἄξιοι φανῶσιν, ὡς σῖτος ὥριμος· οἱ δὲ ἀχυρώδεις, ἀσεβεῖς, καὶ λίαν ἁμαρτωλοὶ καὶ ἀμετανόητοι, ἐνδίκως ἐνταῦθα [δι' αὐτῶν] κολαζόμενοι, ἡμερωτέρας τῆς καταδίκης ἐν τῇ κρίσει τύχωσιν. Εἰ δὲ τῷ Εὐφράτῃ προσδέδενται, οὐδὲν ξένον· οἱ μὲν γὰρ, εἰς τὴν ἄβυσσον· οἱ δὲ, εἰς τοὺς χοίρους (α)· οἱ δὲ, εἰς ἑτέρους τόπους, κατὰ τὸ παραστὰν τῷ θεῷ, ἄχρι καιροῦ κατεδικάσθησαν, μετὰ τὸν παντελῆ αὐτῶν κατ' ἀνθρώπων πόλεμον αἰωνίως κολασθησόμενοι. Ἴσως δὲ [καὶ] διὰ τῆς τοῦ Εὐφράτου μνήμης δηλοῦται, ἐκ τῶν μερῶν ἐκείνων ἐξιέναι τὸν Ἀντίχριστον. Περὶ δὲ τοῦ πλή-

(α) Ματθ. Η', 32.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θους τῶν δαιμόνων ἀμφιβάλλειν οὐ χρή· πάντες γὰρ οἱ ἅγιοι πεπληρῶσθαι αὐτῶν τὸν ἀέρα λέγουσι. Τί δὲ δηλοῖ τὸ τρίτον τῶν ἀποκτενομένων, καὶ ἤδη προειρήκαμεν.

17 Καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ ὁράσει, καὶ τοὺς καθημένους ἐπ' αὐτῶν, ἔχοντας θώρακας πυρίνους, καὶ ὑακινθίνους, καὶ θειώδεις· καὶ αἱ κεφαλαὶ τῶν ἵππων ὡς κεφαλαὶ λεόντων. Καὶ ἐκ τῶν στομάτων αὐτῶν ἐξεπορεύετο πῦρ καὶ καπνὸς καὶ
18 θεῖον. Ἀπὸ τῶν τριῶν πληγῶν τούτων ἀπεκτάνθη τὸ τρίτον τῶν ἀνθρώπων, ἀπὸ τοῦ πυρὸς, καὶ τοῦ καπνοῦ, καὶ τοῦ θείου, τῶν ἐκπορευομένων ἐκ τῶν
19 στομάτων αὐτῶν. Ἡ γὰρ ἐξουσία τῶν ἵππων ἐν τῷ στόματι αὐτῶν ἐστι καὶ ἐν ταῖς οὐραῖς αὐτῶν· αἱ γὰρ οὐραὶ αὐτῶν, ὅμοιαι ὄφεσιν, ἔχουσαι κεφαλὰς· καὶ ἐν αὐταῖς ἀδικοῦσι.

Ἵππους δὲ [δικαίως] οἶμαι λέγεσθαι, ἢ τοὺς θηλυμανεῖς καὶ κτηνώδεις ἀνθρώπους, ἢ τοὺς ὑποδεδηκότας καὶ ἀρχομένους ἐν τοῖς δαίμοσιν· *ἐπιβάτας* δὲ, τοὺς τούτων κατάρχοντας. Ἔθος γὰρ τούτοις, οὐ μόνον ἀλλήλοις ὑπηρέταις, ἀλλὰ καὶ πονηροῖς ἀνθρώποις ὀργάνοις πρὸς τὴν τῶν ὁμοφύλων ἀνθρώπων ἐπιβουλὴν κεχρῆσθαι. Τοὺς δὲ *πυρίνους*, καὶ *ὑακινθίνους*, καὶ *θειώδεις θώρακας*, τῆς ἀερίου τῶν πονηρῶν πνευμάτων οὐσίας καὶ τῆς καυστικῆς ἐνεργείας εἶναι σημαντικοὺς νομίζομεν· τὰς δὲ *κεφαλὰς τῶν λεόντων*, τὸ φανικὸν αὐτῶν καὶ θηριῶδες αἰνίττεσθαι· τὸ δὲ *ἐκπορευόμενον πῦρ* σὺν καπνῷ καὶ θείῳ ἐκ τοῦ στόματος αὐτῶν, δι' οὗ τὸ τρίτον τῶν ἀνθρώπων ἀποκτείνεσθαι ἠπείληται, ἢ τὰς διὰ τῶν ἰοβόλων [αὐτῶν] προσβολῶν καὶ εἰσηγήσεων ἁμαρτίας, τοὺς καρποὺς τῆς καρδίας φλογιζούσας, αἰνίττεται, ἢ τὰς ἐκ τῶν βαρβαρικῶν χειρῶν ἐπαγομένας ταῖς πόλεσι πυρπολήσεις καὶ αἱρατεκχυσίας κατὰ θείαν συγχώρησιν· δι' ὧν, [ὡς ὁρῶμεν], οὐχ ἧττον τοῦ τρίτου μέρους τῶν ἀνθρώπων ἠφάνισται. Καλῶς δὲ τὰς *οὐρὰς* αὐτῶν *ὁμοίας* φη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σὶν ὄφεσι [κεκτημένοις κεφαλάς·] τὰ γὰρ τέλη τῶν δαιμονικῶν ὑποσπορῶν, ἰοβόλος ἁμαρτία καὶ ψυχικὸς [ὑπάρχει] θάνατος.

20 Καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων, οἳ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς αὐτῶν, οὔτε μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν, ἵνα μὴ προσκυνήσωσι τὰ δαιμόνια, καὶ τὰ εἴδωλα τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ καὶ τὰ λίθινα καὶ τὰ ξύλινα, ἃ οὔ-
21 τε βλέπειν δύνανται, οὔτε ἀκούειν, οὔτε περιπατεῖν. Καὶ οὐ μετενόησαν ἐκ τῶν φόνων αὐτῶν, οὔτε ἐκ τῶν φαρμακειῶν αὐτῶν, οὔτε ἐκ τῆς πορνείας αὐτῶν, οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.

Καὶ τοῦτο τῶν προηγουμένων ἤρτηται. Εἰπὼν γὰρ ἀνωτέρω, ἀπὸ τῶν τριῶν [πληγῶν] τούτων ἀποκτανθῆναι τὸ τρίτον τῶν ἀνθρώπων, καὶ ἐν τῷ μεταξὺ παρενθείς τινα, ἐπήγαγε· *Καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων*, ὅσοι, φειδοῦς ἀξιωθέντες, καὶ ταῦτα μὴ πεπονθότες, ἀμετανόητοι μεμενήκασι, μήτε τῇ εἰδωλολατρείᾳ, μήτε τοῖς φόνοις καὶ ταῖς πορνείαις, καὶ τοῖς κλέμμασιν αὐτῶν καὶ ταῖς γοητείαις ἀποταξάμενοι, τοῖς αὐτοῖς ὑποκείσονται. Δηλοῦται καὶ ἐκ τούτων παγκόσμιον τὴν ὀργὴν ἐπάγεσθαι. Ποικίλη γὰρ πλάνη βακχεύει ἐπὶ τοῖς μὴ ἐπιγινώσκουσι τὴν ἀλήθειαν ἔθνεσι, [καὶ] τοῖς μὲν, εἰδώλα προσκυνοῦσι· τοῖς δὲ, τὴν κτίσιν ἀντὶ τοῦ κτίσαντος· καὶ τοῖς μὲν, τὸν θεὸν ὁμολογοῦσιν εἰδέναι, ἀρνουμένοις δὲ δι' ἔργων (α)· καὶ τὴν μὲν μόρφωσιν τῆς εὐσεβείας περικειμένοις, τὴν δὲ δύναμιν αὐτῆς ἀποβαλλομένοις (β)· καὶ τοῖς τῷ μαμμωνᾷ δουλεύουσι διὰ τῆς φιλαργυρίας, εἰδωλολατρείαν ἐγκαλεῖ ὁ [θεῖος] Ἀπόστολος, εἰπών· *Καὶ τὴν φιλαργυρίαν, ἥτις ἐστὶν εἰδωλολατρεία* (γ). Γένοιτο δὲ ἡμᾶς ἔργοις ἐπιδεικνυμένους τὸ εἰλικρινὲς καὶ γνήσιον τῆς εἰς θεὸν πίστεως, ἀνηκόους γενέσθαι

(α) Τιτ. Α', 16. (β) Β' Τιμ. Γ', 5. (γ) Κολοσ. Γ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς φοβερᾶς ἐκείνης φωνῆς τῆς [οὕτω] λεγούσης· *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς·* [καὶ τῆς ἑξῆς]· *Πορεύεσθε ἀπ' ἐμοῦ* [*οἱ*] *ἐργάται τῆς ἀνομίας* (α)· τῆς δὲ μακαρίας [μᾶλλον] ἀκοῦσαι καὶ εὐκταίας· *Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου* (β)· χάριτι [καὶ φιλανθρωπίᾳ] καὶ οἰκτιρμοῖς τοῦ δι' ἡμᾶς σταυρὸν ἑκουσίως ὑπομείναντος Χριστοῦ τοῦ θεοῦ ἡμῶν· μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ [καὶ ζωοποιῷ] Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

ΛΟΓΟΣ Ι'.

Περὶ τοῦ ἀγγέλου τοῦ περιβεβλημένου νεφέλην καὶ ἶριν, καὶ τὴν συντέλειαν προμηνύοντος.

ΚΕΦ. Χ, 1 Καὶ εἶδον [ἄλλον] ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, περιβεβλημένον νεφέλην, καὶ ἶρις ἐπὶ τῆς κεφαλῆς αὐτοῦ· καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος· καὶ οἱ πόδες αὐτοῦ ὡς στύλοι πυρός·

Τοῦτον ἅγιον ἄγγελον νοεῖσθαι ἥ τε νεφέλη καὶ ἡ ἶρις καὶ τὸ ἡλιοπρεπὲς φῶς ἐμφαίνουσι· διὰ τούτων γὰρ τὸ οὐράνιον καὶ ποικίλον ἐν ἀρεταῖς καὶ τὸ φωτεινὸν τῆς ἀγγελικῆς οὐσίας τε καὶ νοήσεως δείκνυται. Οἱ δὲ τοῦ *πυρὸς στύλοι*, τὸ φοβερὸν καὶ κολαστικὸν κατὰ τῶν ἀνοσιουργῶν σημαίνουσι, τῶν τε ἐν τῇ γῇ ληστευόντων, τῶν τε ἐν τῇ θαλάσσῃ πειρατευόντων. Διὸ

(α) Ματθ. Ζ', 23. (β) Ματθ. ΚΕ', 34.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῇ μὲν, τὸν *δεξιὸν*, τῇ δὲ τὸν *ἀριστερὸν πόδα* ἐπέθηκεν, ἵνα τῶν ἐν ἑκατέρᾳ παρανόμων τὴν δίκην αἰνίζηται.

2 Καὶ εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ βιβλαρίδιον ἠνεῳγμένον· καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τῆς
3 θαλάσσης· τὸν δὲ εὐώνυμον, ἐπὶ τῆς γῆς· καὶ ἔκραξε φωνῇ μεγάλῃ ὥσπερ λέων βρυχᾶται· καὶ ὅτε ἔκραξεν, ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν φωνάς.

Τὸ δὲ *βιβλαρίδιον*, ἅτε μικρὸν ὂν, καὶ [σφόδρα] ὑποκοριστικῶς λεχθὲν, τῶν σφόδρα πονηροτάτων τὰ ὀνόματα καὶ τὰς πράξεις περιέχειν μοι φαίνεται· οἷον τῶν ἐν γῇ ληστευόντων ἢ ἑτέρως ἀνοσιουργούντων, καὶ τῶν ἐν θαλάσσῃ πειρατευόντων· ὧν τὴν κόλασιν αἰνίττεται, τοὺς πυρίνους πόδας ἐκτείνων ἐπί τε τὴν γῆν, ἐπί τε τὴν θάλατταν ὁ ἄγγελος. Καὶ *ἡ φωνὴ* δὲ τοῦ ἀγγέλου, *βρυγμῷ λέοντος* ἀφομοιωθεῖσα, τὸ φοβερὸν καὶ ἀνύποιστον τῆς αὐτοῦ ἀπειλῆς ἐνδείκνυται. Καὶ μάρτυς Δανιὴλ, ὁ μηδὲ προσηνῆ, μήτιγε ἀπειλοῦντα δυνηθεὶς ἄγγελον ἀπόνως θεάσασθαι. Τὰς δὲ *ἑπτὰ βροντὰς* ἡγούμεθα, ἢ ἑπτὰ φωνὰς νοεῖσθαι, ἐξ ἑνὸς διαρθρουμένας ἀγγέλου, ἢ ἑπτὰ ἑτέρους ἁγίους ἀγγέλους, τὰ μέλλοντα προαγορεύοντας· ὡς ἐντεῦθεν δηλοῦσθαι, τοῦ προτέρου ἀγγέλου τούτους εἶναι δευτερεύοντας, καὶ ἐκεῖθεν τὴν ἀφορμὴν τοῦ προφητεύειν λαμβάνοντας, κατὰ τὴν τῷ μακαρίῳ Διονυσίῳ διωρισμένην ἀγγελικὴν εὐταξίαν.

4 Καὶ ὅτε ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ, ἔμελλον γράφειν· καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ λεγούσης· Σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ, καὶ μὴ ταῦτα γράψῃς.

Διὰ δὲ τοῦ *σφραγῖσαι* ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ, καὶ μὴ ταῦτα *γράψαι*, δείκνυται, ἄδηλα εἶναι νῦν τὰ δι' αὐτῆς τῆς πείρας καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως ἑρμηνευόμενα· ἐξ ὧν ἐκ τῆς οὐρανίου φωνῆς ὁ εὐαγγελιστὴς ἔμαθε· τῇ μὲν διανοίᾳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰς φωνὰς ἐνσημήνασθαι, τὴν δὲ τελείαν κατάληψιν καὶ [τὴν] τρανὴν τούτων διασάφησιν τοῖς τελευταίοις χρόνοις ταμιεύεσθαι. Ἐσφραγισμένους γὰρ καὶ ἐμπεφραγμένους τοὺς τοιούτους λόγους καὶ ὁ Δανιὴλ ἐδιδάσκετό [ποτε] (α).

5 Καὶ ὁ ἄγγελος, ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς, ἦρε τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν
6 εἰς τὸν οὐρανόν· καὶ ὤμοσεν ἐν τῷ ζῶντι [θεῷ] εἰς τοὺς αἰῶνας [τῶν αἰώνων,] ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ, Ὅτι χρόνος οὐκέτι ἔσται.

Θεὸς μὲν γὰρ, κατ' οὐδενὸς ἔχων [μείζονος] ὀμόσαι, καθ' ἑαυτοῦ ὄμνυσιν· ἄγγελοι δὲ, ὡς κτίσματα, κατὰ τοῦ κτίσαντος τὰ ὑπ' αὐτῶν λεγόμενα διὰ τὴν ἡμετέραν ἀπιστίαν ὀνύντες πιστοῦνται. Ὄμνυσι δὲ, χρόνον μηκέτι εἶναι, ἢ ἐν τῷ μέλλοντι [αἰῶνι,] ἐν ᾧ οὐ χρόνος ἐστὶν ἡλίῳ μετρούμενος, ἀλλὰ ζωὴ αἰώνιος, ἀριθμὸν χρονικὸν ὑπερβαίνουσα· ἢ χρόνος οὐκ ἔσται μακρὸς μετὰ τὰς ἓξ φωνὰς τοῦ ἀγγέλου, τοῦ τὰ προφητευθέντα πληρωθῆναι. Διὸ ἐπάγει·

7 Ἀλλ' ἐν ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγγέλου, ὅταν μέλλῃ σαλπίζειν, [καὶ] τελεσθῇ τὸ μυστήριον τοῦ θεοῦ, ὃ εὐηγγελίσατο τοῖς ἑαυτοῦ δούλοις τοῖς προφήταις.

Ἐκ τούτων γὰρ σημαίνειν οἶμαι, μετὰ τὴν ἓξ αἰώνων παραδρομὴν, ἐν ταῖς ἡμέραις τοῦ ἑβδόμου αἰῶνος, τοῦ διὰ τῆς ἑβδόμης σημαινομένου σάλπιγγος, τὰ ἐκ τῶν ἁγίων προφητῶν εἰρημένα, πρὸς τῇ συντελείᾳ συμβήσεσθαι. *Εὐαγγελισμὸς* δὲ, ἡ τούτων ἐκπλήρωσις, διὰ τὴν ἡτοιμασμένην τοῖς ἁγίοις ἀνάπαυσιν.

(α) Δαν. ΙΒ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Ὅπως τὸ βιβλαρίδιον ἐκ τοῦ ἀγγέλου ὁ εὐαγγελιστὴς εἴληφεν.

8 Καὶ ἡ φωνὴ, ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ, πάλιν λαλοῦσα μετ' ἐμοῦ, καὶ λέγουσα· Ὕπαγε, λάβε τὸ βιβλαρίδιον τὸ ἠνεῳγμένον ἐν τῇ χειρὶ τοῦ ἀγγέλου τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς.

Κἀνταῦθα ἄλλη τις ἀγγελικὴ ὑπερτέρα δύναμις τῷ εὐαγγελιστῇ ἐγκελεύεσθαι φαίνεται, διὰ τῆς βίβλου τὴν γνῶσιν τῶν χρησμῳδηθέντων ὑποδέξασθαι.

9 Καὶ ἀπῆλθον πρὸς τὸν ἄγγελον, λέγων αὐτῷ· Δός μοι τὸ βιβλαρίδιον. Καὶ λέγει μοι· Λάβε, καὶ κατάφαγε αὐτό· καὶ πικρανεῖ σου τὴν κοιλίαν· ἀλλ' ἐν τῷ στόματί σου ἔσται γλυκὺ ὡς μέλι.

Γλυκεῖα μέν σοί, φησιν, ἡ τῶν μελλόντων γνῶσις· πικρανεῖ δέ σου ὅμως τὴν κοιλίαν, δηλαδὴ τὴν καρδίαν, τὴν τῶν λογικῶν τροφῶν χωρητικὴν, τῇ συμπαθείᾳ τῶν τὰς θεηλάτους κατὰ τὸ θεῖον κρίμα δεχομένων μάστιγας. Νοεῖται δέ καὶ ἑτέρως· Ὅτι, ἐπείπερ ἅγιος ὢν, τῆς πείρας τῶν πονηρῶν πράξεων οὐκ ἐγεύσατο, διὰ τῆς τοῦ βιβλίου καταπόσεως, τοῦ τὰς πράξεις τῶν ἀνοσιουργῶν περιέχοντος, τὸ ἐν ἀρχαῖς τῆς ἁμαρτίας γλυκὺ, πικρὸν δὲ μετὰ τὴν πρᾶξιν διὰ τὴν ἀμοιβὴν διδάσκεται.

10 Καὶ ἔλαβον τὸ βιβλαρίδιον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου, καὶ κατέφαγον αὐτό· καὶ ἦν ἐν τῷ στόματί μου ὡς μέλι, γλυκύ· καὶ ὅτε ἔφαγον αὐτὸ, ἐπικράνθη ἡ κοιλία μου.

Γλυκεῖα ἡ βίβλος ἐν τοῖς προοιμίοις, διὰ τὰ φαιδρὰ· ἐπίπο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νος δὲ πρὸς τῷ τέλει, διὰ τὰς πληγάς· ὥσπερ καὶ ἡ ἁμαρτία, γλυκεῖα μὲν τῇ γεύσει, πικρὰ δὲ τῇ πέψει καὶ τῇ ἀναδόσει, καθὼς εἴρηται. Συμπαθεῖς δὲ ὄντες οἱ ἅγιοι, μετὰ χαιρόντων χαίρουσι, καὶ μετὰ κλαιόντων κλαίουσιν, [ὡς φησιν ὁ θεῖος ἀπόστολος (α).]

11 Καὶ λέγει μοι· Δεῖ σε πάλιν προφητεῦσαι ἐπὶ λαοῖς, καὶ ἔθνεσι, καὶ γλώσσαις, καὶ βασιλεῦσι πολλοῖς.

Διὰ τούτων δείκνυται, ἢ τὸ μὴ εὐθέως [μετὰ τὴν ὅρασιν] τῆς θείας ἀποκαλύψεως τὰ ὁραθέντα πέρας δέχεσθαι· ἀλλὰ δεῖν τὸν μακάριον διά τε τοῦ εὐαγγελίου αὐτοῦ, διά τε τῆς παρούσης ἀποκαλύψεως μέχρι συντελείας προφητεύειν τὰ μέλλοντα τοῖς ἀναγινώσκουσιν· ἢ τὸ μήπω τοῦτον θανάτου γεύσασθαι, ἐπὶ τέλει δὲ ἐλεύσεσθαι, τῆς ἀπάτης τοῦ Ἀντιχρίστου τὴν παραδοχὴν κωλύσοντα.

ΚΕΦ. XI, 1 Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ, λέγων μοι· Ἔγειραι, καὶ μέτρησον τὸν ναὸν τοῦ θεοῦ, καὶ τὸ
2 θυσιαστήριον, καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ· καὶ τὴν αὐλὴν τὴν ἔξωθεν τοῦ ναοῦ ἔκβαλε ἔξω, καὶ μὴ αὐτὴν μετρήσῃς, ὅτι ἐδόθη τοῖς ἔθνεσι· καὶ τὴν πόλιν τὴν ἁγίαν πατήσουσι μῆνας τεσσαράκοντα [καὶ] δύο.

Διὰ δὲ τοῦ *καλάμου* τούτου δείκνυται, [πάντα] νοερὰ εἶναι τὰ ἐν οὐρανῷ φαινόμενα, καὶ τὰ παρ' ἡμῖν ἄψυχα· ὥσπερ οὖν καὶ τὸ θυσιαστήριον, καὶ ὁ θρόνος, καί τινα ἕτερα· ἐπεί, πῶς ὁ δοθεὶς αὐτῷ κάλαμος ἔλεγεν· *Ἔγειραι, καὶ μέτρησον τὸν ναὸν τοῦ θεοῦ;* [δι' οὗ δείκνυται ἀγγελικῇ συνέσει ἐκμετρεῖν τὸν ναὸν τοῦ θεοῦ.] Εἰ δέ τις φήσει, ὑπὸ τοῦ [αὐτοῦ] ἀγγέλου καὶ τὸν κάλαμον δεδόσθαι αὐτῷ, καὶ ἀκηκοέναι [παρ' αὐτοῦ,] *Ἔγειραι, καὶ μέτρησον τὸν ναὸν τοῦ θεοῦ*, τοῦτον φαμὲν τὸν κάλαμον μέτρον δηλοῦν γνώσεως, ἀναλογοῦν τῷ λαμβάνοντι·

(α) Ῥωμ. ΙΒ', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἧς ἀξιοῦνται οἱ παρὰ θεοῦ καὶ τῶν θείων ἀγγέλων δι' ἔργων ἀγαθῶν γινωσκόμενοι· *ἔγνω γὰρ Κύριος τοὺς ὄντας αὐτοῦ*, ὡς τὸ θεῖόν φησι λόγιον (α). Ἰσέον δὲ, ὥς τινες τὸν μὲν *τοῦ θεοῦ ναὸν*, τὴν παλαιὰν Διαθήκην ἐνόησαν· τὴν δὲ *ἔξωθεν αὐλὴν*, τὴν Νέαν, διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ σωζομένων οὖσαν ἀμέτρητον· τοὺς δὲ *τεσσαράκοντα* [καὶ] *δύο μῆνας*, σημαντικοὺς τῆς τοῦ χρόνου βραχύτητος, ὃν κρατεῖν τὰ τῆς νέας Διαθήκης μυστήρια, μέχρι τῆς δευτέρας Χριστοῦ παρουσίας ὑπέλαβον. Ἡμεῖς δὲ νομίζομεν *ναὸν θεοῦ* [ζῶντος], τὴν ἐκκλησίαν προσαγορεύεσθαι, ἐν ᾗ θυσίας λογικὰς τῷ θεῷ προσφέρομεν· *αὐλὴν* δὲ *ἐξωτέραν*, τὴν τῶν ἀπίστων ἐθνῶν καὶ Ἰουδαίων συναγωγὴν, ὡς ἀναξίαν ὑπὸ ἀγγέλου μετρηθῆναι, διὰ τὴν ἀσέβειαν [αὐτῶν·] *Ἔγνω γὰρ Κύριος τοὺς ὄντας αὐτοῦ*, ὡς εἴρηται· τοὺς δὲ παρανόμους [ὁ πάντα] εἰδὼς, ἀγνοεῖν λέγεται· τὸ δὲ *πατεῖσθαι τὴν ἁγίαν πόλιν*, εἴτε τὴν νέαν Ἱερουσαλὴμ, εἴτε τὴν καθολικὴν ἐκκλησίαν, *μῆνας τεσσαράκοντα* [καὶ] *δύο* ὑπὸ τῶν ἐθνῶν, σημαίνειν οἶμαι ἐν τῇ παρουσίᾳ τοῦ Ἀντιχρίστου τρία ἥμισυ ἔτη τοὺς πιστοὺς καὶ δοκίμους πατεῖσθαι καὶ διώκεσθαι.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Περὶ Ἐνὼχ καὶ Ἠλία.

3 Καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου, καὶ προφητεύσουσιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα, περιβε-
4 βλημένοι σάκκους· οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι, καὶ αἱ δύο λυχνίαι αἱ ἐνώπιον τοῦ Κυρίου τῆς γῆς ἑστῶσαι.

Τούτους [τοὺς δύο μάρτυρας], Ἐνὼχ καὶ Ἠλίαν πολλοὶ τῶν διδασκάλων ἐνόησαν, καιρὸν θεόθεν τοῦ προφητεύειν [τὰ] ἐν τῇ

(6) Β' Τιμ. Β', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συντελείᾳ ληψομένους ἐπὶ ἔτη τρία, ἀπὸ τριακοσίων ἑξήκοντα ἡμερῶν ἀριθμούμενα· καὶ διὰ τῆς περιβολῆς τῶν σάκκων, τὸ σκυθρωπὸν καὶ πένθους ἄξιον ἐπὶ τοῖς ἀπατωμένοις ἐμφαίνοντας, καὶ τοὺς τότε εὑρισκομένους τῆς πλάνης τοῦ Ἀντιχρίστου ἀπάγοντας· οὓς Ζαχαρίας [ὁ προφήτης] ἐν εἴδει τῶν δύο ἐλαιῶν καὶ [τῶν δύο] λυχνιῶν ἠνίξατο (α), διὰ τὸ τὴν τροφὴν τοῦ φωτὸς τῆς γνώσεως τῷ ἐλαίῳ τῶν θεαρέστων πράξεων ἐπιφέρεσθαι.

5 Καὶ εἴτις αὐτοὺς θέλει ἀδικῆσαι, πῦρ ἐκπορεύεται
ἐκ τοῦ στόματος αὐτῶν, καὶ κατεσθίει τοὺς ἐχθροὺς
αὐτῶν· καὶ εἴτις αὐτοὺς θέλει ἀποκτεῖναι, οὕτω
6 δεῖ αὐτὸν ἀποκτανθῆναι. Οὗτοι ἔχουσιν ἐξουσίαν
κλεῖσαι τὸν οὐρανὸν, ἵνα μὴ βρέχῃ ὑετὸς τὰς ἡμέρας τῆς προφητείας αὐτῶν· καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων, στρέφειν αὐτὰ εἰς αἷμα, καὶ πατάξαι τὴν γῆν ἐν πάσῃ πληγῇ, ὁσάκις ἐὰν θελήσωσι.

Βαθαὶ τῆς θείας ἀγαθότητος, ὅτι ἀντίῤῥοπον τῇ πληγῇ ἐπιφέρει τὴν ἴασιν! Ἐπειδὴ γὰρ ἐν πᾶσι σημείοις καὶ τέρασι ψεύδους πάντων τῶν φαρμακῶν καὶ ἐπαοιδῶν ἔσται ὁ ψευδόχριστος περιφανέστερος, ἅτε πᾶσαν τοῦ διαβόλου δεχόμενος τὴν ἐνέργειαν, ἐν δυνάμει ἀληθινῶν σημείων τε καὶ τεράτων τοὺς ἁγίους τούτους καθοπλίσει ὁ θεὸς, τῇ παραθέσει τῆς ἀληθείας καὶ τοῦ φωτὸς [τὸ ψεῦδος καὶ] τὸ σκότος ἀπελέγξοντας· καὶ τοὺς μὲν πεπλανημένους ἐπιστρέψοντας διά τε λόγου διδασκαλικοῦ, διά τε μαστίγων παιδευτικῶν, ἀνομβρίας καὶ πυρὸς καὶ τῆς τῶν στοιχείων μεταποιήσεως, καὶ τῶν ὁμοίων· τὸν δὲ πλάνον παραδειγματίσοντας, καὶ μηδὲν μήτε ὑπ' ἐκείνου, μήτε ὑφ' ἑτέρου πεισομένους ἄχρι τοῦ τῆς οἰκείας προφητείας πέρατος.

7 Καὶ ὅταν τελέσωσι τὴν μαρτυρίαν αὐτῶν, τὸ θηρίον

(α) Ζαχ. Δ', 2. 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου, ποιήσει πόλεμον μετ' αὐτῶν, καὶ νικήσει αὐτοὺς, καὶ ἀποκτενεῖ αὐτούς·
8 καὶ τὰ πτώματα αὐτῶν [ἐάσει] ἐπὶ τῆς πλατείας τῆς πόλεως τῆς μεγάλης [ἄταφα·] ἥτις καλεῖται πνευματικῶς Σόδομα καὶ Αἴγυπτος, ὅπου [καὶ] ὁ Κύριος αὐτῶν ἐσταυρώθη.

Μετὰ γὰρ τὸ διαμαρτύρασθαι αὐτοὺς, [φησι], τὴν τῆς ἀπάτης ἀποφυγὴν, *τὸ θηρίον*, δηλαδὴ ὁ Ἀντίχριστος, ὁ ἐκ τῶν σκοτεινῶν καὶ βυθίων τῆς γῆς χωρίων ἐξιὼν, ἐν οἷς ὁ διάβολος καταδεδίκασται, ἀνελεῖ αὐτοὺς κατὰ θείαν συγχώρησιν, καὶ ἄταφα αὐτῶν καταλείψει τὰ σώματα ἐν αὐτῇ τῇ Ἱερουσαλήμ, δηλαδὴ τῇ παλαιᾷ καὶ κατεστραμμένῃ, ἐν ᾗ καὶ ὁ Κύριος πέπονθεν. [Ἐν] ταύτῃ γὰρ, (ὡς ἔοικε), καταῤῥήσει τὰ βασίλεια κατὰ μίμησιν Δαυὶδ, οὗ ὁ υἱὸς Χριστὸς, ὁ ἀληθινὸς θεὸς ἡμῶν, κατὰ σάρκα γεγένηται· ἵνα κἀν τούτῳ ἑαυτὸν εἶναι τὸν Χριστὸν πιστώσηται, πληροῦντα [δῆθεν] τὸ προφητικὸν λόγιον, τὸ φάσκον· *Ἀναστήσω τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ κατεστραμμένα αὐτῆς ἀνοικοδομήσω* (α)· ὅπερ πλανώμενοι οἱ Ἰουδαῖοι, εἰς τὴν ἐκείνου παρουσίαν ἐκλαμβάνουσι.

9 Καὶ βλέπουσιν ἐκ τῶν λαῶν, καὶ φυλῶν, καὶ γλωσσῶν, καὶ ἐθνῶν, τὰ πτώματα αὐτῶν ἡμέρας τρεῖς καὶ ἥμισυ· καὶ τὰ πτώματα αὐτῶν οὐκ ἀφήσουσι
10 τεθῆναι εἰς μνῆμα. Καὶ οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, χαρήσονται ἐπ' αὐτοῖς, καὶ εὐφρανθήσονται· καὶ δῶρα δώσουσιν ἀλλήλοις, ὅτι οὗτοι οἱ δύο προφῆται ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς.

Οἱ ἅπαξ, [φησὶ], προκατειλημμένοι τοῖς ψευδέσι τοῦ Ἀντιχρίστου τέρασι, καὶ τὸ θεοστυγὲς αὐτοῦ ὄνομα ἀνεξαλείπτως [ἐν] ταῖς καρδίαις ἐγγράψαντες ἔκ τε Ἰουδαίων, ἔκ τε ἐθνῶν, ταφῆναι μὲν τὰ ἅγια σώματα κωλύσουσιν· ἐπὶ δὲ τῇ ἀπαλλαγῇ

(α) Πραξ. ΙΕ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν μαστίγων, ἃς ἐπὶ ἐπιστροφῇ ἔπασχον, εὐφρανθήσονται· μὴ λογιζόμενοι ὅτι, *ὃν ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ* [*πάντα*] *υἱὸν ὃν παραδέχεται* (α)· καὶ ἐν κημῷ καὶ χαλινῷ ἄγξει τοὺς μὴ ἐγγίζοντας πρὸς αὐτόν (β)· ὅπως κἂν ἐξ ἀνάγκης πρὸς τὴν εὐθεῖαν ὁδὸν ἐπιστρέψωσιν· ἧς ἀπατηθέντες ἐξετράπησαν. Ἀλλ' ἡμᾶς εὔχεσθαι χρὴ, οὕτω Κυρίῳ λέγοντας· *Ἀγαθὸν ἡμῖν, ὅτι ἐταπείνωσας ἡμᾶς· ὅπως ἂν μάθωμεν τὰ δικαιώματά σου* (γ). *Ἐπίστρεψον ἡμᾶς ὁ θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν* (δ)·] *ἵνα μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τῶν δούλων σου* (ε)· *κρινόμενοι γὰρ* ὑπὸ σοῦ τοῦ φιλανθρώπου [δεσπότου,] *παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν* (ζ), ἀλλὰ δι' ὀλίγων μαστίγων αἰώνιον ἐκφευξώμεθα κόλασιν· ὅτι πλούσιος ὑπάρχεις ἐν οἰκτιρμοῖς, Χριστὲ ὁ θεὸς ἡμῶν. Καὶ σοὶ πρέπει πᾶσα [εὐχαριστία,] δόξα, τιμὴ, καὶ προσκύνησις ἅμα τῷ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

ΛΟΓΟΣ ΙΑ'.

Ὅπως ἀναιρεθέντες ὑπὸ τοῦ Ἀντιχρίστου [οἱ δύο οὗτοι τοῦ θεοῦ προφῆται] ἀναστήσονται.

11 Καὶ μετὰ τὰς τρεῖς ἡμέρας καὶ ἥμισυ, πνεῦμα ζωῆς ἐκ τοῦ θεοῦ εἰσῆλθεν εἰς αὐτούς· καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν· καὶ φόβος ἔπεσε μέγας

(α) Ἑβρ. ΙΒ', 6. (β) Ψαλμ. ΛΑ', 9. (γ) Ψαλμ. ΡΙΗ', 71.
(δ) Ψαλμ. ΠΔ', 4. (ε) Ψαλμ. ΡΜΒ', 2. (ζ) Α' Κορ. ΙΑ', 32.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

12 ἐπὶ τοὺς θεωροῦντας αὐτούς. Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ, λεγούσης αὐτοῖς· Ἀνάβητε ὧδε. Καὶ ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν [τῇ] νεφέλῃ·

Ἰσαρίθμους ἡμέρας τοῖς ἔτεσι τῆς αὐτῶν προφητείας, [φησὶ], νεκρωθέντες, [πάλιν] ἀναστήσονται, καὶ εἰς οὐρανὸν [ἐν] τῷ δεσποτικῷ ὀχήματι, τῇ νεφέλῃ, ἀνελεύσονται, φόβος καὶ κατάπληξις τοῖς ὁρῶσι γινόμενοι.

13 Καὶ ἐθεώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν. Καὶ [ἐν] ἐκείνῃ τῇ ἡμέρᾳ ἐγένετο σεισμὸς μέγας· καὶ τὸ δέκατον τῆς πόλεως ἔπεσε, καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα ἀνθρώπων χιλιάδες ἑπτά.

Ἴσως μὲν καὶ αἰσθητῶς [τότε] ταῦτα γενήσεται· νοητῶς δὲ *τὸν σεισμὸν*, τὴν τῶν σαλευομένων μετάθεσιν ἐπὶ τὸ σταθερὸν καὶ βέβαιον δηλοῦν νομίζομεν. *Τὸ δέκατον* δὲ *τῆς πόλεως πίπτειν*, τὸ τῆς ἀσεβείας πτῶμα, μήτε νουθεσίᾳ μήτε τῇ τῶν ἁγίων ἁρπαγῇ σωφρονιζόμενον, ὡς τῶν λοιπῶν σωθησομένων. Αἱ γὰρ *ἑπτὰ χιλιάδες ἀναιρούμεναι*, τοὺς τῷ ἑβδοματικῷ τοῦ παρόντος βίου χρόνῳ προστετηκότας, καὶ τὴν ὀγδόην τῆς ἀναστάσεως μὴ ἀναμένοντας, σημαίνειν φαίνονται· οὓς καὶ ἀποκτανθῆναι ἐπάναγκες τὸν ἐν γεέννῃ δεύτερον θάνατον, [ἤτοι] τὴν αἰώνιον κόλασιν. Ἢ τυχὸν ἑπτακισχίλιοι ἔσονται οἱ ἐξ Ἰουδαίων τῷ Ἀντιχρίστῳ πειθόμενοι.

Καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο· καὶ ἔδωκαν δόξαν
14 τῷ θεῷ τοῦ οὐρανοῦ. Ἡ οὐαὶ ἡ δευτέρα ἀπῆλθεν· ἡ οὐαὶ ἡ τρίτη ἰδοὺ ἔρχεται ταχύ.

Μαστιζομένων τῶν ἀπίστων, καὶ δοξαζομένων τῶν μαρτύρων τοῦ Χριστοῦ, οἱ ἄξιοί, [φησι], τῆς σωτηρίας, τὸν θεὸν δοξάζουσι. Μετὰ δὲ τὰς δύο, φησὶν, *Οὐαί*, ἡ τρίτη ἔρχεται ἡ διὰ τῆς ἑβδόμης σάλπιγγος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Περὶ τῆς ἑβδόμης σάλπιγγος, καὶ τῶν ὑμνούντων τὸν θεὸν ἁγίων ἐπὶ τῇ μελλούσῃ κρίσει.

15 Καὶ ὁ ἕβδομος ἄγγελος ἐσάλπισε· καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ, λέγουσαι· Ἐγένετο ἡ βασιλεία τοῦ κόσμου, τοῦ Κυρίου ἡμῶν, καὶ τοῦ Χριστοῦ αὐτοῦ· καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν
16 αἰώνων. Καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι, οἱ ἐνώπιον τοῦ θεοῦ καθήμενοι ἐπὶ τῶν θρόνων αὐτῶν, ἔπεσον ἐπὶ τὰ πρόσωπα αὐτῶν, καὶ προσεκύνησαν
17 τῷ θεῷ, λέγοντες· Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ θεὸς [ἡμῶν]ὁ παντοκράτωρ, ὁ ὢν, καὶ ὁ ἦν, [καὶ ὁ ἐρχόμενος·] ὅτι εἴληφας τὴν δύναμίν σου τὴν μεγά-
18 λην· καὶ ἐβασίλευσας· καὶ τὰ ἔθνη ὠργίσθησαν·

Κἀνταῦθα πάλιν τοὺς ἁγίους ἀγγέλους καὶ τοὺς ἀγγελικῶς πολιτευσαμένους εὐχαριστίαν ἀναπέμπειν τῷ θεῷ φησιν· ὅτι ἣν ἐξ ἀρχῆς ὡς θεὸς βασιλείαν ἐκέκτητο, λαβεῖν δι' ἡμᾶς ὡς ἄνθρωπος ἠξίωσε· τοῖς δὲ ἀπίστοις ἔθνεσιν ἐπὶ τούτῳ ὀργισθεῖσιν ὡσὰν προσφάτῳ καὶ ξένῃ διδαχῇ μακροθυμήσας, ἐπὶ τέλει τὴν δίκην ἐπήγαγε. Διό φησι·

> Καὶ ἦλθεν ἡ ὀργή σου· καὶ ὁ καιρὸς τῶν νεκρῶν, κριθῆναι, καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου τοῖς προφήταις, καὶ τοῖς ἁγίοις, [καὶ] τοῖς φοβουμένοις τὸ ὄνομά σου, τοῖς μικροῖς καὶ τοῖς μεγάλοις· καὶ διαφθεῖραι τοὺς διαφθείροντας τὴν γῆν.

Καιρὸν *τῶν νεκρῶν* δηλοῖ, τὸν καιρὸν τῆς τῶν νεκρῶν ἀναστάσεως· ἐν ᾧ ἑκάστῳ καταλλήλως δοθήσεται τὰ ἐπίχειρα. Διὰ δὲ τῶν *προφητῶν* καὶ τῶν *ἁγίων* καὶ τῶν *φοβουμένων*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν θεὸν, τὰ τρία εἰκὸς νοεῖσθαι τάγματα, τῶν [ἐν] ἑκατὸν καρποφορούντων, καὶ [ἐν] ἑξήκοντα, καὶ τριάκοντα· τῶν ἀποστόλων ὁμολογουμένως τῆς πρώτης τευξομένων λήξεως, καὶ τῆς ἐπὶ δώδεκα θρόνων ἱδρύσεως. *Μικροὺς* δὲ καὶ *μεγάλους*, εἴτε τοὺς ἥττονας ἁγίους, καὶ τοὺς μᾶλλον τούτων ὑπερέχοντας· εἴτε μικροὺς μέν, τοὺς ἁμαρτωλοὺς, ὡς ἐξουδενωμένους· μεγάλους δὲ, τοὺς δικαίους νομίζομεν λέγεσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ τῶν διωγμῶν τῆς ἐκκλησίας τῶν προτέρων καὶ τῶν ἐπὶ τοῦ Ἀντιχρίστου.

19 Καὶ ἠνοίγη ὁ ναὸς τοῦ θεοῦ ἐν τῷ οὐρανῷ· καὶ ὤφθη ἡ κιβωτὸς τῆς διαθήκης τοῦ Κυρίου ἐν τῷ ναῷ αὐτοῦ· καὶ ἐγένοντο ἀστραπαὶ, καὶ φωναὶ, καὶ βρονταὶ, καὶ σεισμὸς, καὶ χάλαζα μεγάλη.

Διὰ τῆς ἀνοίξεως τοῦ οὐρανοῦ, καὶ τῆς *ὁράσεως τῆς κιβωτοῦ*, τῶν ἡτοιμασμένων ἀγαθῶν τοῖς ἁγίοις δηλοῦται ἡ ἀποκάλυψις· ἅπερ ἐν τῷ Χριστῷ, *ἐν ᾧ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς*, πάντα κέκρυπται, κατὰ τὸν ἀπόστολον (α)· τότε δὲ ἀποκαλυφθήσεται, ὅτε τοῖς ἀνόμοις καὶ ἀσεβέσι φωναὶ καταπληκτικαὶ, καὶ ἀστραπαὶ, καὶ βρονταὶ [ἐπιφέρονται], καὶ χάλαζα ἐπομβροῦσα τούτοις τὰ τῆς γεέννης κολαστήρια, ἐν τῷ σεισμῷ τῆς τῶν παρόντων μεταθέσεως.

ΚΕΦ. XII, 1 Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ· γυνὴ περιβεβλημένη τὸν ἥλιον· καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς· καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος [δι'] ἀστέρων δεκαδύο.

(α) Κολοσ. Β', 9.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

Γυναῖκα περιβεβλημένην τὸν ἥλιον, τινὲς μὲν δι' ὅλου τὴν [παναγίαν] Θεοτόκον νενοήκασι, πρινὴ γνωσθῆναι αὐτῆς τὸν θεῖον τόκον, παθοῦσαν τὰ ἐχόμενα. Ὁ δὲ μέγας Μεθόδιος εἰς τὴν ἁγίαν ἐκκλησίαν ἐξέλαβεν, ἀνάρμοστα τῇ δεσποτικῇ γεννήσει τὰ περὶ αὐτῆς ἡγησάμενος, διὰ τὸ ἤδη πρὸ πολλοῦ τετέχθαι τὸν Κύριον [ἡμῶν.] Καλὸν δὲ καὶ αὐτῶν τῶν ῥημάτων τοῦ μακαρίου Μεθοδίου μνησθῆναι· ὅς φησιν ἐν τῷ λεγομένῳ Συμποσίῳ ἐκ προσώπου Θέκλης τῆς παρθένου οὕτως· « Ἡ γυνὴ ἡ περιβεβλημένη τὸν ἥλιον, ἔστιν ἡ ἐκκλησία. Ὃ δὲ ἡμῖν ἐσθὴς, τοῦτο ἐκείνῃ φῶς· ὃ δὲ ἡμῖν χρυσὸς ἢ διαφανεῖς λίθοι, τοῦτο ἐκείνῃ τὰ ἄστρα, ἄστρα δὲ κρείττω καὶ ἐμφανέστερα. Ἐπιβέβηκε δὲ ἐπὶ τῆς σελήνης· σελήνην δὲ τροπικῶς, ὡς ἡγοῦμαι, τὴν πίστιν τῶν ἀποκαθαιρομένων τὴν φθορὰν τῷ λουτρῷ λέγει, διὰ τὸ ἐκ τῆς σελήνης ὑρτῆσθαι τὴν ὑγρὰν οὐσίαν. Ἐφέστηκεν οὖν ἐπὶ τῆς πίστεως καὶ τῆς προσλήψεως ἡμῶν ἡ ἐκκλησία, ὠδίνουσα καὶ ἀναγεννῶσα τοὺς ψυχικοὺς εἰς πνευματικοὺς, καὶ τὴν καθ' ὁμοίωσιν ἰδέαν αὐτοὺς καὶ μόρφωσιν μορφοῦσα τοῦ Χριστοῦ. » Καὶ πάλιν φησίν· « Οὐ χρὴ τὸν Χριστὸν αὐτὸν εἶναι νομίζειν τὸν γεννώμενον· πάλαι γὰρ πρὸ τῆς [Ἰωάννου] Ἀποκαλύψεως ἐπεπλήρωτο τὸ μυστήριον τῆς ἐνανθρωπήσεως τοῦ [θείου] λόγου· ὁ δὲ Ἰωάννης περὶ παρόντων καὶ μελλόντων θεσμοθετεῖ. » Καὶ μεθ' ἕτερα· « Ὥστε ἀνάγκη ὁμολογεῖν, τὴν ἐκκλησίαν εἶναι τὴν ὠδίνουσαν καὶ γεννῶσαν τοὺς ἀπολελυτρωμένους, ὡς φησιν ἐν Ἡσαΐᾳ τὸ πνεῦμα· *Πρὶν τὴν ὠδίνουσαν τεκεῖν, ἐξέφυγε, καὶ ἔτεκεν ἄρσεν* (α). Τίνα δὲ ἐξέφυγεν; ἢ πάντως τὸν δράκοντα, ἵνα γεννήσῃ τὸν λαὸν ἡ νοητὴ Σιὼν, τὸν ἄῤῥενα. » Καὶ ἑξῆς· « Ὥστε ἐν ἑκάστῳ γεννᾶσθαι τὸν Χριστὸν νοητῶς· καὶ διὰ τοῦτο ἡ ἐκκλησία σπαργᾷ καὶ ὠδίνει ἄχρις ἂν ὁ Χριστὸς μορφωθῇ ἐν ἡμῖν γεννηθείς (β)· ὅπως ἕκα-

(α) Ἡσ. ΞϚ', 7. 8. (β) Γαλ. Δ', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ητος τῶν ἁγίων τῷ μετέχειν Χριστοῦ, Χριστὸς γένηται.» Ἡ ἐκκλησία [τοίνυν] τὸν ἥλιον τῆς δικαιοσύνης [Χριστὸν] περιβέβληται· καὶ γὰρ νομικὸν φῶς τῆς νυκτοφαοῦς σελήνης, καὶ τὴν ὡς σελήνην ἀλλοιουμένην κοσμικὴν ζωὴν, ὑπὸ τοὺς πόδας κέκτηται, καὶ ἐπὶ τῆς κεφαλῆς τὸν τῶν ἀποστολικῶν δογμάτων τε καὶ ἀρετῶν περίκειται στέφανον. Ὁ αὐτὸς δὲ, καὶ ὡς ἐκ τῆς σελήνης ἠρτημένης τῆς ὑγρᾶς οὐσίας, δηλοῦσθαί φησι διὰ τῆς σελήνης τὸ βάπτισμα, θάλασσαν τροπικῶς ὀνομαζόμενον, τοῖς μὲν ἀναγεννωμένοις σωτήριον, τοῖς δὲ δαίμοσιν ὀλέθριον.

2 Καὶ ἐν γαστρὶ ἔχουσα, ἔκραζεν ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν.

Ὠδίνειν δέ φαμεν τὴν ἐκκλησίαν καθ' ἕκαστον τῶν ἀναγεννωμένων δι' ὕδατος καὶ πνεύματος, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν αὐτοῖς, ὥς φησιν ὁ [θεῖος] ἀπόστολος, διὰ τὸ ἀμβλώματα εἶναι τοὺς ἐκ τοῦ ἀληθινοῦ φωτὸς, τοῦ Χριστοῦ, ἐκπίπτοντας, καὶ σύνδρομον τῇ ζωῇ τὸν δι' ἀπιστίας ὑπομένοντας θάνατον.

3 Καὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ· καὶ, ἰδοὺ, δράκων πυρρὸς μέγας, ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ἑπτὰ διαδήματα.

Οὐρανὸν ἐνταῦθα νοεῖσθαι τὸν ἀέρα νομίζομεν· *δράκοντα* δὲ *πυρρὸν*, τὸν πλασθέντα ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων τοῦ θεοῦ, ὡς ἐν τῷ Ἰὼβ γέγραπται (α). Πυρρὸν δὲ τοῦτον καλεῖ, ἢ διὰ τὸ φονικὸν αὐτοῦ καὶ αἱμοχαρές, ἢ διὰ τὸ πυρρῶδες τῆς ἀγγελικῆς οὐσίας, εἰ καὶ τῶν ἀγγέλων ἐκπέπτωκεν. *Ἑπτὰ* δὲ *κεφαλὰς*, τὰς ἑπτὰ πονηροτάτας αὐτοῦ δυνάμεις, καὶ ταῖς πνευματικαῖς ἐνεργείαις ἐναντίας· ἢ τὰ ἑπτὰ πνεύματα, ἅπερ ἐν εὐαγγελίοις ὁ Χριστὸς εἴρηκεν εἰσοικίζεσθαι τῷ

(α) Ἰὼβ Μ', 14.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνθρώπῳ, τῷ σεσαρωμένην τὴν καρδίαν καὶ κενὴν ἐξ ἀγαθῶν ἐννοιῶν καὶ πράξεων ἔχοντι (α)· ἢ ἑπτὰ κακίας, ἃς φησι Σολομὼν ἐν [τῇ] καρδίᾳ εἶναι τοῦ ἐχθροῦ· ὅστις μεγάλῃ τῇ φωνῇ τῶν πειθομένων δεῖται καθ' ὑπόκρισιν. *Τὰ δὲ δέκα κέρατα* δηλοῦσιν, ἢ τὰ ἀντιδιαστελλόμενα ταῖς δέκα νομικαῖς ἐντολαῖς πλημμελήματα, ἢ τὰς διαιρέσεις τῆς βασιλείας, αὐτῷ κόσμον φερούσας, ὡς ταῖς διχοστασίαις χαίροντι. *Ἑπτὰ δὲ διαδήματα* ἐν ταῖς κεφαλαῖς αὐτοῦ· διότι οἱ τὰς δαιμονικὰς ἐνεργείας νικῶντες, ἐκεῖθεν τοὺς στεφάνους [τῆς νίκης] κομίζονται, ὅθεν πόνοις καὶ ἱδρῶσι τὴν νίκην ἤραντο. Περὶ δὲ τούτων καὶ ὁ μακάριος Μεθόδιός φησιν οὕτως ἐπὶ λέξεως· « Ὁ δράκων ὁ μέγας ὁ πυρρὸς, ὁ ἑπτακέφαλος, ὁ σύρων τὸ τρίτον τῶν ἀστέρων, ὃς ἕστηκεν ἐφεδρεύων, ἵνα τὸ τέκνον τῆς ὠδινούσης καταφάγῃ, ὁ διάβολός ἐστιν· ἀλλ' ἀστοχεῖ καὶ σφάλλεται τῆς ἄγρας, ἄνω πρὸς ὕψος ἁρπαζομένων τῶν ἀναγεννωμένων πρὸς τὸν θρόνον τοῦ θεοῦ. » Καὶ μετ' ὀλίγα· « Τρίτον δὲ τῶν ἀστέρων ἐκλήθησαν μέρος, οἱ περὶ ἕνα τοῦ ἀριθμοῦ τῆς ἁγίας Τριάδος ἐσφαλμένοι. Ἡ δὲ ἔρημος, εἰς ἣν ἐλθοῦσα τρέφεται ἡ ἐκκλησία, ἡ κακῶν ἔρημος, καὶ στεῖρα φθορᾶς. Τὰ δὲ χίλιά, φησὶν, ἐν ἑκατονταέσι πολλαπλασιασθέντα, τέλειον ἀριθμὸν καὶ πλήρη περιέχει. » Καὶ ἑξῆς φησι περὶ τῶν στεφάνων αὐτοῦ· « Ἡ δὲ καταγωνισαμένη κατὰ τοῦ διαβόλου πρότερον, καὶ νεκρώσασα τὰς ἑπτὰ κεφαλὰς, τῶν ἑπτὰ στεφάνων τῆς ἀρετῆς ἐγκρατὴς γίνεται.

4 Καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων [τοῦ οὐρανοῦ·] καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν.

Διὰ τούτου, δύο τινὰ δηλοῦσθαι νομίζομεν· ἢ τὴν προτέραν αὐτοῦ ἐξ οὐρανοῦ πτῶσιν, τὴν τοὺς σὺν αὐτῷ ἀποστάτας ἀγγέλους διὰ τοῦ ἐσχάτου κινήματος τοῦ φθόνου [πρὸς γῆν]

(α) Δουκ. ιδ', 25. 26.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατασύρασαν· [πρῶτον γὰρ ἡ ἔπαρσις·] ἢ τὴν μετὰ τὸ θλασθῆναι τὴν κεφαλὴν αὐτοῦ, οὐραίαν κίνησιν, τοὺς ἀστηρίκτους κατενεγκοῦσαν ἐκ τοῦ οὐρανίου φρονήματος, *ἀστέρας* τροπικῶς ὀνομοσθέντας διὰ τὴν ἐκ τοῦ [ἁγίου] βαπτίσματος λαμπρότητα. Οὕτω γὰρ καὶ Δανιὴλ περὶ Ἀντιόχου προεφήτευσεν, ὡς ἐσομένου τύπου τῆς τοῦ Ἀντιχρίστου ἐλεύσεως.

Καὶ ὁ ὁράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τεκεῖν· ἵνα, ὅταν τέκῃ, τὸ τέκνον αὐτῆς καταφάγῃ.

Ἀεὶ γὰρ ὁ ἀποστάτης ἀντικρὺ τῆς ἐκκλησίας ὁπλίζεται, τοὺς ἀναγεννωμένους κατὰ καιρὸν ἐξ αὐτῆς οἰκεῖον ἕρωμα ποιεῖσθαι ὀρεγόμενος· μᾶλλον δὲ, διὰ τῆς ἐκκλησίας καὶ αὐτὸν τὸν Χριστὸν διώκων, ὡς κεφαλὴν αὐτῆς, τὰ τῶν πιστῶν οἰκειούμενον. Διό καὶ, *Σαῦλε, τί με διώκεις;* ἔλεγε (α).

5 Καὶ ἔτεκεν υἱὸν ἄῤῥενα· ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ.

Διηνεκῶς ἡ ἐκκλησία διὰ τῶν βαπτιζομένων τὸν Χριστὸν γεννᾷ, ὡς ἐν ἐκείνοις μορφούμενον ἄχρι τῆς συμπληρώσεως τῆς πνευματικῆς ἡλικίας, κατὰ τὸν ἀπόστολον (β). *Ἄῤῥην* δὲ υἱὸς, ὁ τῆς ἐκκλησίας λαὸς, ὁ ταῖς ἡδοναῖς ἀθήλυντος· δι' οὗ [καὶ] ἤδη μὲν ταῖς τῶν δυνατῶν Ῥωμαίων χερσὶ ταῖς κραταιαῖς ὡς ὁ σίδηρος τὰ ἔθνη ἐποίμανε Χριστὸς ὁ θεός· ποιμανεῖ δὲ καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, κριτὰς καθιστῶν τοὺς ἰσχυροὺς τῇ πίστει κατὰ τὸν σίδηρον τῶν εὐθρύπτων καὶ ἀσθενῶν σκευῶν, τῶν ἐθνῶν, ἃ δι' ἀπιστίαν τὸν μυστικὸν [καὶ] νέον οἶνον οὐκ ἐχώρησαν.

Καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν θεὸν καὶ [πρὸς] τὸν θρόνον αὐτοῦ.

(α) Πραξ. Θ', 4. (β) Ἐφεσ. Δ', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αρπάζονται μὲν γὰρ κἀνταῦθα ἐν πειρασμοῖς οἱ ἅγιοι, ὥστε μὴ καταπονηθῆναι τοῖς δυσχερέσι τοῖς ὑπὲρ δύναμιν· ἁρπαγήσονται δὲ [καὶ τότε] ἐν νεφέλαις εἰς συνάντησιν τοῦ Κυρίου εἰς ἀέρα (α), καὶ σὺν τῷ θεῷ καὶ τῷ θρόνῳ αὐτοῦ, [ἤγουν] ταῖς ὑπερτάταις ἀγγελικαῖς δυνάμεσι, συνέσονται.

6 Καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον· ὅπου ἔχει [ἐκεῖ] τόπον ἡτοιμασμένον ὑπὸ [τοῦ] θεοῦ, ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα.

Ὅταν, [φησιν], ὁ ἐν τῷ Ἀντιχρίστῳ ἐνεργῶν διάβολος δι' αὐτοῦ κατὰ τῆς ἐκκλησίας παρατάξηται, οἱ ταύτης ἐκλεκτοὶ καὶ κορυφαιότατοι, τῶν πολιτικῶν θορύβων καὶ τῶν κοσμικῶν ἡδονῶν καταπτύοντες, εἰς τὴν ἔρημον πάσης κακίας, πάμφορον δὲ πάσης ἀρετῆς πολιτείαν φεύξονται, κατὰ τὸν μέγαν Μεθόδιον· κἀκεῖ τῶν πολεμούντων δαιμόνων τε καὶ πονηρῶν ἀνθρώπων τὰς προσβολὰς διαφεύξονται. Εἰκὸς δὲ καὶ τὴν αἰσθητὴν ἔρημον σώζειν τοὺς ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς διὰ τὴν τοῦ ἀποσάτου [καὶ ψευδοχρίστου] ἐπιβουλὴν φεύγοντας, καθὰ καὶ πρώην τοὺς μάρτυρας· ἐπὶ ἔτη δὲ τρία καὶ ἥμισυ, τὰ ὑπὸ τῶν χιλίων διακοσίων ἑξήκοντα ἡμερῶν δηλούμενα, ἐν οἷς κρατήσει ἡ ἀποσασία· ἧς ἡμᾶς ὁ μέγας ἀγωνοθέτης, ὁ μὴ συγχωρῶν πειρασθῆναί τινα ὑπὲρ ὃ δύναται (β), λυτρούμενος, δωρήσεται ἡμῖν καρτερὸν λογισμὸν καὶ ταῖς ἐναντίαις προσβολαῖς ἀθήλυντον· ἵνα νομίμως πρὸς τὰς ἀρχὰς τοῦ σκότους καὶ τὰς ἐξουσίας ἀθλήσαντες, τῷ στεφάνῳ τῆς δικαιοσύνης κατακοσμηθῶμεν, καὶ τὰ τῆς νίκης βραβεῖα δεξώμεθα· ὅτι αὐτῷ πρέπει, διὰ τῶν ἀσθενῶν τροπουμένῳ τοὺς ἰσχυροὺς ἐναερίους ἄρχοντας, ἡ νίκη καὶ τὸ κράτος, ἅμα τῷ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, [νῦν καὶ ἀεί, καὶ] εἰς τοὺς αἰῶνας [τῶν αἰώνων.] Ἀμήν.

(α) Α' Θεσ. Δ', 17. (β) Α' Κορ. Ι', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

ΛΟΓΟΣ ΙΒ'.

Περὶ τοῦ πολέμου τῶν ἀγγέλων καὶ τῶν δαιμόνων· καὶ [περὶ] τῆς τοῦ Σατανᾶ καταπτώσεως.

7 Καὶ ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ· ὁ Μιχαὴλ καὶ
οἱ ἄγγελοι αὐτοῦ τοῦ πολεμῆσαι μετὰ τοῦ δράκον-
τος· καὶ ὁ δράκων ἐπολέμησε, καὶ οἱ ἄγγελοι αὐ-
8 τοῦ· καὶ οὐκ ἴσχυσαν, οὐδὲ τόπος αὐτῶν εὑρέθη ἔτι
ἐν τῷ οὐρανῷ.

Καὶ ταῦτα τῇ τε πρώτῃ τοῦ διαβόλου ἐξ ἀλαζονείας καὶ φθόνου ἐκπτώσει τῆς ἀγγελικῆς τάξεως, τῇ τε διὰ τοῦ δεσποτικοῦ σταυροῦ καθαιρέσει ἁρμόζειν δύναται· ὅτε, καθώς φησιν ὁ Κύριος, *ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται* (α), καὶ τῆς ἀρχαίας τυραννίδος ἐκβέβληται· οὗ τὴν ἀλαζονείαν τοὺς θείους ἀγγέλους ἅμα τῷ [αὐτῶν] ἀρχιστρατήγῳ Μιχαὴλ μὴ φέροντας, εἰκὸς αὐτὸν τῆς οἰκείας συνδιατριβῆς ἀποῤῥίψαι πρότερον· καθώς φησιν Ἰεζεκιὴλ ὑπὸ τῶν Χερουβεὶμ ἐκβεβλῆσθαι αὐτὸν ἐκ μέσου πυρίνων λίθων (β), τῶν ἀγγελικῶν, οἶμαι, τάξεων, διὰ τὸ εὑρεθῆναι ἐν αὐτῷ [τὰ] ἀδικήματα· ἐν δὲ τῇ [τοῦ] Χριστοῦ παρουσίᾳ τοὺς διακονουμένους αὐτῷ μετὰ τὸν πειρασμὸν ὡς ἠτιμωμένον δοῦλον πάλιν βδελύξασθαι. Ἰτέον δὲ ὅτι, καθὼς τοῖς πατράσι δέδοκται, μετὰ τὴν τοῦ αἰσθητοῦ κόσμου δημιουργίαν, οὗτος δι' ὑπερηφανίας καὶ φθόνου καταβέβληται, τὴν ἀέριαν πρῶτον πεπιστευομένος ἀρχήν, καθώς φησιν ὁ ἀπόστολος (γ)· καὶ Παππίας δὲ οὕτως ἐπὶ λέξεως· «Ἔνιοις δὲ αὐτῶν, δηλαδὴ τῶν πάλαι θείων ἀγγέλων, καὶ τῆς περὶ τὴν γῆν διακοσμή-

(α) Ἰωάν. ΙΒ', 31. (β) Ἰεζ. ΚΗ', 14-16. (γ) Ἐφεσ. Β', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεως ἔδωκεν ἄρχειν· καὶ καλῶς ἄρχειν παρηγγύησε.» Καὶ ἑξῆς φησιν· «Εἰς οὐδὲν [δὲ] συνέβη τελευτῆσαι τὴν τάξιν αὐτῶν.»

9 Καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας, [ὁ] ὄφις ὁ ἀρχαῖος, ὁ καλούμενος Διάβολος καὶ [ὁ] Σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην, ἐβλήθη εἰς τὴν γῆν· καὶ οἱ ἄγγελοι αὐτοῦ [μετ' αὐτοῦ ἐβλήθησαν.]

Καὶ *ἐβλήθη ὁ δράκων ὁ μέγας εἰς τὴν γῆν.* Εἰκότως· οὐ γὰρ ὁ οὐρανὸς ἔφερε γηΐνον φρόνημα· ὅτι τῷ φωτὶ τὸ σκότος ἀκοινώνητον (α). Εἰ δὲ μετὰ τοῦ ἄρθρου κεῖται, *Ὁ Σατανᾶς*, οὐχ ὡς ἄλλος ὢν παρὰ τὸν διάβολον· (εἰ καὶ κεῖται καθ' ὑπερβατόν· οἷον ὁ Διάβολος, ὁ καὶ Σατανᾶς·) ἀλλ' ὡς τὰ δύο καλούμενος· τὸ μέν, διὰ τὸ διαβάλλειν τὰς ἀρετὰς καὶ τοὺς τούτων ἐραστάς, καὶ αὐτὸν τὸν θεὸν τοῖς ἀνθρώποις, ὡς τῷ Ἀδὰμ αὐτὸν βάσκανον ὑπέγραψε (β)· τὸ δὲ, ὡς ἀντικείμενος καὶ τῷ δεσπότῃ καὶ τοῖς δούλοις [αὐτοῦ.] Ἰστέον δὲ, ὅτι οὐχ οὕτω τοπικὴ μετὰ τὸν σταυρὸν ἡ τοῦ διαβόλου γέγονε κατάπτωσις, ὡς ἡ πρώτη· λέγεται δὲ μετὰ τὸ πάθος τοῦ Χριστοῦ καταπεπτωκέναι αὐτὸν, ὅτι αἱ πρότεραι αὐτοῦ δυνάμεις ἐμειώθησαν μετὰ τὸν χρόνον τοῦτον, καὶ οἱονεὶ συνετρίβησαν, καθὼς καὶ αὐτὸς τῷ [μεγάλῳ] Ἀντωνίῳ ὁμολογῶν τὸ ψαλμικὸν ἐπ' αὐτὸν πεπληρῶσθαι λόγιον· *Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος* (γ). Ἔκπτωσις οὖν αὐτοῦ, ἡ τῶν πονηρῶν αὐτοῦ ἐγχειρημάτων ἀθέτησις, μετὰ ταῦ τῶν οὐρανῶν καὶ τῆς οἰκείας ἀρχῆς [τελέως] ἀποβεβλῆσθαι, ὡς εἴρηται. Δέλεκται δὲ τῷ μακαρίῳ Ἰουστίνῳ τῷ [φιλοσόφῳ καὶ) μάρτυρι, μετὰ τὴν [τοῦ] Χριστοῦ παρουσίαν καὶ τὴν κατ' αὐτοῦ ἐνγεέννῃ ἀπόφασιν, βλάσφημον μᾶλιςα γεγονέναι τὸν διάβολον· καίπερ μὴ πρότερον οὕτως ἀναιδῶς τὸν θεὸν βλασφημήσαντα· διὸ περὶ αὐτοῦ εὐθυβόλως εἴρηται· *Ἡ καρδία αὐτοῦ πέπηγεν, ὥσπερ λίθος* (δ), διὰ τὸ τῆς πονηρίας

(α) Β' Κορ. ς', 14.
(β) Γεν. Γ', 4.
(γ) Ψαλμ. Θ', 7.
(δ) Ἰὼβ ΜΑ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνένδοτον. Εἰ δὲ ἡ προσδοκία τῆς κολάσεως πονηρότερον αὐτὸν ἀπειργάσατο, πῶς ἂν κολαζόμενος ἢ αὐτὸς ἢ οἱ ἐργάται αὐτοῦ ἐν γεέννῃ, διὰ τῆς πυρώσεως τῶν ῥύπον τῆς ἁμαρτίας ἐκπλυθήσονται; Τούτου δὲ μὴ τυχόντες, πῶς πέρας ἕξουσι τῆς κολάσεως κατὰ τοὺς ματαιόφρονας [αἱρετικούς;]

10 Καὶ ἤκουσα φωνῆς μεγάλης ἐν τῷ οὐρανῷ, λεγούσης· Ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ βασιλεία τοῦ θεοῦ ἡμῶν, καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ αὐτοῦ· ὅτι κατεβλήθη ὁ κατήγορος τῶν ἀδελφῶν ἡμῶν, ὁ κατηγορῶν αὐτοὺς ἐνώπιον τοῦ θεοῦ ἡμέρας καὶ νυκτός.

Ὅτι *κατεβλήθη ὁ κατήγορος τῶν ἀδελφῶν ἡμῶν.*] *Κατηγορίαν* καὶ *διαβολὴν* κατὰ τῶν ἀνθρώπων, τὸν διάβολον, ὅπερ ἐστὶ, κέκληκεν, ὡς εἴρηται. Εὐφραίνονται δὲ οἱ ἄγγελοι ἐπὶ τῇ τούτου ἐκβολῇ· οὐδεμία γὰρ μερὶς πιστῷ μετὰ ἀπίστου (α).

11 Καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ ἀρνίου,
καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν· καὶ οὐκ
12 ἠγάπησαν τὴν ψυχὴν αὐτῶν ἄχρι θανάτου. Διὰ τοῦτο εὐφραίνεσθε οἱ οὐρανοὶ καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες· οὐαὶ τῇ γῇ καὶ τῇ θαλάσσῃ, ὅτι κατέβη ὁ διάβολος πρὸς ὑμᾶς [ὁ] μέγαν ἔχων θυμὸν, εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει.

Καὶ κατηγορούμενοι παρ' αὐτοῦ, [φησὶν,] οἱ ἅγιοι, καὶ διαβαλλόμενοι, ὥσπερ [ὁ] Ἰὼβ (β), πρὸς πάντας ἀνθρώπους τοὺς αὐτῷ πειθομένους, ὅμως αὐτὸν νενικήκασι τοῖς ὑπὲρ Χριστοῦ πάθεσιν. Εὐφραίνεσθαι δὲ τὰς ἄνω δυνάμεις ἐπὶ τῇ αὐτοῦ πτώσει, καὶ λυπεῖσθαι ἐπὶ τῇ τῶν προστετηκότων τοῖς γηΐνοις ἐπιβουλῇ αὐτοῦ, θεομιμήτως ἀκόλουθον. *Οὐαὶ δὲ τοῖς κατοικοῦσι τὴν γῆν, [καὶ τὴν θάλασσαν,]* δηλαδὴ τοῖς μὴ ἐν οὐρανῷ, ἀλλ' ἐπὶ γῆς τὸ πολίτευμα ἔχουσι. Πολλοὶ γὰρ τῶν ἐν τῇ γῇ τὸν ἐχθρὸν νικῶσι καὶ νικήσουσι, καίπερ πλέον νῦν τοῖς ἀγωνιζο-

(α) Β' Κορ. ϛ', 15. (β) Ἰὼβ Α' καὶ Β'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένοις θυμούμενον διὰ τὴν ἐγγύτητα τῆς αὐτοῦ κολάσεως. Ὅθεν ἐπάναγκες τοὺς τὰ γήϊνα φρονοῦντας, καὶ τῇ θαλάσσῃ τοῦ βίου κλυδωνιζομένους, ἐνταῦθα ταλανίζεσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Ὅπως ὁ δράκων διώκων τὴν ἐκκλησίαν οὐ παύεται.

13 Καὶ ὅτε εἶδεν ὁ δράκων, ὅτι ἐβλήθη εἰς τὴν γῆν, ἐ-
14 δίωξε τὴν γυναῖκα, ἥτις ἔτεκε τὸν ἄρρενα. Καὶ ἐδόθησαν τῇ γυναικὶ [αἱ] δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται [εἰς τὴν ἔρημον] εἰς τὸν τόπον αὐτῆς, ὅπως τρέφηται ἐκεῖ καιρὸν καὶ καιροὺς, καὶ ἥμισυ καιροῦ, ἀπὸ προσώπου τοῦ ὄφεως.

Ὅτε, [φησὶν], ὁ διάβολος τῷ Χριστῷ προσπαλαίσας μετὰ τὸ βάπτισμα ἡττήθη, καὶ πρὸς τοὺς ἁγίους ἀποστόλους ὁπλισάμενος ἠσχύνθη, διὰ θανάτου ζωὴν εὑραμένους αὐτοὺς θεασάμενος, καὶ ὡς ὄφις εἰς γῆν εἱλεῖσθαι καὶ γῆν ἐσθίειν κατεδικάσθη, τὰ γήϊνα φρονήματα, τότε τὴν ἐκκλησίαν πάλιν διώκειν ἤρξατο, τὴν τὸν ἄρσενα τοῦ θεοῦ λαὸν, τὸν ταῖς ἡδοναῖς ἀθήλυντον, τεκοῦσαν καὶ τίκτουσαν. Ἀλλ' ἐξ ἀρχῆς αὐτῇ ἡ πρὸς θεὸν καὶ τὸν πλησίον ἀγάπη, [καὶ] ἡ ἀντιληπτικὴ τοῦ δι' ἡμᾶς σταυρωθέντος πρόνοια δέδοται· καὶ αἱ δύο Διαθῆκαι· δι' ὧν πάντως αἱ πτέρυγες τοῦ ἀετοῦ σημαίνονται· ὅπως ταύταις μετεωροπορουῦσα εἰς τὴν ἔρημον, πάσης διύγρου ἡδονῆς πολιτείαν τρέφηται, ἀεὶ μὲν, ἐν δὲ τῇ τοῦ Ἀντιχρίστου παρουσίᾳ μάλιστα· ὃν κρατεῖν τὸν ῥηθέντα χρόνον τῶν τριῶν καὶ ἡμίσεως ἐτῶν πολλαχοῦ γέγραπται· ἐν ᾧ καὶ οἱ κατὰ τὴν αἰσθητὴν ἔρημον ἐν ὄρεσι καὶ σπηλαίοις κρυπτόμενοι, τοῦτον ἐσθ' ὅτε φεύζονται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

15 Καὶ ἔβαλεν ὁ ὄφις ἐκ τοῦ στόματος αὐτοῦ ὀπίσω τῆς γυναικὸς ὕδωρ ὡς ποταμόν· ἵνα ταύτην ποτα-
16 μοφόρητον ποιήσῃ. Καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί· καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ κατέπιε τὸν ποταμὸν ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ.

Φευγούσης, [φησὶ], τῆς ἐκκλησίας εἰς τόπους ἀβάτους [καὶ ἀνύδρους] τὴν τοῦ πλάνου ἔφοδον, *ἐκ τοῦ στόματος αὐτοῦ*, δηλαδὴ ἐκ προστάγματος αὐτοῦ, *ὀπίσω αὐτῆς* [*βάλλει*] *ὕδωρ ποταμηδόν*· τουτέστιν, ἀθέων ἀνδρῶν, ἢ πονηρῶν δαιμόνων, ἢ ποικίλων πειρασμῶν πλῆθος, κατ' αὐτῆς ἐξελεύσεται, ὅπως αὐτὴν δουλώσηται. Ἡ δὲ *γῆ*, [φησὶν], *ἐβοήθησεν αὐτῇ*, ἢ τῷ τῆς ὁδοῦ μήκει, καὶ τῇ τῶν τόπων ἀνυδρίᾳ καὶ ξηρότητι τὰς τῶν πονηρῶν ὁρμὰς ἐπέχουσα, καὶ τὸν ἐκ τῶν πειρασμῶν ποταμὸν τούτου χάριν καταπίνουσα· ἢ τῇ τῶν ἁγίων ταπεινοφροσύνῃ, ἐνδιαθέτως λεγόντων· *Ἐγώ εἰμι γῆ καὶ σποδὸς* (α)· πάσας τοῦ διαβόλου τὰς παγίδας καταργοῦσα, ὡς [καὶ] τῷ θείῳ Ἀντωνίῳ εἴρηται.

17 Καὶ ὠργίσθη ὁ δράκων ἐπὶ τῇ γυναικί· καὶ ἀπῆλθε ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τοῦ σπέρματος αὐτῆς, τῶν τηρούντων τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ.

Τῶν ἐκκρίτων τῆς ἐκκλησίας διδασκάλων, καὶ τῶν τῆς γῆς ὑπερορώντων, πρὸς τὴν ἐν ἐρήμῳ μεθισταμένων ταλαιπωρίαν, εἰ [τούτων] διαμάρτοι ὁ Ἀντίχριστος, κατὰ τῶν ἐν κόσμῳ στρατευομένων τῷ Χριστῷ ἐξοίσει, [φησὶ], τὸν πόλεμον, ὅπως καθάπερ κόνει τραχυνούσῃ τὴν τοῦ ἐλαίου λειότητα, ταῖς τοῦ βίου, [φημὶ], πραγματείαις, τούτους εὐαλώτους εὑρὼν, τροπάσηται. Πολλοὶ δὲ καὶ ἐκ τούτων αὐτὸν, διὰ τὸ γνησίως ἠγαπηκέναι τὸν Χριστὸν, νικήσουσι.

(α) Γεν. ΙΗ', 27.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Λς΄.

Περὶ τοῦ θηρίου τοῦ δεκακεράτου καὶ ἑπτακεφάλου.

18 Καὶ ἐστάθην ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης.

ΚΕΦ. XIII, 1 Καὶ εἶδον θηρίον ἀναβαῖνον ἐκ τῆς θαλάσσης, ἔχον κέρατα δέκα καὶ κεφαλὰς ἑπτά· καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδήματα· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὄνομα βλασφημίας.

Τινὲς μὲν τὸ *θηρίον* τοῦτο δευτερεύουσάν τινα δύναμιν τοῦ Σατανᾶ, τῶν λοιπῶν δαιμόνων ἄρχουσαν, ἐξειλήφασι· τὸ δὲ μετ' αὐτὸ ἐκ τῆς γῆς ἀνιὸν, τὸν Ἀντίχριστον. Τοῖς δὲ ἁγίοις, Μεθοδίῳ καὶ Ἱππολύτῳ καὶ ἑτέροις, εἰς [αὐτὸν] τὸν Ἀντίχριστον τὸ παρὸν θηρίον ἐξείληπται, ἐκ τῆς πολυταράχου τοῦ βίου τούτου θαλάσσης καὶ πολυκύμονος ἐξερχόμενον. Τὰ δὲ *δέκα κέρατα* σὺν τοῖς διαδήμασι, καὶ αἱ *ἑπτὰ κεφαλαί*, τήν τε τοῦ διαβόλου πρὸς αὐτὸν [τὸν Ἀντίχριστον] ἕνωσιν αἰνίττεται· (ταῦτα γὰρ [καὶ] αὐτῷ προσόντα ἀνωτέρω ἡρμήνευται·) τήν τε εἰς δέκα τῆς γηΐνης βασιλείας ἐπ' ἐσχάτων διαίρεσιν, καὶ τὴν τῷ κόσμῳ τούτῳ σύστοιχον ἑβδοματικὴν βασιλείαν, ἑπτὰ μὲν ἡμέραις ἐκμετρουμένην, ἑπτὰ δὲ διαδοχαῖς διαιρουμένην, ὡς ἐν τοῖς ἑξῆς ῥηθήσεται. Καθ' ἣν *ἄρχων τοῦ αἰῶνος τούτου* κέκληται ὁ ἐνεργῶν ἐν αὐτῷ Σατανᾶς. *Ὄνομα* δὲ *βλασφημίας* ἐν ταῖς κεφαλαῖς αὐτοῦ, δηλαδὴ τοῖς ὑπασπισταῖς αὐτοῦ. Οὗτοι γὰρ ἐξ ἀρχῆς βλασφημεῖν τὸν Χριστὸν οὐκ ἐπαύσαντο ἄχρι τῆς τοῦ μεγάλου [καὶ εὐσεβεστάτου] Κωνσταντίνου ἀναδείξεως, μεθ' ἣν Ἰουλιανὸς καὶ Οὐάλης δύσφημοι κατὰ Χριστοῦ γεγόνασι.

2 Καὶ τὸ θηρίον, ὃ εἶδον, ὅμοιον ἦν παρδάλει· καὶ οἱ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόδες αὐτοῦ ὡς ἄρκτου· καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα λέοντος.

Διὰ μὲν τῆς *παρδάλεως*, ἡ [τῶν] Ἑλλήνων· διὰ δὲ τῆς *ἄρκτου*, ἡ [τῶν] Περσῶν· διὰ δὲ τοῦ *λέοντος*, ἡ Βαβυλωνίων βασιλεία σημαίνεται· ὧν κρατήσει ὁ Ἀντίχριστος, ὡς Ῥωμαίων βασιλεὺς ἐλευσόμενος, καὶ τὴν τούτων ἀρχὴν καθαιρήσων, ὅταν τοὺς ὀστρακίνους δακτύλους τῶν ποδῶν θεάσηται (α)· δι' ὧν ἡ εἰς δέκα δηλοῦται ἀσθενὴς καὶ εὔθρυπτος τῆς βασιλείας διαίρεσις.

Καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ, [καὶ τὸν θρόνον αὐτοῦ,] καὶ ἐξουσίαν μεγάλην.

Δώσει γὰρ ὁ Σατανᾶς, ὁ νοητὸς *δράκων*, τῷ Ἀντιχρίστῳ πᾶσαν ἐξουσίαν ἐν σημείοις καὶ τέρασι ψεύδους πρὸς τὴν τῶν ἀστηρίκτων ἀπώλειαν.

3 Καὶ [εἶδον] μίαν τῶν κεφαλῶν αὐτοῦ ὡσεὶ ἐσφαγμένην εἰς θάνατον· καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ἐθεραπεύθη.

Κεφαλὴν δὲ *ὡσεὶ ἐσφαγμένην*, εἴτε τινὰ τῶν ἀρχόντων αὐτοῦ τεθανατῶσθαι, καὶ ὑπ' αὐτοῦ [τοῦ Ἀντιχρίστου] διὰ γοητείας ἀπατηλῶς ἀνίστασθαι φαινόμενόν φησιν, ὡς Σίμων ὁ μάγος πεποιηκώς, ὑπὸ τοῦ κορυφαίου τῶν ἀποστόλων [Πέτρου] ἠλέγχετο (β)· ἢ τὴν Ῥωμαίων βασιλείαν τῇ εἰς δέκα μέρη διαιρέσει σφαγὴν τρόπον τινὰ ὑπομένουσαν, τὴν μοναρχίαν [τε] τεθεραπεῦσθαι δοκοῦσαν κατὰ τὴν εἰκόνα Αὐγούστου Καίσαρος.

Καὶ ἐθαυμάσθη ἐν ὅλῃ τῇ γῇ ὀπίσω τοῦ θηρίου.
4 Καὶ προσεκύνησαν τὸν δράκοντα, ὅτι ἔδωκε τὴν ἐξουσίαν τῷ θηρίῳ· [καὶ προσεκύνησαν τὸ θηρίον,] λέγοντες· Τίς ὅμοιος τῷ θηρίῳ; καὶ τίς δύναται πολεμῆσαι μετ' αὐτοῦ;

(α) Δαν. Β', 41. (β) Πραξ. Η', 9 καὶ ἑξῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ εἰς τὸν Ἀντίχριστον [φαινόμενον ἐν πλάνῃ] θαῦμα, εἰς τὸν ἐνεργοῦντα ἐν αὐτῷ διάβολον τὴν ἀναφορὰν ἕξει. Δι' ἐκείνου γὰρ ὁ δράκων προσκυνηθήσεται· δι' οὗ καὶ νεκροὺς ἐγείρειν, καὶ σημεῖα ἐπιτελεῖν, τοῖς πεπηρωμένοις τὰ τῆς διανοίας ὄμματα φανήσεται.

5 Καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλάσφημα. Καὶ ἐδόθη αὐτῷ ἐξουσία πόλεμον ποιῆσαι μῆνας μβ΄.

6 Καὶ ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς βλασφημίαν πρὸς τὸν θεὸν, βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ τοὺς ἐν τῷ οὐρανῷ σκηνοῦντας.

Τὸ δὲ *μῆνας τεσσαράκοντα δύο*, δηλοῖ ὅτι κατὰ θείαν συγχώρησιν τὰ τρία ἥμισυ ἔτη τὴν ἐξουσίαν ἕξει τῆς τε πρὸς θεὸν βλασφημίας, καὶ τῆς τῶν ἁγίων κακώσεως. *Σκηνὴ* δὲ *τοῦ θεοῦ*, καὶ ἡ ἐν σαρκὶ τοῦ [θεοῦ] λόγου σκήνωσις, ἤγουν ἐνανθρώπησις· καὶ ἡ ἐν τοῖς ἁγίοις ἀνάπαυσις, καθ' ὧν [πάντων] εἰς βλασφημίαν τραπήσεται· [προσέτι δὲ καὶ τῶν ἁγίων ἀγγέλων].

7 [Καὶ ἐδόθη αὐτῷ ποιῆσαι πόλεμον μετὰ τῶν ἁγίων, καὶ νικῆσαι αὐτούς·] καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν [καὶ λαὸν] καὶ γλῶσσαν καὶ ἔθνος.

8 Καὶ προσκυνήσουσιν αὐτὸν πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὸ ὄνομα ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου τοῦ ἐσφαγμένου ἀπὸ καταβολῆς κόσμου.

Κατὰ πάσης μὲν, [φησὶ,] φυλῆς καὶ γλώσσης τῇ πονηρᾷ ἐξουσίᾳ χρήσεται· ἐκείνων δὲ [μόνων] κρατήσει, ὧν τὰ ὀνόματα ἐν τῇ βίβλῳ τῆς ζωῆς οὐ γέγραπται.

9. 10 Εἴτις ἔχει οὖς, ἀκουσάτω. Εἴτις ἔχει αἰχμαλωσίαν, εἰς αἰχμαλωσίαν ὑπάγει· εἴ τις ἐν μαχαίρᾳ ἀποκτενεῖ, δεῖ αὐτὸν ἐν μαχαίρᾳ ἀποκτανθῆναι. Ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων.

Ἄξιά, [φησιν], ἕκαστος τῶν πεπραγμένων δέξεται τὰ ἐπίχει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρα. Οἱ πρὸς τὸ κακοῦν τοὺς πλησίον ἕτοιμοι, ὑπὸ τοῦ διαβόλου αἰχμαλωτευθήσονται, καὶ τῇ σατανικῇ μαχαίρᾳ τὸν ψυχικὸν ὑποστήσονται θάνατον· ᾧ δι' ἔργων ἡττήθησαν, τούτῳ δουλούμενοι, ὡς φησιν ὁ μέγας Ἰάκωβος (α)· οἱ δὲ πίστιν εἰλικρινῆ καὶ ὑπομονὴν ἀμετάθετον ἐν τοῖς πειρασμοῖς ἔχοντες, ἀνεξάλειπτοι [ἐκ] τῆς βίβλου τῆς ζωῆς ἔσονται. Ὧν καὶ ἡμᾶς ὁ πανελεήμων θεὸς ἀναδείξοι κοινωνοὺς, ἀνάξια λογιζομένους τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν τοῖς ἁγίοις δόξαν ἀποκαλύπτεσθαι (β), καὶ τὴν ἐνοῦσαν ὁδὸν ἀνδρείως βαδίζοντας, ἵνα τέλος αὐτῆς τὴν ἐν τῷ μέλλοντι αἰῶνι δόξαν [καὶ ἀνάπαυσιν] καὶ εὐρυχωρίαν εὑρόντες, [τῷ] Χριστῷ συμβασιλεύσωμεν· μεθ' οὗ τῷ Πατρὶ πρέπει πᾶσα εὐχαριστία, καὶ προσκύνησις, σὺν τῷ ἁγίῳ Πνεύματι, [νῦν καὶ ἀεὶ] καὶ εἰς τοὺς αἰῶνας [τῶν αἰώνων.] Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

ΛΟΓΟΣ ΙΓ'.

Περὶ τοῦ ψευδοπροφήτου.

11 Καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς· καὶ εἶχε κέρατα δύο ὅμοια ἀρνίῳ· καὶ ἐλάλει ὡς δράκων.

Τὸ *θηρίον* τοῦτο, οἱ μὲν τὸν Ἀντίχριστόν φασιν· ἑτέροις δὲ ἔδοξε τὸν σατανᾶν εἶναι· καὶ τὰ *δύο* αὐτοῦ *κέρατα*, τὸν Ἀντίχριστον καὶ τὸν ψευδοπροφήτην αἰνίττεσθαι. Ὁμολογουμένου δὲ καὶ τοῦ ψευδοπροφήτου ἐν ἰδίῳ προσώπῳ ἔρχεσθαι, οὐκ ἄτοπον ἡγούμεθα, τὸν μὲν *δράκοντα*, εἰς τὸν σατανᾶν· τὸ δὲ θη-

(α) Ὁ Πέτρος λέγει· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. Β' Πέτρ. Β', 19. (β) Ῥωμ. Η', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρίον τὸ ἐκ τῆς θαλάσσης ἀναβαῖνον, εἰς τὸν Ἀντίχριστον· τὸ δὲ παρὸν, κατὰ τὸ δοκοῦν καὶ τῷ μακαρίῳ Εἰρηναίῳ, εἰς τὸν ψευδοπροφήτην ἐκλαμβάνεσθαι, ἐκ τῆς γῆς μὲν ἀνερχόμενον, δηλαδὴ τῆς γηΐνης καὶ χαμερποῦς πολιτείας· ἔχον δὲ κέρατα δύο ὅμοια ἀρνίῳ, διὰ τὸ ἐν δοκῇ προβάτου τοῦ κεκρυμμένου λύκου τὸ φονικὸν περικαλύπτειν, καὶ διὰ τὴν ἐν πραεμίαις αὐτοῦ τῆς εὐσεβείας μόρφωσιν· περὶ οὗ φησιν [ὁ] Εἰρηναῖος ἐπὶ λέξεως οὕτω· «Περὶ τοῦ ὑπασπιστοῦ, (ὃν καὶ ψευδοπροφήτην καλεῖ,) ἐλάλει, φησὶν, ὡς δράκων· τούτῳ δὲ ἔλεγεν ἐξουσίαν δεδόσθαι σημείων καὶ τεράτων, ἵνα ποιῇ ἔμπροσθεν τοῦ Ἀντιχρίστου, προσδοποιῶν αὐτῷ τὴν τῆς ἀπωλείας ὁδόν.» Τῆς δὲ πληγῆς τοῦ θηρίου θεραπείαν εἴπομεν εἶναι, τὴν τῆς διηρημένης βασιλείας δοκοῦσαν πρὸς ὀλίγον γίνεσθαι ἕνωσιν· ἢ [τὴν] τῆς φθαρείσης τῷ σατανᾷ τυραννίδος πρὸς μικρὸν διὰ τοῦ Ἀντιχρίστου ἀνόρθωσιν· ἢ τινος τῶν προσφκειωμένων αὐτῷ τεθνεῶτος ἀπατηλὴν ἀνάστασιν. Ὡς δράκοντα δέ φησι λαλεῖν τοῦτον· τὰ γὰρ τοῦ ἀρχεκάκου διαβόλου πράξει τε καὶ φθέγξεται.

12 Καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ· καὶ ἐποίει τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας, ἵνα προσκυνήσωσι τὸ θηρίον τὸ πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐ-
13 τοῦ. Καὶ ποιεῖ σημεῖα μεγάλα, ἵνα καὶ πῦρ ποιῇ ἐκ τοῦ οὐρανοῦ καταβαίνειν ἐπὶ τὴν γῆν ἐνώπιον τῶν ἀνθρώπων.

Πάντα δὲ πράξει, [φησὶ], διὰ γοητείας ὁ τοῦ ἀποστάτου ψευδοχρίστου πρόδρομος, πρὸς ἀπάτην ἀνθρώπων, ἐπὶ τῷ θεὸν νομισθῆναι τὸν Ἀντίχριστον, [ὡς] ὑπὸ τοιούτων τεραστίων ἔργάτου μαρτυρούμενον, καὶ ἀναμφισβήτητον τὴν δόξαν λαμβάνοντα, κατὰ μίμησιν τοῦ βαπτιστοῦ, τοῦ τῷ σωτῆρι τοὺς πειθομένους προσάγοντος· φιλονεικεῖ γὰρ τὸ ψεῦδος ἐπὶ ἀπάτῃ [τῶν] ἀνθρώπων μιμεῖσθαι τὴν ἀλήθειαν. Οὐ θαυμαστὸν δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν ὀφθαλμοῖς τῶν ἀπατωμένων πῦρ ὁρᾶσθαι *οὐρανόθεν κατερχόμενον*· ὅπου γε καὶ ἐν τῇ τοῦ Ἰὼβ ἱστορίᾳ τοῦτο κατελήλυθὸς καὶ τά κτήνη αὐτοῦ κατηναλωκὸς, κατὰ θείαν συγχώρησιν καὶ σατανικὴν ἐνέργειαν, μεμανθήκαμεν (α).

14 Καὶ πλανᾷ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς, διὰ τὰ σημεῖα ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου· Πλανᾷ, [φησὶ], τοὺς ἐν τῇ γῇ τὴν διηνεκῆ κατοίκησιν τῆς καρδίας ἔχοντας. Τοὺς γὰρ ἐν οὐρανῷ κεκτημένους τὸ πολίτευμα, οὐκ ἀπατᾷ ἡ αἴσθησις, ἠσφαλισμένους ἀκριβῶς τῇ προαναφωνήσει τῆς αὐτοῦ ἐλεύσεως.

Λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς, ποιῆσαι εἰκόνα τῷ θηρίῳ, ὃ εἶχε τὴν πληγὴν τῆς μαχαίρας,
15 καὶ ἔζησε. Καὶ ἐδόθη αὐτῷ δοῦναι πνεῦμα τῇ εἰκόνι τοῦ θηρίου, ἵνα [καὶ] λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου, καὶ ποιήσῃ, [ἵνα], ὅσοι ἐὰν μὴ προσκυνήσωσι
16 τὴν εἰκόνα τοῦ θηρίου, ἀποκτανθῶσι· καὶ ποιεῖ πάντας, τοὺς μικροὺς καὶ τοὺς μεγάλους, καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχοὺς, καὶ τοὺς ἐλευθέρους καὶ τοὺς δούλους, ἵνα δώσωσιν αὐτοῖς χάραγμα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ ἐπὶ τῶν με-
17 τώπων αὐτῶν· [καὶ] ἵνα μήτις δύνηται ἀγοράσαι ἢ πωλῆσαι, εἰ μὴ ὁ ἔχων τὸ χάραγμα, τὸ ὄνομα τοῦ θηρίου, ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ.

Ἰσόρηται πολλάκις γοητείαις λαλῆσαι δι' εἰκόνων καὶ ξοάνων καὶ δένδρων καὶ ὑδάτων, διά τε Ἀπολλωνίου, διά τε ἑτέρων, δαίμονας· οἶμαι δὲ καὶ διὰ νεκρῶν σωμάτων, ὥσπερ [καὶ] Σίμων ὁ μάγος ἔδειξε Ῥωμαίοις νεκρὸν κινούμενον κατὰ παρουσίαν τοῦ μεγάλου Πέτρου· εἰ καὶ τὴν πλάνην ὁ ἀπόστολος ἐξήλεγξε, δείξας, δι' ὧν ἀνέστησεν αὐτὸς, πῶς νεκροὶ ἐγείρονται. Οὕτω τοίνυν καὶ τὸν ὑπασπιστὴν τοῦ Ἀντιχρίστου οὐδὲν ἀπεικὸς, διὰ δαι-

(α) Ἰὼβ Α', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μόνων ἐνεργοῦντα, ποιῆσαι εἰκόνα τῷ θηρίῳ, καὶ δεῖξαι ταύτην λαλοῦσαν [ἐν πλάνῃ,] παρασκευάσαι τε ἀναιρεῖσθαι τοὺς ταύτην μὴ προσκυνοῦντας. Καὶ τὸ χάραγμα δὲ τοῦ ὀλεθρίου ὀνόματος τοῦ ἀποστάτου [καὶ πλάνου] πᾶσιν ἐπιθεῖναι σπουδάσει, ἐν μὲν ταῖς δεξιαῖς [χερσὶν,] ἵνα τῶν [δεξιῶν καὶ] ἀγαθῶν ἔργων ἐκκόψῃ τὴν ἐνέργειαν· ἐν δὲ τοῖς μετώποις, ἵνα ἐν τῇ πλάνῃ καὶ τῷ σκότει διδάξῃ τοὺς ἀπατωμένους παῤῥησιάζεσθαι· ἀλλ' οὐ δέξονται [αὐτὸν] οἱ σημειωθέντες τῷ θείῳ φωτὶ τὰ πρόσωπα. Καὶ τὴν ψῆφον δὲ τοῦ θηρίου πλατῦναι παντα-χοῦ ἐπιτηδεύσει, ἔν τε ὠναῖς καὶ πράσεσιν· ἵνα τοῖς τοῦτο μὴ λαμβάνουσιν ἐκ τῆς τῶν ἀναγκαίων ἐνδείας βίαιος ἐπαχθῇ θάνατος.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

Περὶ τοῦ [μιαροῦ] ὀνόματος τοῦ Ἀντιχρίστου.

18 Ὧδε ἡ σοφία ἐστίν· ὁ ἔχων νοῦν, ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γὰρ ἀνθρώπου ἐστί· καὶ [ὁ] ἀριθμὸς αὐτοῦ ἐστιν ἑξακόσια ἑξήκοντα [καὶ] ἕξ.

Καὶ τὴν μὲν ἀκρίβειαν τῆς ψήφου, ὡς καὶ τὰ λοιπὰ τὰ περὶ αὐτοῦ γεγραμμένα, ὁ χρόνος ἀποκαλύψει καὶ ἡ πεῖρα τοῖς νήφουσιν· (εἰ γὰρ ἔδει, καθώς φασί τινες τῶν διδασκάλων, σαφῶς γνωσθῆναι τὸ τοιοῦτον ὄνομα, ὁ τεθεαμένος ἂν αὐτὸ ἀπεκάλυψεν· ἀλλ' οὐκ εὐδόκησεν ἡ θεία χάρις ἐν θείᾳ βίβλῳ τὸ τοῦ λυμεῶνος ὄνομα γραφῆναι·) ὡς ἐν γυμνασίας δὲ λόγῳ πολλά ἐστιν εὑρεῖν, κατὰ τὸν μακάριον Ἱππόλυτον καὶ ἑτέρους, ὀνόματα τὸν ἀριθμὸν τοῦτον περιέχοντα, προσηγορικά τε καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κύρια· κύρια μὲν, οἷον Λαμπέτις, Τειτὰν, ἐκ τοῦ τείνω, καθ' Ἱππόλυτον, Λατεῖνος, ὁμοίως (διὰ διφθόγγου,) Βενέδικτος· ὅπερ ἑρμηνεύεται εὐλογημένος ἢ εὐλογητὸς, κατὰ μίμησιν τυχὸν τοῦ ἀληθῶς εὐλογημένου Χριστοῦ τοῦ θεοῦ ἡμῶν· προσηγορικὰ δὲ, Κακὸς ὁδηγὸς, Παλαιβάσκανος, Ἀληθὴς βλαβερὸς, Ἀμνὸς ἄθικος· οἷς ἐκ τῶν ἐναντιουμένων τῇ πλάνῃ ἐπικληθήσεται, τὴν οἰκείαν δόξαν ἐν τῇ αἰσχύνῃ τιθέμενος.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

Περὶ τοῦ ἀρνίου καὶ τῶν ἑκατοντεσσαρακοντατεσσάρων χιλιάδων.

ΚΕΦ. XIV, 1 Καὶ εἶδον, καὶ, ἰδοὺ, ἀρνίον ἑστηκὸς ἐπὶ τὸ ὄροςΣιών, καὶ μετ' αὐτοῦ ἑκατὸν τεσσαρακοντατέσσαρες χιλιάδες, ἔχουσαι τὸ ὄνομα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν.

Ἀρνίον ὁ Χριστὸς ἀναμφιβόλως ὡμολόγηται. Ἐπὶ τὸ ὄρος δὲ Σιὼν οὐ τῆς παλαιᾶς ἑστὼς, ἀλλὰ τῆς νέας, τῆς τοῦ ζῶντος θεοῦ πόλεως. Αἱ δὲ ἑκατὸν τεσσαρακοντατέσσαρες χιλιάδες, ἢ τὸ τοῦ ἀποστολικοῦ σπόρου πολύφορον δηλοῦσι, τῆς ἐν ἑκάστῳ χάριτος δωδεκάκις χιλιοστὸν ἀπεργαζομένης, [ἤγουν] τέλειον, τὸν καρπὸν τῆς τῶν σωζομένων πίστεως· ἢ τοὺς ἀπὸ τῆς νέας Διαθήκης παρθένους, κατά τε τὸν ἔσω, κατά τε τὸν ἔξω ἄνθρωπον, σημαίνουσιν· ἐν γὰρ τοῖς παλαιοῖς σπάνιον τὸ τῆς παρθενίας κατόρθωμα, πλὴν σφόδρα ὀλίγοις εὑρισκόμενον. Ὅθεν [καὶ] ἑτέρας ταύτας παρὰ τὰς πρότερον εἰρημένας οἰητέον, τὰς ὀνομαστὶ ἐκ τῶν φυλῶν τοῦ Ἰσραὴλ συναγομένας, αἷς παρθενίαν οὐ προσμεμαρτύρηκε. Τούτων δὲ πάντων τὰ μέτωπα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ φωτὶ τοῦ θείου προσώπου σφραγίζονται· δι' οὗ τοῖς ὁλοθρευταῖς ἀγγέλοις αἰδέσιμοι φαίνονται.

2 Καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ ὡς φωνῆς ὑδάτων πολλῶν, καὶ ὡς φωνῆς βροντῆς μεγάλης· καὶ φωνῆς ἤκουσα [ὡς] κιθαρῳδῶν κιθαριζόντων ἐν
3 ταῖς κιθάραις αὐτῶν, καὶ ᾄδόντων [ὡς] ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων ζώων καὶ τῶν πρεσβυτέρων·

Ἡ δὲ *φωνὴ τῶν πολλῶν ὑδάτων καὶ τῆς βροντῆς καὶ τῶν κιθαριζόντων* τὸ διαπρύσιον δηλοῖ τῆς τῶν ἁγίων ὑμνῳδίας, καὶ τῆς ἐμμελοῦς αὐτῶν καὶ εὐήχου καὶ συμφώνου ᾠδῆς, τῆς πᾶσαν περιηχούσης τὴν τῶν ἀπογεγραμμένων ἐν οὐρανῷ πρωτοτόκων ἐκκλησίαν καὶ πανήγυριν, καθάπερ ἐν συμφωνίᾳ χορδῶν, τῇ τῶν ἁγίων συμπνοίᾳ ἐξηχουμένην· ἣν τῇ νεκρώσει τῶν τοῦ σώματος ἐπιθυμιῶν κατώρθωσαν. Ταύτην δὲ τὴν ᾠδήν, οὐδεὶς ἕτερος μαθεῖν, [φησι], δύναται, πλὴν αὐτῶν· διότι τῷ μέτρῳ τῆς πολιτείας καὶ ἡ γνῶσις συμπαρεκτείνεται· καθὰ καὶ τοῖς ἀνθρώποις οἰκέταις ἀναλόγως τῇ εὐνοίᾳ ἡ τῶν δεσποτικῶν μυστηρίων φανέρωσις δίδοται.

Καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδήν, εἰμὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμέ-
4 νοι ἀπὸ τῆς γῆς. Οὗτοί εἰσιν οἱ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν· οὗτοί [εἰσιν] οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ· οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων, ἀπαρχὴ τῷ θεῷ καὶ
5 τῷ ἀρνίῳ· καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη ψεῦδος· ἄμωμοι γάρ εἰσι.

Ἡγούμεθα μέντοι τούτους μετὰ τοὺς ὠνομασμένους εἰκοσιτέσσαρας πρεσβυτέρους, τῶν λοιπῶν εἶναι προὔχοντας, διά τε τὴν παρθενίαν καὶ τὸ ἐν γλώσσῃ τε καὶ χερσὶν ἄμωμον, μετὰ τὴν [τοῦ] Χριστοῦ ἐπιδημίαν κτωμένους τὴν ἐνάρετον λαμπρότητα· δι' ἧς τὴν καινὴν ᾠδὴν διδάσκονται, τὴν τοῖς πολλοῖς οὐ μό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νον ἐν τῷ παρόντι βίῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἄγνωστον. Εἰ γὰρ [καὶ] τὸ τέλειον τῆς γνώσεως ἐλεύσεται τότε, καταργουμένης τῆς μερικῆς [γνώσεως,] κατὰ τὸν θεῖον ἀπόστολον (α), ἀλλ' ἀναλόγως τῇ ἐνταῦθα πολιτείᾳ τῶν ἁγίων [ἡ τῶν θείων] μυστηρίων ἔσται φανέρωσις. *Πολλαὶ γὰρ μοναὶ παρὰ τῷ πατρὶ (β)· καὶ· Ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ (γ)·* ὥσπερ καὶ πολλαὶ διαφοραὶ κολάσεων. Ὧν ἡμᾶς λυτρούμενος ὁ τῶν ὅλων Κύριος, τοῖς σωζομένοις ἐγκαταλέξει διὰ τὴν οἰκείαν ἀγαθότητα· μὴ ἀφορῶν εἰς τὸ πλῆθος τῶν ἁμαρτιῶν ἡμῶν, ἀλλ' εἰς τοὺς οἰκείους οἰκτιρμούς, δι' οὓς ἐπὶ [τῆς] γῆς παραγέγονε, καὶ τὸ τίμιον αὐτοῦ αἷμα ὑπὲρ ἡμῶν ἐξέχεεν· ἵνα τοὺς μώλωπας ἡμῶν καὶ τοὺς σπίλους ἐκπλύνας, καθαροὺς προσάγῃ τῷ πατρί· μεθ' οὗ αὐτῷ πρέπει, τῷ ἀρχηγῷ [τῆς ζωῆς καὶ] τῆς σωτηρίας ἡμῶν, ἅμα τῷ παναγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

ΛΟΓΟΣ ΙΔ'.

Περὶ ἀγγέλου προαγορεύοντος τὴν ἐγγύτητα τῆς [μελλούσης] κρίσεως.

6 Καὶ εἶδον [ἄλλον] ἄγγελον πετόμενον ἐν μεσουρανήματι, ἔχοντα εὐαγγέλιον αἰώνιον, [ἐρχόμενον] εὐαγγελίσαι τοὺς καθημένους ἐπὶ τῆς γῆς, καὶ [ἐπὶ]
7 πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν καὶ λαόν· λέγων ἐν φωνῇ μεγάλῃ· Φοβήθητε τὸν θεὸν, καὶ δότε αὐτῷ δόξαν· ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ· καὶ προσκυνήσατε τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πηγὰς ὑδάτων.

(α) Α' Κορ. ΙΓ', 12. (β) Ἰωαν. ΙΔ', 2, (γ) Α' Κορ. ΙΕ', 41.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ *μεσουράνημα* [θαυμασίως] τὸ ὑψηλὸν δηλοῖ, καὶ τὸ οὐράνιον εἶναι τὸν φανέντα ἄγγελον, ἄνωθεν πεμφθέντα πρὸς τὸ χαμόθεν τοὺς ἀνθρώπους διὰ τῆς [ἑαυτοῦ] μεσότητος ἀναγαγεῖν εἰς οὐρανοὺς τῇ οἰκείᾳ μεσιτείᾳ θεομιμήτως· ὥστε ἑνωθῆναι τὸ τῆς ἐκκλησίας σῶμα Χριστῷ, τῇ κεφαλῇ ἡμῶν. Τὸ δὲ *αἰώνιον εὐαγγέλιον*, τὸ ἐξ αἰῶνος τοῦτο παρὰ [τῷ] θεῷ προωρίσθαι. Φησὶ δὲ τοῦτο, τὸν μὲν θεὸν φοβεῖσθαι, μὴ δειλιᾷν δὲ τὸν Ἀντίχριστον, μὴ δυνάμενον ἀποκτεῖναι τὴν ψυχὴν σὺν τῷ σώματι· ἀλλ' εὐθύμως αὐτῷ ἀντιτάξασθαι πρὸς ὀλίγον κρατοῦντι, διὰ τὴν ἐγγύτητα τῆς κρίσεως καὶ τῆς τῶν δεδιωμένων ἀνταποδόσεως.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Περὶ ἀγγέλου τὴν πτῶσιν Βαβυλῶνος κηρύττοντος.

8 Καὶ ἄλλος ἄγγελος δεύτερος ἠκολούθησε, λέγων· Ἔπεσεν, ἔπεσε Βαβυλὼν ἡ μεγάλη, ὅτι ἐκ τοῦ οἴνου [τοῦ θυμοῦ] τῆς πορνείας αὐτῆς πεπότικε πάντα τὰ ἔθνη.

Βαβυλῶνα καλεῖ φερωνύμως τὴν τοῦ κόσμου [τούτου] σύγχυσιν καὶ τὴν βιωτικὴν ταραχήν· ἣν ὅσον οὔπω προλέγει *πεσεῖν*, (ἤτοι ἐκλεῖψαι.) *Οἶνον* δὲ *θυμοῦ πορνείας* καλεῖ οὐ μόνον τὴν ἐξ εἰδωλολατρείας βακχείαν καὶ τῶν φρενῶν ἔκστασιν, ἀλλὰ καὶ τὴν ἐκ πάσης ἁμαρτίας μέθην καὶ παραφοράν· καθ' ἣν πάντες οἱ ἐκ θεοῦ πορνεύοντες, κατὰ τὸ ψαλμικὸν λόγιον, ἐξολοθρεύονται (α). *Πίπτει* δὲ ἡ τοιαύτη Βαβυλὼν τέλεον, ἐν τῇ ἀναδείξει τῆς ἄνω Ἱερουσαλὴμ, ἀνασπωμένη πρόῤῥιζος, τῶν τῆς ἀνομίας ἐργατῶν πεμπομένων εἰς τὸ πῦρ τὸ αἰώνιον.

(α) Ψαλμ. ΟΒ', 27.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

Περὶ [ἑτέρου] ἀγγέλου ἀσφαλιζομένου τοὺς πιστοὺς μὴ δέξασθαι τὸν Ἀντίχριστον.

9 Καὶ ἄλλος ἄγγελος τρίτος ἠκολούθησεν αὐτοῖς, λέγων ἐν φωνῇ μεγάλῃ· Εἴ τις προσκυνεῖ τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ λαμβάνει χάραγμα ἐπὶ
10 τοῦ μετώπου αὐτοῦ, ἢ ἐπὶ τῆς χειρὸς αὐτοῦ· καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ θεοῦ, τοῦ κεκερασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς αὐτοῦ· καὶ βασανισθήσεται ἐν πυρὶ καὶ θείῳ ἐνώπιον τῶν ἁγίων ἀγγέλων καὶ ἐνώπιον τοῦ ἀρνίου.

Εἴ τις, [φησί], τῷ τεθηριωμένῳ Ἀντιχρίστῳ ὑποκύπτει, [καὶ] δυσσεβῆ πολιτείαν μετέρχεται, τὴν ἐκεῖνον εἰκονίζουσαν, καὶ ἢ λόγῳ ἢ ἔργῳ τοῦτον κηρύσσει θεόν· (τοῦτο γὰρ δηλοῦν δύναται *τὸ ἐπὶ τοῦ μετώπου καὶ τῆς χειρὸς διδόμενον χάραγμα*·) καὶ αὐτὸς κοινωνήσει αὐτῷ τῆς τοῦ τιμωρητικοῦ ποτηρίου πόσεως, ἀκράτου μὲν καὶ ἀμιγοῦς θείων οἰκτιρμῶν, διὰ τὸ τῆς κρίσεως δίκαιον· κεκερασμένου δὲ ἐκ διαφόρων τιμωριῶν, διὰ τὸ τῆς αὐθαιρέτου κακίας πολυσχιδὲς καὶ πολύτροπον. Καλῶς δὲ *οἶνος θυμοῦ* καλεῖται ἡ κόλασις, ἐπακολούθημα οὖσα τοῦ τῆς ἀσεβείας οἴνου, τοῦ τοὺς πίνοντας μεθύσκοντος· ὅτι δι' ὧν τις ἁμαρτάνει, δι' αὐτῶν καὶ κολάζεται.

11 Καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτῶν εἰς αἰῶνα αἰώνων ἀναβαίνει·

Τὸν δὲ *καπνὸν τοῦ βασανισμοῦ*, ἢ τὸ ἄσθμα δεῖ νοεῖν, τὸ ἐκ τῶν κολαζομένων κάτωθεν μετὰ στεναγμῶν ἀναδιδόμενον· ἢ καπνόν, τὸν τοῦ πυρὸς ἐκπεμπόμενον, τοῦ τοὺς ἐκπεπτωκό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τας κολάζοντος. *Εἰς αἰῶνα δὲ αἰώνων* αὐτὸν *ἀναβαίνειν* λέγεται· ἵνα μάθωμεν ἀτελεύτητον εἶναι τὴν κύλασιν τῶν ἁμαρτωλῶν, ὥσπερ καὶ τὴν τῶν δικαίων τρυφὴν αἰώνιον.

Καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτὸς οἱ προσκυνοῦντες τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ εἴτις λαμβάνει τὸ χάραγμα τοῦ ὀνόματος αὐτοῦ.

Ἡμέραν καὶ *νύκτα* λέγει, οὐχ ὡς ἡλίῳ μετρουμένην τὴν τοῦ μέλλοντος αἰῶνος κατάστασιν, ἐν ᾗ μὴ ἔχειν ἀνάπαυσιν τοὺς ἀσεβεῖς προαγορεύει· ἀλλ' ἢ πρὸς τὴν ἐν τῷ παρόντι χρόνῳ συνήθειαν, τῷ νυξὶ καὶ ἡμέραις ἀριθμουμένῳ· ἢ *ἡμέρας* μὲν, τῆς τῶν ἁγίων ζωῆς νοουμένης· *νυκτὸς* δὲ, τῆς τῶν βεβήλων κολάσεως· ἧς τεύξονται οἱ τὰς διαβολικὰς πράξεις καὶ τὰς κατὰ Χριστοῦ βλασφημίας, δι' ὧν πράττουσιν, εἰκονίζοντες, τὴν εἰκόνα τοῦ ἀποστάτου θηρὸς καὶ τὸ τούτου ὄνομα ταῖς ἑαυτῶν καρδίαις [τὸ ἄτιμον] ὡς τίμιον ἐγχαράττοντες.

12 Ὧδε ἡ ὑπομονὴ τῶν ἁγίων ἐστίν· ὧδε οἱ τηροῦντες τὰς ἐντολὰς [τοῦ θεοῦ] καὶ τὴν πίστιν Ἰησοῦ [Χριστοῦ.]

Οἱ μὲν ἀσεβεῖς, [φησὶ], διηνεκῶς ἐν τῷ μέλλοντι αἰῶνι βασανισθήσονται· οἱ δὲ ἅγιοι, ὧδε τὴν τῆς ὑπομονῆς καρτερίαν ἐπιδείκνυνται, ἐν χρόνῳ ταχέως παραῤῥέοντι, τὰς θείας ἐντολὰς καὶ τὴν εἰς Χριστὸν πίστιν ἄσυλον φυλάττοντες.

13 Καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ λεγούσης μοι· Γράψον· Μακάριοι οἱ νεκροὶ οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες, ἀπάρτι· ναὶ, λέγει τὸ πνεῦμα· ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων αὐτῶν· τὰ δὲ ἔργα αὐτῶν ἀκολουθεῖ μετ' αὐτῶν.

Ἡ δὲ *ἐκ τοῦ οὐρανοῦ φωνὴ*, οὐ πάντας μακαρίζει τοὺς νεκροὺς, ἀλλὰ *τοὺς ἐν κυρίῳ ἀποθνήσκοντας*, τοὺς νεκρωθέντας τῷ κόσμῳ, καὶ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ροντας, καὶ [τῷ] Χριστῷ συμπάσχοντας. Ἐκείνοις γὰρ ὄντως ἡ τοῦ σώματος ἔξοδος, κόπων ἀνάπαυσις· ἡ δὲ τῶν ἔργων ἀκολούθησις, στεφάνων ἀμαράντων καὶ βραβείων δόξης ὑπόθεσις, πολλῷ τῷ μέτρῳ ὑπερνικώντων τῶν ἐπάθλων τοὺς ἄθλους, οὓς πρὸς τὰς ἀοράτους δυνάμεις οἱ Χριστοῦ, τοῦ θεοῦ ἡμῶν, ἀγωνισταὶ διήθλησαν. *Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι τοῖς τῷ θεῷ εὐαρεστοῦσι*, καθώς φησιν ὁ ἀπόστολος (α). Ἧς καὶ ἡμᾶς ὀρεγομένους, ἀπαύστως δεῖ τῷ θεῷ προσεύχεσθαι, λέγοντας· Κλῖνον τὰς καρδίας ἡμῶν, Κύριε, εἰς τὰ μαρτύριά σου· καὶ ἀπόστρεψον τοὺς ὀφθαλμοὺς ἡμῶν ἐκ πάσης ματαιότητος· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τῶν δούλων σου· ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν· ἀλλὰ τοῖς πλουσίοις σου οἰκτιρμοῖς ἐπίσκεψαι ἡμᾶς· ὅτι σὸν [τὸ ἔλεος καὶ] τὸ κράτος καὶ ἡ βασιλεία, καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

ΛΟΓΟΣ ΙΕ'.

Ὅπως ὁ ἐν τῇ νεφέλῃ καθήμενος τῷ δρεπάνῳ συντελέσει τὰ ἐκ τῆς γῆς βλαστάνοντα.

14 Καὶ εἶδον, καὶ, ἰδοὺ, νεφέλη λευκή, καὶ ἐπὶ τῆς νεφέλης καθήμενος ὅμοιος υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, [καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ.]

(α) Ρωμ. Η', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νεφέλην νοοῦμεν [ἢ] αἰσθητὴν, τὴν ὑπολαβοῦσαν [τὸν Κύριον ἡμῶν Ἰησοῦν] τὸν Χριστὸν ἀπὸ τῶν ἀποστολικῶν ὀφθαλμῶν (α)· ἢ ἀγγελικήν τινα δύναμιν, διὰ τὸ καθαρὸν καὶ μετέωρον, ὥς φησιν ὁ ψαλμῳδός· *Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ, καὶ ἐπετάσθη* (β). Διὸ λογιζόμεθα τὸν Χριστὸν εἶναι [τὸν] ἐπὶ τῆς νεφέλης ὀπτανθέντα *υἱῷ ἀνθρώπου ὅμοιον*· τὸν δὲ ἐπ' αὐτῷ *στέφανον*, σημαντικὸν εἶναι τῆς βασιλείας, τῶν τε ὁρατῶν καὶ ἀοράτων δυνάμεων· *χρυσοῦν* δὲ τοῦτον, διὰ τὸ παρ' ἡμῖν τῆς ὕλης ταύτης τίμιον· τὸ δὲ *δρέπανον*, συντελείας δηλωτικόν· καὶ γὰρ καὶ αὐτὸς ὁ Κύριος *θερισμὸν* τὴν τοῦ κόσμου συντέλειαν ἐκάλεσεν (γ).

15 Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ οὐρανοῦ, κράζων ἐν φωνῇ μεγάλῃ τῷ καθημένῳ ἐπὶ τῆς νεφέλης· Πέμψον τὸ δρέπανόν σου, καὶ θέρισον· ὅτι ἦλθέν ἡ ὥρα τοῦ θερίσαι· ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς
16 γῆς. Καὶ ἔβαλεν ὁ καθήμενος ἐπὶ τῆς νεφέλης τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν· καὶ ἐθερίσθη ἡ γῆ.

Ἡ δὲ τοῦ ἄλλου ἀγγέλου *κραυγὴ* περιφραστικῶς δηλοῖ τὴν ἱκεσίαν πασῶν τῶν οὐρανίων δυνάμεων, ἐφιεμένων τὴν μὲν τῶν δικαίων τιμὴν, τὴν δὲ τῶν ἁμαρτωλῶν τῆς ἀνομίας ἐκκοπὴν θεάσασθαι· ἐφ' ᾧ παύσασθαι τὰ κινούμενα καὶ παραῤῥέοντα, φανερωθῆναι δὲ τὰ ἀκίνητα καὶ μένοντα. Τὸ γὰρ *ξηρανθῆναι τὸν θερισμὸν*, δηλοῖ τὸ φθάσαι τὸν τῆς συντελείας καιρὸν, ὅτε, πεπανθεὶς ὡς σῖτος ὥριμος ὁ τῆς εὐσεβείας σπόρος, τῶν οὐρανίων ἀποθηκῶν ἀξιωθήσεται, εἰς τριάκοντα καὶ ἑξήκοντα καὶ ἑκατὸν τῷ γεωργῷ τὴν καρποφορίαν παρεχόμενος (δ).

(α) Πραξ. Α', 9. (β) Ψαλμ. ΙΖ', 11. (γ) Ματθ. ΙΓ', 39.
(δ) Ματθ. ΙΓ', 8. 23. Μαρκ. Δ', 8. 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

Περὶ [τοῦ] ἀγγέλου [τοῦ] τρυγῶντος τὴν τῆς πικρίας ἄμπελον.

17 Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν τῷ οὐρανῷ, ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ.

Εἰ καὶ ὁ Χριστὸς ὀνομάζεται *μεγάλης βουλῆς*, τῆς τοῦ πατρὸς, ἄγγελος (α), ἀλλ' ὁ παρὼν τῶν λειτουργικῶν εἶναι δυνάμεων ἐκ τῶν ἐξῆς δείκνυται· ἐκ μὲν τοῦ ἐν οὐρανοῖς ναοῦ σὺν ὀξεῖ δρεπάνῳ ἐξερχόμενος, τὴν δὲ τῶν λίαν ἀσεβῶν τρύγην ποιησόμενος.

18 Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου, ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρός· καὶ ἐφώνησε κραυγῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξὺ, λέγων· Πέμψον σου τὸ δρέπανον τὸ ὀξὺ, καὶ τρύγησον τοὺς βότρυας τῆς ἀμπέλου τῆς γῆς· ὅτι ἤκμασαν αἱ σταφυλαὶ αὐτῆς.

Ἐκ δὲ τοῦ εἰπεῖν, *ἄλλος ἄγγελος ἐξελθεῖν ἐκ τοῦ θυσιαστηρίου*, καὶ *ἔχειν ἐξουσίαν ἐπὶ τοῦ πυρὸς*, μανθάνομεν, τὰς ἀγγελικὰς δυνάμεις ἐπιτετάχθαι τοῖς κτίσμασι· τὴν μὲν, τοῖς ὕδασι· τὴν δὲ, τῷ πυρί· τὴν δὲ, ἑτέρῳ τινὶ μέρει τῆς κτίσεως. Τούτου τοίνυν τὸ τιμωρητικὸν, διὰ τοῦ ἐπιτετάχθαι τῷ πυρὶ, μανθάνομεν, τῶν ὑπερτέρων ἀγγέλων ὄντος. Ἐγκελεύσασθαι δέ φησι μετὰ κραυγῆς τῷ τὸ δρέπανον ἔχοντι, τρυγῆσαι τοὺς *τῆς ἀμπέλου τῆς γῆς βότρυας*· δι' ὧν οἱ τὸ ποτήριον τοῦ θυμοῦ Κυρίου πληροῦντες ἀσεβεῖς καὶ παράνομοι χαρακτηρίζονται· θυμὸν δρακόντων καὶ θυμὸν ἀσπίδων ἀντὶ οἴνου εὐφροσύνης τῷ ἀγαθῷ γεωργῷ καρποφορήσαντες.

(α) Ἡσ. Θ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

19 Καὶ ἔβαλεν ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ [εἰς τὴν γῆν,] καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς· καὶ ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ θεοῦ τὴν μεγάλην.

Ληνὸς δὲ τοῦ *θυμοῦ τοῦ θεοῦ*, ὁ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ ἡτοιμασμένος χῶρος κολάσεως· *μεγάλη* μέντοι, διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ βασανιζομένων· πλατεῖα γὰρ ἡ τῆς ἀπωλείας ὁδὸς καὶ εὐρύχωρος (α).

20 Καὶ ἐπατήθη ἡ ληνὸς ἔξω τῆς πόλεως· καὶ ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ ἄχρι τῶν χαλινῶν τῶν ἵππων, ἀπὸ σταδίων χιλίων ἑξακοσίων [ἑξ.]

[Ἔξω μὲν τῆς τῶν δικαίων πόλεως ἡ ληνὸς πατηθήσεται· οὐδαμοῦ γὰρ τῷ κλήρῳ τούτῳ ἡ ῥάβδος τῶν ἁμαρτωλῶν ἐγγιεῖ, κατὰ τὸ προφητικὸν λόγιον (β)· ἄμικτος γὰρ ἡ τούτων ἔσαι κατοίκησις, καθάπερ καὶ ὁ τρόπος γεγένηται. *Αἷμα* δὲ ἐκ τῶν ὑποδίκων πατουμένων χεόμενον, τὴν δικαίαν καὶ ἀδέκαστον τοῦ θεοῦ κρίσιν κέκληκεν. *Αἷμα* δὲ *σταφυλῆς*, ὁ οἶνος· οἴνου δὲ ἀκράτου πλήρης, διὰ τὸ τῆς θείας ὀργῆς ποτήριον· δι' οὗ ἡ ληψομένη τοὺς ἀξίους δείκνυται κόλασις· μέχρι μὲν τῶν χαλινῶν, ὡς θηλυμανῶν ἵππων, φθάνουσα· διότι χαλινὸν ἐν ταῖς ἡδοναῖς καὶ ταῖς ἀθεμιτουργίαις οὐκ ἔγνωσαν· ἀπὸ *χιλίων* δὲ καὶ *ἑξακοσίων σταδίων* προοῦσα, διὰ τὸ τῆς πονηρίας αὐτῶν τέλειον· ἡ χιλιὰς γὰρ, ἀριθμῶν τελειότατος· ἑξακοσιοστῷ δὲ ἔτει τοῦ Νῶε, τὴν ἁμαρτίαν ὕδατι κατακλυσθεῖσαν ἔγνωμεν (γ)· ἓξ δὲ, ὅτι τὴν ἐν ἑξαημέρῳ γεγενημένην κτίσιν τοῖς πονηροῖς καθύβρισαν ἐπιτηδεύμασιν· ἐργασίας δὲ ὁ τῶν ἓξ ἡμερῶν ἀριθμὸς σύμβολον, ἐν αἷς ὁ κόσμος συνέστη.]

Καὶ γὰρ ἔξω τῆς ἐπουρανίου πόλεως Ἱερουσαλὴμ, ὁ τῆς βασάνου τόπος, καὶ τῶν ταύτης ἀξίων. Τὸ δὲ, τὸ *αἷμα* αὐτῶν *ἄχρι τῶν χαλινῶν τῶν ἵππων* φθάσαι *ἀπὸ σταδίων χιλίων*

(α) Ματθ. ΧΙ', 13. (β) Ψαλμ. ΡΚΔ', 3. (γ) Γεν. Ζ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑξακοσίων, σημαίνειν εἰκὸς τοὺς τιμωροὺς ἀγγέλους· οὓς τροπικῶς ἵππους ὀνομάζειν τῇ θείᾳ Γραφῇ σύνηθες· μέχρι δὲ τῶν χαλινῶν αὐτῶν φθάνειν τὰς ἐκείνων οἰμωγὰς αἰκιζομένων· *χαλινοὺς* δὲ αἱ ἅγιαι δυνάμεις τὸ θεῖον ἔχουσι πρόσταγμα· ᾧ ἡνιοχοῦνται πρὸς τὰ κελευόμενα, ὥς φησιν Ἀββακούμ· *Ἐπιβήσει ἐπὶ τοὺς ἵππους σου* (α)· καὶ τὰ Ἄσματα· *Τῇ ἵππῳ μου ἐν ἅρμασι Φαραὼ ὡμοίωσά σε* (β). Δυνατὸν δὲ καὶ ἑτέρως νοηθῆναι· ὅτιπερ, ἐπειδὴ ἵπποι θηλυμανεῖς ἐγκείμενοι ταῖς ἡδοναῖς γεγόνασιν, ἄχρι τῶν χαλινῶν ταῖς τιμωρίαις ληφθήσονται, ἤτοι ταῖς κολάσεσι κατασχεθήσονται· ὅτι χαλινὸν ἐν ταῖς ἡδοναῖς οὐκ ἔγνωσαν. Διὰ δὲ *τῶν χιλίων ἑξακοσίων σταδίων* τὸ μέγα χάσμα, τὸ διορίζον τοὺς δικαίους ἀπὸ τῶν ἁμαρτωλῶν, διδασκόμεθα, διὰ τὸ ἐν πονηρίᾳ τέλειον, καὶ τὸ ὁδελυκτὸν ἐν ταῖς πράξεσι· τῆς μὲν δεκάδος τῶν ἑκατονταδων, δηλούσης τῆς κακίας τὸ μέγεθος· τῆς δὲ ἑξάδος αὐτῶν, τὴν ἐπιμελῆ τῆς ἁμαρτίας ἐργασίαν διὰ τὴν παράχρησιν τῆς ἐν ἑξάδι ἡμερῶν δημιουργηθείσης κτίσεως, καὶ τὸ ἐν ἑξακοσιοστῷ ἔτει τοῦ Νῶε πᾶσαν κατακλυσθῆναι τὴν ἤπειρον.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

Περὶ τῶν ἑπτὰ ἀγγέλων, τῶν ἐπαγόντων τοῖς ἀνθρώποις τὰς πρὸ τῆς συντελείας πληγάς· καὶ περὶ τῆς ὑαλίνης θαλάσσης, [ἧς ἑώρακεν ἐν τῇ ἀποκαλύψει.]

ΚΕΦ. XV, 1 Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυμαστὸν, ἀγγέλους ἑπτὰ, ἔχοντας

(α) Ἀββακ. Δ', 8. (β) Ἄσμ. Α', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑπτὰ πληγὰς τὰς ἐσχάτας· ὅτι ἐν αὐταῖς ἐτελέσθη ὁ θυμὸς τοῦ θεοῦ.

Πανταχοῦ τὸν ἕβδομον ἀριθμὸν παραλαμβάνει· τὰς ἐν ταῖς ἑπτὰ ἡμέραις τοῦ παρόντος αἰῶνος τολμωμένας ἀδικίας, ἑπτὰ πληγαῖς καὶ ἑπτὰ ἀγγέλοις σημαίνων ἀναστέλλεσθαι· μεθ' ἃς τὴν μέλλουσαν τῶν ἁγίων διαγωγὴν *διὰ τῆς ὑαλίνης θαλάττης* ἐντάττεσθαι.

2 Καὶ εἶδον ὡς θάλασσαν ὑαλίνην μεμιγμένην πυρί· καὶ τοὺς νικῶντας ἐκ τοῦ θηρίου καὶ ἐκ τῆς εἰκόνος αὐτοῦ, καὶ ἐκ τοῦ χαράγματος αὐτοῦ, καὶ ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ, ἑστῶτας ἐπὶ τὴν θάλασσαν τὴν ὑαλίνην, ἔχοντας κιθάρας τοῦ θεοῦ·

Τὴν *ὑαλίνην* δὲ *θάλασσαν* σημαίνειν ἡγούμεθα τό τε πλῆθος τῶν σωζομένων, τῆς τε μελλούσης λήξεως τὴν καθαρότητα, καὶ τὴν τῶν ἁγίων λαμπρότητα, ἣν ταῖς τῆς ἀρετῆς μαρμαρυγαῖς ἐκλάμψουσιν [ὡς ὁ ἥλιος.] Τὸ δὲ *μεμίχθαι* αὐτῇ *πῦρ*, τὸ γεγραμμένον τῷ ἀποστόλῳ, [τὸ φάσκον]· Ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει (α), νοεῖσθαι δυνατόν, εἰ καὶ τοὺς καθαροὺς καὶ ἀκιβδήλους τοῦτο οὐ λυμαίνεται, διακοπτόμενον [ἀφειδῶς] εἰς διττὰς ἐνεργείας, κατὰ τὸ ψαλμικὸν λόγιον· καὶ τοῦ μὲν καυστικοῦ, τοῖς ἁμαρτωλοῖς· τοῦ δὲ φωτιστικοῦ, τοῖς δικαίοις ἀπονεμηθησομένου, ὡς νενόηκεν ὁ μέγας Βασίλειος. Εἰκὸς δὲ διὰ τοῦ πυρὸς καὶ τὴν θείαν γνῶσιν καὶ τὴν τοῦ ζωοποιοῦ πνεύματος χάριν γινώσκεσθαι. Ἐν πυρὶ γὰρ ὤφθη τῷ Μωσῇ ὁ θεός (β)· καὶ ἐν εἴδει γλωσσῶν πυρὸς τὸ [ἅγιον] πνεῦμα τοῖς ἀποστόλοις ἐπεφοίτησε (γ). Τὰς δὲ *κιθάρας* ἐμφαίνειν τὴν τῶν μελῶν νέκρωσιν, καὶ τὴν ἐμμελῆ ζωὴν ἐν συμφωνίᾳ τῶν ἀρετῶν, κρουομένην τῷ πλήκτρῳ τοῦ θείου πνεύματος.

3 Καὶ ᾄδοντας τὴν ᾠδὴν Μωσέως τοῦ δούλου τοῦ

(α) Α' Κορ. Γ', 13. (β) Ἐξοδ. Γ', 2. (γ) Πραξ. Β', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεοῦ, καὶ τὴν ᾠδὴν τοῦ ἀρνίου, λέγοντας· Μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, Κύριε ὁ θεὸς ὁ παντοκράτωρ· δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, βασιλεῦ
4 τῶν ἐθνῶν. Τίς οὐ μὴ φοβηθῇ, Κύριε, καὶ δοξάσῃ τὸ ὄνομά σου ; ὅτι μόνος εἶ ἅγιος· ὅτι πάντα τὰ ἔθνη ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου· ὅτι τὰ δικαιώματά σου ἐφανερώθησαν.

Ἐκ μὲν τῆς τοῦ *Μωσέως ᾠδῆς*, τῶν ἐν νόμῳ πρὸ τῆς χάριτος δικαιωθέντων τὴν ὑμνῳδίαν τῷ θεῷ ἀναπεμπομένην μανθάνομεν· ἐκ δὲ τῆς τοῦ *ἀρνίου ᾠδῆς*, τῶν μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν ὁσίως πολιτευσαμένων τὴν ἀκατάπαυστον [ὑμνῳδίαν καὶ] εὐχαριστίαν ἐπὶ ταῖς εἰς τὸ γένος ἡμῶν ἐπελθούσαις ὑπ' αὐτοῦ εὐεργεσίαις καὶ χάρισιν· ὅτι πάντα τὰ ἔθνη εἰς τὴν οἰκείαν ἐπίγνωσιν διὰ τῶν θεσπεσίων ἀποστόλων κέκληκε.

5 Καὶ μετὰ ταῦτα εἶδον, καὶ ἠνοίγη ὁ ναὸς τῆς σκη-
6 νῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ· καὶ ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι [οἱ] ἔχοντες τὰς ἑπτὰ πληγὰς ἐκ τοῦ ναοῦ, ἐνδεδυμένοι λίνον καθαρὸν, λαμπρὸν, καὶ περιεζωσμένοι περὶ τὰ στήθη ζώνας χρυσᾶς.

Σκηνὴν δέ φησιν ἐνταῦθα τὴν ἐν οὐρανοῖς· ἧς καθ' ὁμοίωσιν τῇ Μωσῇ πῆξαι τὴν κάτω σκηνὴν ὁ θεὸς ἐχρημάτισεν. Ἐκ τούτου δὲ τοῦ ναοῦ ἐξελεύσεσθαί φησι τοὺς ἀγγέλους *ἐνδεδυμένους λίνον*, ἢ λίθον, καθά τινα τῶν ἀντιγράφων ἔχουσι, καθαρὸν, διά [τε] τὴν τῆς φύσεως αὐτῶν καθαρότητα, καὶ τὴν πρὸς τὸν ἀκρογωνιαῖον λίθον Χριστὸν ἐγγύτητα, καὶ τῶν ἀρετῶν τὴν λαμπρότητα· *ἐζωσμένους δὲ περὶ τὰ στήθη ζώνας χρυσᾶς*, διὰ τὸ τῆς φύσεως δυνατόν τε καὶ καθαρὸν καὶ τίμιον, καὶ τὸ ἐν ταῖς διακονίαις ἀνεμπόδιστον.

7 Καὶ ἓν τῶν τεσσάρων ζώων ἔδωκε τοῖς ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς, γεμούσας τοῦ θυμοῦ τοῦ θεοῦ, τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τὸ δὲ ἐκ τῶν τεσσάρων ζώων λαβεῖν τοὺς *ἑπτὰ ἀγγέλους* τὰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑπτὰ [χρυσᾶς] φιάλας, τὰς γεμούσας τοῦ θυμοῦ Κυρίου, καθὼς καὶ ἐν τῷ Ἰεζεκιὴλ φησι, δῆλοῖ ἐκ τῶν πρώτων ἀεὶ εἰς τὰ δεύτερα τὴν γνῶσιν τῶν πρακτέων ἐν οὐρανοῖς μετοχετεύεσθαι, κατὰ τὸν μέγαν Διονύσιον.

8 Καὶ ἐγεμίσθη ὁ ναὸς καπνοῦ ἐκ τῆς δόξης τοῦ θεοῦ, καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ·

Διὰ δὲ τοῦ καπνοῦ, τὸ φοβερὸν καὶ καταπληκτικὸν [καὶ κολαστικὸν] τῆς θείας ὀργῆς μανθάνομεν· ἧς πληροῦσθαι τὸν ναὸν διδασκόμεθα, καὶ κατὰ τῶν ἀξίων αὐτῆς χωρεῖν ἐν τῷ καιρῷ τῆς κρίσεως· καὶ πρὸ ταύτης δὲ κατὰ τῶν τῷ Ἀντιχρίστῳ πειθομένων, καὶ τὰ τῆς ἀποστασίας ἔργα πραττόντων, καὶ τοῦτο τοῖς ἑξῆς δείκνυται· φησὶ γάρ·

Καὶ οὐδεὶς ἠδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν, ἄχρι τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἀγγέλων.

Ἐντεῦθεν στοχαζόμεθα, ἄχρι τοῦ διασαλῆναι τῶν δικαίων τὴν θείαν κατὰ τῶν ἀσεβῶν ἀγανάκτησιν, μηδαμῶς τοὺς ἁγίους τῆς ἐν τῇ ἄνω Ἱερουσαλὴμ τυχεῖν λήξεως, καὶ τῆς ἐν τῷ ναῷ τοῦ θεοῦ ἱερουργίας καὶ ἀναπαύσεως. *Τελεσθῆναι* γὰρ δεῖ, [φησὶ], *τὰς πληγὰς*, δι' ὧν τὰ ἐπίχειρα τῆς ἁμαρτίας τοῖς ἀξίοις παρέρχεται· καὶ τούτους τῆς αἱρεθείσης αὐτοῖς τυχεῖν ἀποφάσεως· εἶθ' οὕτω δοθῆναι τοῖς ἁγίοις τὴν τῆς ἄνω μητροπόλεως οἴκησιν. Τῶν δὲ πληγῶν ἑκάστην τοῖς ἐν τῇ συντελείᾳ εὑρισκομένοις προσαρμόζων τις, οὐκ ἂν τοῦ πρέποντος, [οἶμαι], διαμάρτοι. Φιλάνθρωπος γὰρ ὢν ὁ θεὸς, πρὸς τὸ σμικρυνθῆναι τὰς ἐν τῷ μέλλοντι ἀτελευτήτους κολάσεις, καὶ ἐν τῇ παρούσῃ ζωῇ τοῖς ἀξίοις ἐπαχθῆναι συγχωρήσει διά τε Ἐνὼχ καὶ Ἠλιοῦ τῶν προφητῶν τιμωρητικὰς μάστιγας, διά τε τῶν ἐκ πολέμων συμπιπτόντων ἀλγεινῶν, πρὸς μετρίαν τῶν ἡμαρτημένων ἔκτισιν. Ἀλλ' ἡμεῖς παιδεύεσθαι πατρικῶς, ἀλλ' οὐ μαστιγοῦσθαι κολαστικῶς ἐν ὀργῇ [παρὰ] τοῦ Κυρίου εὐξώμεθα· οὐ γάρ ἔστιν

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἴασις, [φησί], τῇ σαρκὶ ἡμῶν ἀπὸ προσώπου τῆς ὀργῆς αὐτοῦ (α)· ὅπως τὰς ῥυπωθείσας ἡμῶν στολὰς ταῖς ἁμαρτίαις δάκρυσι μετανοίας ἐκπλύναντες, καὶ νυμφικῶς ἐσταλμένοι, εἰς τὸν ἀκατάλυτον τῆς εὐφροσύνης νυμφῶνα εἰσέλθωμεν Χριστοῦ τοῦ θεοῦ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, [νῦν καὶ ἀεὶ, καὶ] εἰς τοὺς αἰῶνας [τῶν αἰώνων.] Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΜΣ'.

ΛΟΓΟΣ ΙΣΤ'.

Ὅπως, τῆς πρώτης φιάλης ἐκχεθείσης, ἕλκος κατὰ τῶν ἀποστατῶν γίνεται.

ΚΕΦ. XVI, 1 Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ ναοῦ, λεγούσης τοῖς ἑπτὰ ἀγγέλοις· Ὑπάγετε, [καὶ] ἐκχέατε τὰς [ἑπτὰ] φιάλας τοῦ θυμοῦ τοῦ θεοῦ εἰς τὴν
2 γῆν. Καὶ ἀπῆλεν ὁ πρῶτος [ἄγγελος], καὶ ἐξέχεε τὴν φιάλην [αὐτοῦ]ἐπὶ τὴν γῆν· καὶ ἐγένετο ἕλκος [κακὸν καὶ] πονηρὸν εἰς τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου, καὶ τοὺς προσκυνοῦντας τὴν εἰκόνα αὐτοῦ.

Ἡ *φιάλη* ἐνταῦθα, καθάπερ [καὶ] τὸ *ποτήριον*, ἐπὶ κολαστικῆς ἐνεργείας ἐκλαμβάνεται· ἧς φησιν ὑπὸ τοῦ ἀγγέλου ἐκχεθείσης, *ἕλκος πονηρὸν* γενήσεσθαι, τὴν ἐν καρδίᾳ πύου δίκην σφύζουσαν ὀδύνην αἰνιττόμενον, τὴν ἐγγινομένην ταῖς τῶν ἀποστατῶν καρδίαις, ὅταν θεηλάτοις πληγαῖς μαστιζόμενοι, μηδεμιᾶς παρὰ τοῦ θεοποιηθέντος παρ' αὐτῶν Ἀντιχρίστου ἰάσεως τεύξωνται. Εἰκὸς δὲ καὶ αἰσθητῶς τὰ τούτων τραυματί-

(α) Ψαλμ. ΛΖ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζεσθαι [σώματα,] πρὸς ἔλεγχον τῆς ἑλκωθείσης αὐτῶν ψυχῆς τοῖς διαβολικοῖς τῆς πλάνης τοῦ ἀπατεῶνος [καὶ Ἀντιχρίστου καὶ ἀποστάτου] βέλεσι.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

Πληγὴ δευτέρα κατὰ τῶν ἐν θαλάσσῃ [ψυχῶν.]

3 Καὶ ὁ δεύτερος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν· καὶ ἐγένετο αἷμα ὡς νεκροῦ· καὶ πᾶσα ψυχὴ ζῶσα ἀπέθανεν ἐν τῇ θαλάσσῃ.

Οὐ μέγα ἐν τῇ θείᾳ δυνάμει πρὸς ἔλεγχον τῆς τοῦ ψευδοχρίστου ἀσθενείας, καὶ [τῆς] τῶν ἀπατωμένων εὐκολίας, διὰ τῶν ἁγίων προφητῶν Ἐνὼχ καὶ Ἡλιοῦ μεταβαλεῖν εἰς αἷμα ὡς νεκροῦ, τουτέστιν [ὡς] ἐσφαγμένου, τὴν θάλασσαν, καὶ φθορὰν τῶν ἐν αὐτῇ ἀπεργάσασθαι, καθάπερ πάλαι ἐν Αἰγύπτῳ διὰ Μωσέως πεποίηκε, πρὸς ἔλεγχον τῆς τοῦ Φαραὼ σκληρότητος, καὶ τῆς οἰκείας δυνάμεως ἔνδειξιν· ὅπως καὶ οἱ βεβαιόπιστοι νευρωθῶσι, καὶ οἱ ἀστήρικτοι φοβηθῶσι, τὴν κτίσιν ἀντιτασσομένην αὐτοῖς ἐπὶ τῇ τοῦ λυμεῶνος τιμῇ θεώμενοι. Εἰκὸς δὲ καὶ τὰς ἐν τῇ αὐτοῦ παρουσίᾳ ἐν πολέμοις σφαγὰς, διὰ τούτων σημαίνεσθαι· ὅτι τοῦ Γὼγ καὶ Μαγὼγ κατ' ἀλλήλων κινουμένων ἐν τοῖς τέτρασι τῆς οἰκουμένης μέρεσι, προσέτι δὲ καὶ τῶν ἀπειθούντων αὐτῷ βασιλέων πανστρατιᾷ κατακοπτομένων, καὶ σφαγῶν κατὰ τόπους γινομένων, ἡ μὲν θάλασσα ταῖς ναυμαχίαις [αἵματι] μολυνθήσεται· οἱ δὲ ποταμοὶ, τοῖς τῶν ἐκεῖ θνησκόντων αἵμασι κερασθήσονται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

Ὅπως διὰ τῆς τρίτης [πληγῆς] οἱ ποταμοὶ εἰς αἷμα μετακεράννυνται

4 Καὶ ὁ τρίτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς
τοὺς ποταμοὺς, καὶ εἰς τὰς πηγὰς τῶν ὑδάτων· καὶ
5 ἐγένετο [εἰς] αἷμα. Καὶ ἤκουσα τοῦ ἀγγέλου τῶν
ὑδάτων, λέγοντος· Δίκαιος εἶ ὁ ὢν καὶ ὁ ἦν, ὁ ὅσιος·
6 ὅτι ταῦτα ἔκρινας· ὅτι αἷμα ἁγίων καὶ προφητῶν
ἐξέχεαν, καὶ αἷμα αὐτοῖς ἔδωκας πιεῖν· ἄξιοί εἰσι.

Κἀντεῦθεν δείκνυται, τοῖς στοιχείοις ἐπιτετάχθαι ἀγγέλους, ὡς [καὶ] ἀνωτέρω εἴρηται· ὧν ἕνα [ὄντα] καὶ τὸν ἐπὶ τῶν ὑδάτων, φησὶν ὑμνεῖν τὸν θεὸν ἐπὶ τῇ κατ' ἀξίαν ἐπενεχθείσῃ καταδίκῃ τοῖς παραβεβηκόσιν· ὅτι τοῖς τὰς χεῖρας μολύνασι τοῖς τῶν ἁγίων αἵμασιν, αἷμα πρὸς ποτὸν δέδωκε. Δείκνυται δὲ διὰ τούτων, ἢ τὸ πολλοὺς ἐν τῷ καιρῷ ἐκείνῳ διὰ τῆς ἑδραίας ἐν τῇ πίστει στάσεως τοῦ προφητικοῦ ἀξιοῦσθαι χαρίσματος, τοὺς καὶ ὑπὸ τῶν τοῦ διαβόλου ὑπασπιστῶν ἀναιρουμένους· ἢ [τὸ] τοὺς τῶν θείων προφητῶν ἀποστρεφομένους τὸ κήρυγμα, καὶ δικαιοῦντας αὐτῶν τὴν ὑπὸ τῶν σκληροκαρδίων Ἑβραίων ἀναίρεσιν, κοινωνοὺς τῆς αὐτῶν σφαγῆς τῇ προθέσει γίνεσθαι· καθὰ καὶ ὁ Κύριος τοῖς Ἰουδαίοις ἔλεγεν, ὅτι [οἱ] οἰκοδομοῦντες τὰ τῶν προφητῶν μνήματα, συνευδοκοῦσι τῇ ἀναιρέσει αὐτῶν (α).

7 Καὶ ἤκουσα ἐκ τοῦ θυσιαστηρίου λέγοντος· Ναὶ, Κύ-
ριε ὁ θεὸς ὁ παντοκράτωρ, ἀληθιναὶ καὶ δίκαιαι αἱ
κρίσεις σου.

Τὸ *θυσιαστήριον*, ποτὲ μὲν τὸν Χριστὸν δηλοῖ, ὡς ἐν αὐτῷ

(α) Ματθ. ΚΣ', 29 — 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ δι' αὐτοῦ προσφερομένων τῷ πατρὶ τῶν λογικῶν ὁλοκαρπώσεων, καὶ τῶν ζωσῶν θυσιῶν, ἃς προσφέρειν ἐκ τοῦ ἀποστόλου δεδιδάγμεθα (α)· ποτὲ δὲ τὰς ἀγγελικὰς δυνάμεις, ὡς ἀναγωγικὰς τῶν ἡμετέρων προσευχῶν καὶ τῶν πνευματικῶν ὁλοκαρπώσεων· ἃς εἰς διακονίαν ἀποστελλομένας διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν ἠκούσαμεν (β). Ἐκ τούτου τοίνυν τοῦ λειτουργικοῦ θυσιαστηρίου φησὶ τὴν φωνὴν ἐξενεχθῆναι, δικαιοῦσαν τὰ πάντα νοῦν καὶ λόγον ὑπερβαίνοντα τοῦ θεοῦ κρίματα. Ἐπεὶ τοίνυν χαίρειν μὲν καὶ ἑορτάζειν τὰς νοερὰς δυνάμεις ἐπὶ τῇ τῶν ἐκ μετανοίας ἐπιστρεφόντων σωτηρίᾳ τοῖς εὐαγγελικοῖς λόγοις ἐδιδάχθημεν (γ), λυπεῖσθαι δὲ ἐπὶ τῇ τούτων τῆς εὐθείας ὁδοῦ παρατροπῇ, εὐχαριστεῖν δὲ τῷ θεῷ ἐπὶ τῇ τῶν παραβαινόντων τὰς θείας ἐντολὰς κολάσει, ὡς ἂν μερικὴν τῶν ὀρλημάτων ποιήσωνται ἔκτισιν, σπουδάσωμεν τὴν ἐπὶ τῇ ἐπιστροφῇ ἡμῶν τούτοις προξενῆσαι εὐφροσύνην καὶ ἀγαλλίασιν· ἐννοοῦντες ἑκάστῳ ἡμῶν θεῖον παρεπόμενον ἄγγελον, [ἀῤῥήτῳ τινὶ λόγῳ] τὰ πρακτέα ἡμῶν εἰσηγεῖσθαι, ἅτε νοῦν ἀφανῶς τῷ ἡμετέρῳ νοὶ προσομιλοῦντα, καὶ, ἐφ' οἷς μὲν ἀκούεται συμβουλεύων, χαίροντα· ἐφ' οἷς δὲ παρακούεται, θεομισήτως λυπούμενον, ὡς [καὶ] ἐκ ψυχωφελῶν διηγημάτων ἔγνωμεν. Ἀνδρὶ γάρ τινι μελανθέντι πολλοῖς παραπτώμασι καὶ εἰς τὴν ἐκκλησίαν εἰσιόντι, σκυθρωπὸν μακρόθεν τὸν ἄγγελον ἔπεσθαι· τούτου δὲ κατανυγέντος [πρὸς ἐπιστροφὴν] καὶ τῷ θελητῇ τοῦ ἐλέους ἐπαγγειλαμένου ἐκ ψυχῆς τὴν ἐπὶ τὰ βελτίονα μεταβολὴν καὶ τῆς προτέρας ζωῆς ἄρνησιν, ἐξιόντος [τοῦ ἀνθρώπου] ἐκεῖθεν, προηγεῖσθαι [αὐτῷ τὸν ἄγγελον] φαιδρὸν καὶ γεγηθότα· τὸν δὲ πονηρὸν δαίμονα κατηχυμμένον ἀκολουθεῖν πόῤῥωθεν· [εἰ καὶ πρὸ τῆς θεαρέστου τοῦ ἀνθρώπου συναισθήσεως ἔχαιρε.] Γένοιτο δὲ τὴν ἔνθεον ἡμῶν πολιτείαν, τοῖς μὲν

(α) Ῥωμ. ΙΒ', 1. (β) Ἑβρ. Α', 14. (γ) Λουκ. ΙΕ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δαίμοσι κατηφείας, τοῖς δὲ ἀγγέλοις εὐφροσύνης γενέσθαι ὑπόθεσιν· ἵνα κοινῇ σὺν αὐτοῖς ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἦχου ἑορτάζοντος, Χριστῷ τῷ θεῷ ἡμῶν ἐπὶ τῇ νίκῃ τῶν πονηρῶν δυνάμεων εὐχαριστήσωμεν· μεθ' οὗ τῷ Πατρὶ [πρέπει ἅμα] καὶ τῷ ἁγίῳ Πνεύματι δόξα, [νῦν καὶ ἀεὶ, καὶ] εἰς τοὺς αἰῶνας [τῶν αἰώνων.] Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΜΘ'.

ΛΟΓΟΣ ΙΖ'.

Ὅπως διὰ τῆς τετάρτης [πληγῆς] καυματίζονται οἱ ἄνθρωποι.

8 Καὶ ὁ τέταρτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἥλιον· καὶ ἐδόθη αὐτῷ καυματίσαι τοὺς ἀν-
9 θρώπους ἐν πυρί. Καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα μέγα· καὶ ἐβλασφήμησαν τὸ ὄνομα τοῦ θεοῦ τοῦ ἔχοντος [τὴν] ἐξουσίαν ἐπὶ τὰς πληγὰς ταύτας· καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν.

Ἴσως μὲν καὶ αἰσθητῶς τῷ τοῦ ἡλίου φλογμῷ τοτηνικαῦτα καυματισθήσονται οἱ ἄνθρωποι, τοῦ φιλανθρώπου θεοῦ ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας τῶν μὴ ἐγγιζόντων πρὸς αὐτὸν ἄγχοντος (α), ἵνα πρὸς μετάνοιαν ἕλκωσιν· εἰ καὶ [οἱ] εἰς βάθος κακῶν ἐμπεσόντες, οὐ πρὸς ἐπιστροφὴν, ἀλλὰ πρὸς βλασφημίαν μοχθηρίᾳ γνώμης ἐξενεχθήσονται. Ἴσως δὲ διὰ τοῦ ἡλίου καὶ τὸν τῆς ἡμέρας δρόμον αἰνίττεται· ὃν ἅπαντα τῷ τῶν πειρασμῶν καύσωνι τοὺς ἀξίους μαστίγων φησὶ καυματίζεσθαι, ἵνα τῇ τῶν ἀλγεινῶν ἐπαγωγῇ, τὴν μητέρα τούτων, τὴν ἁμαρτίαν, μισήσωσιν. Ἀλλ' οἱ ἄφρονες, ἀντὶ τῆς τῶν οἰκείων πταισμά-

(α) Ψαλμ. ΜΑ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των ἐπιγνωμοσύνης, κατὰ τοῦ θεοῦ τὴν γλῶτταν ἀκονήσουσιν· ὡς καὶ νῦν ὁρᾷν ἔξεστι πολλοὺς, τοῖς κυκλώσασιν ἡμᾶς ἐκ βαρβαρικῶν χειρῶν ἀῤῥήτοις δεινοῖς ἀσχάλλοντας, τὴν θείαν αἰτιᾶσθαι ἀγαθότητα· ὅτι τὰς τοσαύτας κακώσεις τῇ ἡμετέρᾳ γενεᾷ τετήρηκεν.

ΚΕΦΑΛΑΙΟΝ Ν'.

Ὅπως διὰ τῆς πέμπτης [πληγῆς] ἡ βασιλεία τοῦ θηρίου σκοτίζεται.

10 Καὶ ὁ πέμπτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τοῦ θρόνου τοῦ θηρίου· καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτισμένη· καὶ ἐμασσῶντο τὰς γλώσσας
11 αὐτῶν ἐκ τοῦ πόνου. Καὶ ἐβλασφήμησαν τὸν θεὸν τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν καὶ [ἐκ] τῶν ἑλκῶν αὐτῶν· καὶ οὐ μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν.

Τὸ *ἐπιχεθῆναι τὴν φιάλην ἐπὶ τὸν τοῦ θηρίου θρόνον*, σημαίνει τὸ ἐπὶ τὴν βασιλείαν τοῦ Ἀντιχρίστου τὴν τοιαύτην ὀργὴν ἐκχεῖσθαι, καὶ ἐσκοτισμένην δείκνυσθαι, ἅτε ἀφεγγῆ τῷ τῆς δικαιοσύνης ἡλίῳ τυγχάνουσαν. Ἡ δὲ τῶν *γλωσσῶν μάσησις*, τὴν ὑπερβολὴν τῆς ὀδύνης δηλοῖ, ἣ οἱ πλανηθέντες ὑπ' αὐτοῦ κατασχεθήσονται, ὑπὸ τῶν θεηλάτων πληγῶν μαστιζόμενοι· ὅπως ἂν, γνόντες ὅτι ἀπατηλός ἐστιν ὁ παρ' αὐτῶν ὡς θεὸς δοξαζόμενος, τῆς πλάνης παύσωνται· οἱ δὲ, οὐδὲ ἐντεῦθεν πρὸς μετάνοιαν, ἀλλὰ πρὸς βλασφημίαν [μᾶλλον] τραπήσονται. [Εἰ δὲ οὗτοι ἐν τῇ τῶν μαστίγων ἐπαγωγῇ πρὸς βλασφημίαν τραπήσονται,] καὶ οἱ ἐν τοῖς κατόπιν ὑπὸ τῆς ταλαντιαίας χαλάζης πληττόμενοι, τὸ αὐτὸ πείσονται [πάντως,] καθὼς ἐν τῷ τόπῳ γενόμενοι, σὺν θεῷ, σαφηνιοῦμεν, ὡς δυνάμεθα. Καὶ οἱ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πονηροὶ δαίμονες διὰ τῶν ἀνθρωπίνων σωμάτων, οἷς ὀργάνοις κέχρηνται, ὑπὸ τῶν ἁγίων αἰκιζόμενοι, βλασφημεῖν ὅμως τοὺς μαστίζοντας οὐκ ἀπέχονται. Διασκεπτέον δὲ τί ἄρα δεῖ ἡμᾶς περὶ τῶν ἀσεβῶν [τῶν] ἐν τῇ γεέννῃ τοῦ πυρὸς καλαζομένων λογίζεσθαι· ὡς ἄρα ταύτῃ τῆς ἐμφύτου κακίας μέχρις αὐτῆς ἐννοίας ἀποπαυομένων τέλεον, ἢ μόνον ἐπεχομένων τὸ εἰς ἔργον ἐξενεγκεῖν τὰ πονηρὰ βουλεύματα, καθάπερ τοὺς κακούργους τοὺς ἐν ταῖς εἱρκταῖς βαλλομένους, καὶ ἀνάγκῃ, ἀλλ' οὐ γνώμῃ, τῆς καθ' ἑτέρων ἐπιβουλῆς ἀπεχομένους. Ἐγὼ μὲν γὰρ αἰώνιον ἀκούων τὴν κόλασιν, τῷ ἀπορηναμένῳ ἀπιστεῖν οὐ δύναμαι· τὸ δὲ πρὸς εὐσπλαγχνίαν καὶ ἀγαθότητα εἰδὼς αὐτοῦ ἑτοιμότατον, στοχάζομαι μηδαμῶς ἂν αὐτὸν ἢ ἀπειλήσειν ἢ ἐπάξειν τοῖς ἀξίοις τὴν καταδίκην ἀπέραντον, εἰ τοὺς καταδικασθέντας ἴδοι μετανοήσαντας καὶ μισήσαντας τὴν κακίαν, ἣν αὐθαιρέτως [ἠγάπησαν·] οὐ γὰρ ἀνάγκῃ, [ἀλλ'] ἑκόντες δι' αὐτὴν καλάζονται. Εἰ γὰρ τῷ Φαραῷ, καίπερ εἰδὼς ἐν [μὲν] ταῖς μαστιξι μαλασσόμενον, μετὰ [δὲ] τὴν τούτων ἀπαλλαγὴν πάλιν σκληρυνόμενον, ὅμως φειδοῦς ἀξιῶν, ἠφίει τῶν μαστίγων ὑπὸ τοῦ Μωσέως παρακαλούμενος· πόσῳ μᾶλλον τούτοις, εἴπερ αὖ τοὺς τῷ πυρὶ τὸν ῥύπον ἀποτιθεμένους ἐγίνωσκε κατὰ τὴν εἰκόνα τοῦ χρυσοῦ, ἣν ἐν τῇ ὑποθέσει ταύτῃ τινὲς ἐξειλήφασιν εἰς παράδειγμα; Ἀλλὰ τῷ μὲν χρυσῷ, ἅτε ἀψύχῳ, φυσικῶς ὁ ῥύπος πρόσεστι· τοῖς δὲ λογικοῖς, γνωμικῶς συνέζευκται· μᾶλλον δὲ ἐξ αὐτῶν ἀποικεύηται. Διὸ οἱ τὴν ἀγαθότητα τοῦ θεοῦ καὶ τὴν πρόγνωσιν καὶ τὴν δύναμιν, κώλυμα τῆς αἰωνίου τιθέμενοι κολάσεως, καὶ τὴν δικαιοσύνην ταύταις προσζευγνύτωσαν, ἅτε ἀπονεμητικὴν οὖσαν ἑκάστῳ τῶν πρὸς ἀξίαν· καὶ οὐδαμῶς πρὸς ἀνατροπὴν τῆς θείας ἀποφάσεως ὄψονται. Εἰ δὲ [καὶ] μὴ βούλονται, κἂν καὶ τοὺς ἐπὶ γῆς βασιλεῖς αἰτιάσθωσαν, ἵνα ὦσιν ἑαυτοῖς γοῦν σύμφωνοι· προειδότας μὲν μὴ ἅπαντας τοὺς ἀγωνιζομένους πάλην, καὶ πυγμὴν, καὶ δρόμον, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἵππων ἅμιλλαν νικήσαντας, ἀλλ' ἕνα καὶ μόνον ἐξ ἑκατέρου τούτων στεφθησόμενον· πᾶσι δὲ ὅμως ἀνοιγνύντας πρὸς ἀγῶνα τὸ στάδιον. Ὅπερ γὰρ τοῖς ἀγωνιζομένοις τὸ στάδιον, τοῦτο πᾶσιν [ἀνθρώποις] ἡ εἰς τόνδε τὸν βίον πάροδος· γεννηθῆναι μὲν γὰρ ἢ μὴ γεννηθῆναι, οὐκ ἐφ' ἡμῖν· ἀγωνίσασθαι δὲ καὶ νικῆσαι τοὺς πονηροὺς δαίμονας, καὶ τῶν αἰωνίων τυχεῖν ἀγαθῶν, ἐφ' ἡμῖν ἐστιν· ἡττηθέντας δὲ τούτους ἀνάγκη μεταμελεῖσθαι καὶ θρηνεῖν ἀνόνητα, αἰωνίως κολαζομένους· *οὐκ ἔσται γὰρ ἐν ᾅδῃ* [ὁ] *ἐξομολογούμενος*, κατὰ τὸ ψαλμικὸν λόγιον (α), οὐκ ἔτι συμπαρούσης τοῖς καταδικασθεῖσιν, ὥσπερ νῦν, τῆς βοηθείας τοῦ [ἁγίου] Πνεύματος. *Διχοτομηθήσονται* γάρ, ὡς φησιν ὁ Κύριος (β), διαιρούμενοι τοῦ παρ' αὐτῶν ἀτιμασθέντος ζωοποιοῦ πνεύματος. Τὸν δὲ προαποδοθέντα νοῦν ἡγούμεθα κατὰ τὸ ψαλμικὸν αἰνίττεσθαι λόγιον, ὅτι *οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν* (γ), ὡς ἀμίκτου οὔσης αὐτῶν τῆς ζωῆς· οὐ μόνον διὰ τὸ τῶν βίων ἀμιγὲς καὶ ἀκατάλληλον, ὡς ἕκαστος ἐπολιτεύσατο· ἀλλὰ καὶ διὰ τὸ ἀραρὸς ἐν τῷ ἀγαθῷ καὶ πάγιον, μήτε τῇ ἐπιμιξίᾳ τοῦ χείρονος πρὸς ἁμαρτίαν ἐρεθιζομένης τῆς τούτων προαιρέσεως, μήτε ἀσθενείᾳ σαρκὸς ἢ τροπῇ φόβῳ τὴν εὐφροσύνην ἐλαττούσης, ἀλλὰ βέβαιον κατὰ θεὸν κληρονομούσης τὸ ἄτρεπτον. Καὶ ταῦτα μὲν μέχρι τούτου, πρὸς ἕτερα τοῦ λόγου τρέχοντος, ἅπερ καθυπέσχετο· ἡμεῖς δὲ τῶν ἑξῆς ἐχώμεθα.

ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

Ὅπως διὰ τῆς ἕκτης [φιάλης] ἡ ὁδὸς [διὰ]

(α) Ψαλμ. Ϛ', 6. (β) Ματθ. ΚΔ', 51. Λουκ. ΙΒ', 46.
(γ) Ψαλμ. ΡΚΔ', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ Εὐφράτου τοῖς ἀπὸ ἀνατολῶν [ἡλίου] βασιλεῦσιν ἀνοίγεται.

12 Καὶ ὁ ἕκτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ποταμὸν τὸν μέγαν τὸν Εὐφράτην· καὶ ἐξηράνθη τὸ ὕδωρ αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων τῶν ἀπὸ ἀνατολῆς ἡλίου.

Εἰκὸς τὸν *Εὐφράτην ποταμὸν* κατὰ θείαν συγχώρησιν ὀλιγούμενον, τοῖς βασιλεῦσι τῶν ἐθνῶν διδόναι πάροδον εἰς τὴν κατ' ἀλλήλων καὶ λοιπῶν ἀνθρώπων ἐξολόθρευσιν· οὓς ἐκ τῶν Σκυθικῶν μερῶν, ἐκ τῆς τοῦ Γὼγ καὶ Μαγὼγ μνήμης, κινεῖσθαι νομίζομεν, κατὰ τὸ ἐν τοῖς κατόπιν ἐν τῇ ἀποκαλύψει φερόμενον. Εἰκὸς δὲ καὶ τὸν Ἀντίχριστον ἐκ τῶν ἀνατολικῶν μερῶν τῆς Περσικῆς γῆς, ἔνθα ἡ φυλὴ τοῦ Δὰν, ἐκ ῥίζης Ἑβραίων ἐξερχόμενον, ἅμα ἑτέροις βασιλεῦσιν ἢ μεγιστᾶσι βασιλικὸν κληρουμένοις ὄνομα, τὸν Εὐφράτην περαιοῦσθαι, ἢ σωματικὸν ἢ ψυχικὸν θάνατον τοῖς ἀνθρώποις ἐπάξοντας· τοῖς μὲν, διὰ πίστεως καὶ καρτερίας· τοῖς δὲ, δι' ἀνανδρίας καὶ ἐκλύσεως.

13 Καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δράκοντος, καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου, καὶ ἐκ τοῦ στόματος τοῦ ψευδοπροφήτου πνεύματα τρία ἀκάθαρτα, ὡσεὶ βάτραχοι, [ἐκπορευθέντα.]

Ἐκ δὲ τοῦ ἰδεῖν ἐκ τῶν τριῶν πνεύματα τρία ἀκάθαρτα, δείκνυται ἐν ἰδίῳ προσώπῳ, τόν τε διάβολον ὡς δράκοντα, τόν τε Ἀντίχριστον ὡς θηρίον, τόν τε ψευδοπροφήτην ὡς ἕτερον παρὰ τούτους μνημονεύεσθαι· ἐξ ὧν φησιν ἐοικότα βατράχοις [τρία] ἐκπορεύεσθαι πνεύματα. Ἀφομοιοῦνται δὲ βατράχοις διὰ τὸ ἰῶδες αὐτῶν καὶ βορβορῶδες καὶ ἀκάθαρτον, καὶ τὸ πρὸς τὰς διύγρους ἡδονὰς ἑρπυστικὸν τῶν πονηρῶν δυνάμεων· αἳ τοῖς τοῦ διαβόλου καὶ τοῦ Ἀντιχρίστου καὶ τοῦ ψευδοπροφήτου προστάγμασι, τοῖς σημαινομένοις διὰ τοῦ *στόματος*, ἀπατηλὰ σημεῖα

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τέρατα τοῖς ἀνθρώποις δείξουσιν, ὡς διὰ τῶν ἑξῆς γνωσόμεθα.

14 Εἰσὶ γὰρ πνεύματα δαιμόνων ποιοῦντα σημεῖα· ἃ ἐκπορεύεται ἐπὶ τοὺς βασιλεῖς [τῆς γῆς] τῆς οἰκουμένης ὅλης, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης τοῦ θεοῦ τοῦ παντοκράτορος.

Τὰ γὰρ διὰ τῶν δαιμόνων, [φησὶν], ἐνεργούμενα ψευδῆ σημεῖα, τοὺς πειθομένους αὐτοῖς εἰς πόλεμον κατὰ τῆς μεγάλης καὶ ἐπιφανοῦς [τοῦ θεοῦ] ἡμέρας τοῦ κριτοῦ ζώντων καὶ νεκρῶν ἐπιστρατεύσουσιν· ἢ πάντως οἱ θεομάχοι ἡττώμενοι, ἀνόνητα κλαύσουσι, τὴν προτέραν πλάνην ὀδυρόμενοι.

15 Ἰδοὺ, ἔρχομαι ὡς κλέπτης· μακάριος ὁ γρηγορῶν, καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, ἵνα μὴ γυμνὸς περιπα-
16 τῇ, καὶ βλέπουσι τὴν ἀσχυμοσύνην αὐτοῦ. Καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν τόπον τὸν καλούμενον Ἑβραϊστὶ Ἁρμαγεδδών.

Τὸ δὲ *γρηγορεῖν* καὶ *φυλάττειν τὰ ἱμάτια*, δηλοῖ τὸ ἐπαγρυπνεῖν ταῖς ἀγαθαῖς πράξεσιν· αὗται γὰρ [εἰσι τὰ] τῶν ἁγίων ἱμάτια· ὧν τὸν ἐστερημένον, ἀνάγκη ὡς γυμνὸν καὶ ἀσχημοσύνης πεπληρωμένον αἰσχύνεσθαι. Τὸ δὲ *Ἁρμαγεδδὼν*, διακοπὴ ἢ διακοπτομένη ἑρμηνεύεται. Ἐκεῖ γὰρ τὰ ἔθνη συναγόμενα, ἐκκόπτεσθαι νοεῖν ἀκόλουθον ὑπὸ τοῦ διαβόλου στρατηγούμενα, τοῦ τοῖς ἀνθρωπίνοις αἵμασι χαίροντος. Ἐπεὶ δὲ κἀντεῦθεν ἀπευκτὴν τῶν τῆς ἀρετῆς ἱματίων τὴν γύμνωσιν, καὶ ἐκ τῆς εὐαγγελικῆς παραβολῆς τοῦ νυμφῶνος ἀπόβλητον τὸν ταύτης ἐστερημένον μεμαθήκαμεν (α), καὶ ἐκ τῆς ἀποστολικῆς δὲ ῥήσεως, ἣ φησι περὶ τῆς ἀφθαρσίας, *Εἴγε ταύτην ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα* (β), δηλαδὴ τῶν ἀγαθῶν πράξεων·

(α) Ματθ. ΚΒ', 11. καὶ ἑξῆς. (β) Β' Κορ. Ε', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκτενῶς τὸν Κύριον [ἡμῶν] ἱκετεύσωμεν, ἐνταῦθα ἡμῶν ἐκπλῦναι τὰς ψυχικὰς στολὰς, ὥστε ὑπὲρ χιόνα λευκανθῆναι, κατὰ τὸ ψαλμικὸν λόγιον (α)· μήποτε ἀκούσαντες· *Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυμα γάμου* (β); δεθέντες χεῖρας καὶ πόδας, ῥιφθῶμεν εἰς τὸ σκότος τὸ ἐξώτερον· ἀλλὰ κατὰ τὸν [σοφὸν] Σολομῶντα, *ἐν παντὶ καιρῷ λευκὰ τὰ ἱμάτια ἔχοντες* (γ), καὶ φαιδρὰς τὰς λαμπάδας τῆς ἐναρέτου πολιτείας τῇ συμπαθείᾳ κεκοσμημένας ἐπιφερόμενοι, τῷ καθαρῷ καὶ ἀμώμῳ τῶν ἁγίων ψυχῶν νυμφίῳ Χριστῷ τῷ θεῷ ἡμῶν εἰς τὸν νυμφῶνα συνεισέλθωμεν· μεθ' οὗ πρέπει τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, [κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ] εἰς τοὺς αἰῶνας [τῶν αἰώνων.] Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΝΒ'.

ΛΟΓΟΣ ΙΗ'.

Ὅπως διὰ τῆς ἑβδόμης πληγῆς χάλαζα καὶ σεισμὸς κατὰ [τῶν] ἀνθρώπων γίνεται.

17 Καὶ ὁ ἕβδομος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὸν ἀέρα· καὶ ἐξῆλθε φωνὴ μεγάλη ἐκ [τοῦ ναοῦ] τοῦ οὐρανοῦ, ἀπὸ τοῦ θρόνου, λέγουσα· Γέγονε.

18 Καὶ ἐγένοντο [φωναὶ καὶ] ἀστραπαὶ καὶ βρονταί· καὶ σεισμὸς μέγας, οἷος οὐκ ἐγένετο ἀφ' οὗ οἱ ἄνθρωποι ἐγένοντο ἐπὶ τῆς γῆς, τηλικοῦτος σεισμὸς οὕτω μέγας.

Ἀγγελικὴ φωνὴ οὐρανόθεν φησὶ, *Γέγονε*, τουτέστι, τὸ θεῖον τετέλεσται πρόσταγμα· αἱ δὲ [*φωναὶ καὶ*] *ἀστραπαὶ καὶ βρον-*

(α) Ψαλμ. Ν', 9. (β) Ματθ. ΚΒ', 12. (γ) Ἐκκλ. Θ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται, τὸ καταπληκτικὸν τῶν γινομένων κατὰ τὴν μέλλουσαν τοῦ Χριστοῦ παρουσίαν σημαίνουσιν· [ὥσπερ πάλαι τοῦ θεοῦ τὴν ἐπὶ τὸ Σίναιον ὄρος κατάβασιν·] ὁ δὲ σεισμὸς, τὴν τῶν ὄντων μεταποίησιν [σημαίνει,] ὡς ὁ ἀπόστολος τὸ, *Ἔτι ἅπαξ σείσω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανὸν* (α), ἐξέλαβε.

19 Καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη· καὶ αἱ πόλεις τῶν ἐθνῶν ἔπεσον·

Πόλιν δὲ *μεγάλην*, οὐ πλήθει καὶ μεγέθει οἰκοδομημάτων, ἀλλ' ἐν θεοσεβείᾳ ἀρχαιοτάτην καὶ μεγίστην, τὴν Ἱερουσαλὴμ ὑπολαμβάνομεν· ἅτε μεγαλυνθεῖσαν τοῖς Χριστοῦ παθήμασι, καὶ ἀντιδιαξελλομένην ταῖς ἐθνικαῖς πόλεσι. Ταύτης *τὴν εἰς τρία τομὴν* [δηλοῦν] ἡγούμεθα, τὸ τριπλοῦν γένος τῶν ἐν αὐτῇ οἰκούντων, Χριστιανῶν, καὶ Ἰουδαίων, καὶ Σαμαρειτῶν· ἢ τῶν βεβαιοπίστων, καὶ τῶν ῥυπαραῖς πράξεσι μολυνάντων τὸ βάπτισμα, καὶ τῶν μηδόλως δεξαμένων Ἰουδαίων τὸ κήρυγμα, τὴν ἀκώλυτον καὶ πεπαῤῥησιασμένην τῶν οἰκείων βουλημάτων ἐκπλήρωσιν, καὶ τὴν εἰς τοὺς καθήκοντας χώρους [ἑκατέρων τούτων] ἐκπομπὴν ἢ ἀποκλήρωσιν. Νῦν γὰρ Ἰουδαῖοι μὲν καὶ Σαμαρεῖται, τῷ φόβῳ τῶν εὐσεβῶς βασιλευόντων, τὰ οἰκεῖα κρύπτουσι [τῆς ἀπιστίας] βουλεύματα, καὶ σὺν ἡμῖν δοκοῦσι τάττεσθαι, πρὸς ἰδίαν μοῖραν ἀποστατῆσαι μὴ τολμῶντες. Ὡσαύτως δὲ καὶ οἱ ἀληθῶς χριστιανοὶ, τοῖς τὸ ὄνομα μόνον κεκτημένοις ἀναμὶξ τυγχάνουσιν· ὅταν δὲ ἡ τῶν πειρασμῶν τούτους ἐλέγξῃ πύρωσις, τότε ἡεῖς τρία διαίρεσις τούτων γενήσεται, τῶν τε εὐσεβῶν, τῶν τε δυσσεβῶν, τῶν τε ἁμαρτωλῶν τοῖς ὁμοτρόποις προχωρούντων, καὶ πρὸς οἰκείαν μοῖραν ἀποκρινομένων. Αἱ δὲ *τῶν ἐθνῶν πόλεις πίπτουσαι*, δηλοῦσιν ἢ τὴν αὐτῶν κατάλυσιν, ἢ τῆς ἐθνικῆς πολιτείας τὴν ἔκλειψιν, τῇ παρουσίᾳ τῆς θείας βασιλείας, ἣν καθέξουσι, κατὰ τὸν Δανιὴλ, οἱ ἅγιοι.

(α) Ἑβρ. ΙΒ', 26.

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

Καὶ Βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνωπιον τοῦ θεοῦ, (τοῦ) δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ.

Βαβυλὼν δὲ ἡ *μεγάλη*, ἡ συγκεχυμένη,[φησί], τοῖς οἰκείοις τοῦ βίου περισπασμοῖς, καὶ μεγαλυνθεῖσα τῷ ἐξ ἀδικιῶν πλούτῳ, ἥτε πολυάνθρωπος πληθὺς, τὸ ποτήριον τῆς τοῦ θεοῦ ὀργῆς πίεται, ὡς ἐκ λήθης διὰ μακροθυμίας εἰς μνήμην ἐλθοῦσα τῆς τοῦ πατηθέντος δικαίου καὶ τῆς ἐν λόγοις καὶ ἔργοις δυσσεβείας ἐκδικήσεως.

20 Καὶ πᾶσα νῆσος ἔφυγε, καὶ ὄρη· καὶ οὐχ εὑρέθησαν.

Νήσους δὲ, τὰς [ἁγίας] ἐκκλησίας· καὶ *ὄρη*, τοὺς ἐν αὐταῖς προϋχοντας [νοεῖν] ἐκ τῆς θείας Γραφῆς διδασκόμεθα. *Φεύγειν* δὲ τούτους ἐν τῷ καιρῷ τῆς τῶν προῤῥηθέντων ἐπαγωγῆς, ἐκ τοῦ Κυρίου ἀκηκόαμεν, λέγοντος· *Τότε οἱ ἀπὸ ἀνατολῶν φεύξονται ἐπὶ δυσμάς· καὶ οἱ ἀπὸ δυσμῶν, εἰς ἀνατολάς· ἔσται γὰρ θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπὸ καταβολῆς κόσμου, οὐδ' οὐ μὴ γένηται* (α)· τῶν μὲν, δι' ἁμαρτίας κολαζομένων· τῶν δὲ, πρὸς δοκιμὴν ἀρετῆς ὑπομενόντων τὰ δυσχερῆ· οὐ μόνον ἐν ταῖς τοῦ Ἀντιχρίστου ὑπὲρ Χριστοῦ κολάσεσιν, ἀλλὰ καὶ ἐν ταῖς φυγαῖς καὶ [ἐν ταῖς] ἐν τοῖς ὄρεσι καὶ σπηλαίοις κακοπαθείαις· ἃς τῆς ἐν [τῇ] πόλει διατριβῆς προτιμήσουσι διὰ τὴν τῆς εὐσεβείας τήρησιν.

21 Καὶ χάλαζα μεγάλη ὡς ταλαντιαία καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώπους· καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν θεὸν ἐκ τῆς πληγῆς τῆς χαλάζης· ὅτι μεγάλη ἐστὶν ἡ πληγὴ αὐτῆς σφόδρα.

Τὴν *χάλαζαν*, ἅτε *οὐρανόθεν κατερχομένην*, τὴν θεήλατον ὀργὴν, ἄνωθεν ἐρχομένην, νενοήκαμεν· τὸ δὲ *ταλαντιαῖον* αὐτῆς,

(α) Ματθ. ΚΔ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ τέλειον, διὰ τὴν ἐν ταῖς ἁμαρτίαις [τελείαν] ἀκρότητα καὶ βαρύτητα· ἧς χαρακτηριστικὸν τὸ τάλαντον, ὡς [καὶ] τῷ Ζαχαρίᾳ ἑώραται (α). Τὸ δὲ μὴ πρὸς μετάνοιαν, ἀλλ' εἰς βλασφημίαν χωρῆσαι τοὺς ὑπ' αὐτῆς πληττομένους, τὸ σκληρὸν καὶ ἀνένδοτον τῆς αὐτῶν καρδίας παρίστησι· διὸ κατὰ τὸν Φαραὼ ἔσονται· μᾶλλον δὲ καὶ τούτου σκληρότεροι· εἴγε ἐκείνου ποσῶς ταῖς θεηλάτοις πληγαῖς μαλασσομένου καὶ τὴν οἰκείαν ὁμολογοῦντος ἀσέβειαν, αὐτοὶ καὶ ἐν τῷ μαστιγοῦσθαι βλασφημοῦσιν.

ΚΕΦΑΛΑΙΟΝ ΝΓ'.

Περὶ τοῦ ἑνὸς τῶν ἑπτὰ [ἁγίων] ἀγγέλων, δεικνύντος τῷ μακαρίῳ Ἰωάννῃ τὴν τῆς πόρνης πόλεως καθαίρεσιν· καὶ περὶ τῶν ἑπτὰ κεφαλῶν καὶ [τῶν] δέκα κεράτων.

ΚΕΦ. XVII, 1 Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς [ἑπτὰ] φιάλας, καὶ ἐλάλησε μετ' ἐμοῦ, λέγων μοι· Δεῦρο, δείξω σοι τὸ κρίμα τῆς πόρνης τῆς μεγάλης, τῆς καθημένης ἐπὶ τῶν ὑδάτων τῶν
2 πολλῶν· μεθ' ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ ἐμεθύσθησαν οἱ κατοικοῦντες τὴν γῆν ἐκ τοῦ οἴνου
3 τῆς πορνείας αὐτῆς. Καὶ ἀπήνεγκέ με εἰς ἔρημον ἐν πνεύματι· καὶ εἶδον γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον, γέμον ὀνομάτων βλασφημίας, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα.

Ταύτην τὴν *πόρνην* τινὲς εἰς τὴν παλαιὰν Ῥώμην, ὡς ἐπάνω ἑπτὰ ὀρέων κειμένην, ἐξέλαβον· τὰς δὲ ἑπτὰ *κεφαλὰς* τοῦ αὐ-

(α) Ζαχ. Ε', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν βαστάζοντος θηρίου, ἑπτὰ βασιλεῖς τοὺς ἀσεβεστέρους πάντων, τοὺς ἀπὸ Δομετιανοῦ μέχρι Διοκλητιανοῦ τὴν ἐκκλησίαν διώξαντας. Ἡμεῖς δὲ, ὅσον ἐκ τῆς τῶν ἑπομένων ἀκολουθίας ὁδηγούμεθα, ταύτην εἶναι τὴν καθ' ὅλου ἐπίγειον βασιλείαν, [τὴν] ὡς [ἑν] ἑνὶ σώματι· ἢ τὴν μέχρι τῆς τοῦ Ἀντιχρίστου παρουσίας βασιλευομένην πόλιν οἰόμεθα. Ἡ γὰρ παλαιὰ Ῥώμη, ἐκ πολλοῦ τὸ τῆς βασιλείας κράτος ἀπέβαλεν· εἰ μὴ ὑποθώμεθα, εἰς αὐτὴν τὸ ἀρχαῖον πάλιν ἀναστρέφειν ἀξίωμα. Ἀλλ' εἰ τοῦτο δώσομεν, προκαθαιρεθήσεται ἡ κρατοῦσα σήμερον· φησὶ γὰρ ἡ Ἀποκάλυψις· Ἡ γυνὴ, ἣν εἶδες, ἔστιν ἡ πόλις ἡ μεγάλη, ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς (στιχ. ιη'·). Καὶ περὶ μὲν τούτου ἐν τοῖς καθεξῆς, ὡς ἂν χορηγήσῃ ὁ θεὸς, ἀκριβώσομεν· ἀναγκαῖον δὲ [νῦν] εἰπεῖν, τίνα χρὴ νομίσαι τὴν ἔρημον, εἰς ἣν ἀπηνέχθαι φησὶν ἐν πνεύματι [ὁ ταῦτα βλέπων.] *Ἔρημον* τοίνυν ἐν τοῖς πνευματικοῖς ἡγούμεθα, πᾶσαν πόλιν ἢ πληθὺν [πολυάριθμον καὶ] πολυάνθρωπον ἐπὶ μέθῃ ψυχῆς, καὶ τῇ ἐκ θεοῦ πορνείᾳ, καὶ ἑτέροις τοιούτοις ἐγκαλουμένην τολμήμασι. Καὶ ἑτέρως δὲ νοητέον τῇ θεωρίᾳ τοῦ πνεύματος ἰδεῖν τὸν ἀπόστολον [Ἰωάννην] τῆς προρρηθείσης πόρνης τὴν ἐρήμωσιν· ἣν ὡς *γυναῖκα* ἑώρακε, διὰ τὸ τεθηλυμμένον πρὸς ἁμαρτίαν καὶ ἄνανδρον· *καθημένην* δὲ *ἐπὶ θηρίου κοκκίνου*, διὰ τὸ τῷ διαβόλῳ, τῷ φονίῳ καὶ αἱμοχαρεῖ, ταύτην διὰ πονηρῶν πράξεων ἐπαναπαύεσθαι· διὸ συνεργὸς ἐν ταῖς κατὰ θεοῦ βλασφημίαις τῷ ἀποστάτῃ γίνεται· ὠμότητος γὰρ καὶ ἀγριότητος καὶ φονικῆς γνώμης τό τε θηρίον καὶ τὸ κόκκινον [χρῶμα] γνώρισμα. Περὶ δὲ τῶν ἑπτὰ κεφαλῶν καὶ τῶν δέκα κεράτων, ἐν τοῖς ἑξῆς, [σὺν θεῷ], ἐκ τοῦ θείου ἀγγέλου μαθησόμεθα.

4 Καὶ ἡ γυνὴ ἦν περιβεβλημένη πορφύραν καὶ κόκκινον, [καὶ] κεχρυσωμένη χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις·

Κόκκινον δὲ καὶ *πορφύραν* περιβέβληται, ὡς τῆς ἡγεμονίας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς κατὰ πάντων σύμβολα· διὸ *λίθῳ τιμίῳ καὶ μαργαρίταις* κεκόσμηται.

Ἔχουσα χρυσοῦν ποτήριον ἐν τῇ χειρὶ αὐτῆς, γέμον βδελυγμάτων, καὶ τὰ ἀκάθαρτα τῆς πορνείας αὐτῆς.

Διὰ μὲν τοῦ *ποτηρίου*, τὸ πρὸς πόσιν ἡδὺ τῶν πονηρῶν πράξεων· διὰ δὲ τοῦ *χρυσοῦ*, τὸ τίμιον ἐνδείκνυται, ὡς φησί τις περὶ τοῦ Ἰώβ· *Πίνων μυκτηρισμὸν ἴσα ποτῷ* (α)· εἰς ἔνδειξιν, ὅτι οὐ διακόρως, ἀλλ' ἐν δίψει τῆς οἰκείας ἀπωλείας τὴν κακίαν μετέρχεται· διὸ ἑαυτῆς τὰ *βδελύγματα*, τουτέστι, τὰ βδελυκτὰ τῷ θεῷ ἐπιτηδεύματα, ἐπλήθυνεν· οἷς ἡ φιλάμαρτος πληθὺς ποτίζεται, ὡς ἡδὺ πόμα σπῶσα τὴν βδελυκτὴν τῆς ἁμαρτίας μέθην, καὶ τῆς ἐκ θεοῦ πορνείας τὴν βεβήλωσιν.

5 Καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γεγραμμένον· Μυστήριον· Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν βδελυγμάτων τῆς γῆς.

Ἡ δὲ τοῦ *μετώπου γραφὴ*, τὸ ἀπηρυθριασμένον [τῆς ἀδικίας καὶ] τῆς τῶν πλημμεληματῶν δηλοῖ ἐκπληρώσεως, καὶ τῆς καρδιακῆς συγχύσεως· ἡ δὲ *μήτηρ*, τὸ τῆς ψυχικῆς πορνείας εἶναι ταύτην διδάσκαλον ταῖς ἀρχομέναις πόλεσι, τὰς βδελυκτὰς τῷ θεῷ παρανομίας τίκτουσαν.

ΚΕΦΑΛΑΙΟΝ ΝΔ'.

Ὅπως ὁ ἄγγελος τὸ ὁραθὲν αὐτῷ μυστήριον ἡρμήνευσε.

6 Καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν ἐκ τοῦ αἵματος τῶν ἁγίων, καὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων Ἰησοῦ·

(α) Ἰὼβ ΙΕ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

7 καὶ ἐθαύμασα, ἰδὼν [αὐτὴν,] θαῦμα μέγα· καὶ εἶπέ μοι ὁ ἄγγελος· Διατὶ ἐθαύμασας; ἐγώ σοι ἐρῶ τὸ μυςήριον τῆς γυναικὸς, καὶ τοῦ θηρίου τοῦ βασάζοντος αὐτὴν, [καὶ] τοῦ ἔχοντος τὰς ἑπτὰ κεφαλὰς καὶ τὰ δέκα κέρατα.

Τὸ φερωνύμως ταῖς πράξεσιν ἐπιτίθεσθαι γραφικῶς τὰ ὀνόματα ταῖς πόλεσιν, ἐκ πολλῶν μαθεῖν ἔξεστιν. Ὅθεν καὶ ἡ παλαιὰ Βαβυλὼν, οὕτως ὠνόμασται, καὶ, *Πόρνη ἐπιχαρὴς ἠγουμένη φαρμακῶν*, ἤκουε (α)· καὶ ἡ παλαιὰ δὲ Ἱερουσαλὴμ, *Ὄψις πόρνης ἐγένετό σοι* (β)· καὶ ἡ πρεσβυτέρα [δὲ] Ῥώμη *Βαβυλὼν* ἐν τῇ ἐπιστολῇ Πέτρου προσηγόρευται (γ). Κυριωτέρως δὲ ἡ παρὰ Πέρσαις τὸ κράτος ἔχουσα, καὶ Βαβυλὼν καὶ Πόρνη προσαγορεύεται· καὶ πᾶσα πόλις ἑτέρα, φόνοις καὶ αἵμασι χαίρουσα. Τούτων τοίνυν μίαν ὁ εὐαγγελιστὴς θεωρῶν μεμολυσμένην τοῖς τῶν ἁγίων αἵμασι, κατεπλήττετο, καὶ παρὰ τοῦ ἀγγέλου τὰ κατ' αὐτὴν ἐμάνθανεν, οἷα δεῖ παθεῖν ἐπὶ τοῖς πλημμελήμασι, τὴν ἐπὶ συντελείᾳ τοῦ χρόνου τῆς κοσμικῆς βασιλείας τὸ κράτος φέρουσαν· εἴ τε τὴν παρὰ Πέρσαις κρατοῦσαν· εἴτε τὴν παλαιὰν Ῥώμην, [αὖθις τὸ ἀρχαῖον κράτος ἀναλαμβάνουσαν·] εἴτε τὴν νέαν· εἴτε τὴν ὡς ἐν ἑνὶ σώματι γενικῶς ἐκληφθεῖσαν βασιλείαν νοῆσαί τις ἕλοιτο, καθὼς εἴρηται. Ἐν ἑκάστῃ γὰρ τούτων ἁμαρτήματα διάφορα, καὶ αἱμάτων ἁγίων ἐκχύσεις, τῇ μὲν πλέον, τῇ δὲ ἔλαττον γεγενῆσθαι μεμαθήκαμεν. Καὶ τὰ μὲν μέχρι [τοῦ] Διοκλητιανοῦ τῶν μαρτύρων αἵματα, ἢ καὶ τὰς ἐν Περσίδι τούτων κολάσεις, τίς ἂν ἐξαριθμήσαιτο; Τὰ δὲ ἐπὶ Ἰουλιανοῦ λαθραίως, καὶ τὰ ἐν [τοῖς] καιροῖς [τῶν] Ἀρειανῶν κατὰ τῶν ὀρθοδόξων ἐν τῇ νέᾳ τολμηθέντα Ῥώμῃ, αἱ ἱστορίαι παριστῶσι τοῖς ἐντυγχάνουσι.

8 Τὸ θηρίον ὃ εἶδες, ἦν, καὶ οὐκ ἔστι· καὶ μέλλει ἀναβαίνειν ἐκ τῆς ἀβύσσου, καὶ εἰς ἀπώλειαν ὑπάγειν.

(α) Ναοὺμ Γ', 4. (β) Ἱερ. Γ', 3. (γ) Α' Πετρ. Ε', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοῦτο τὸ *θηρίον*, ὁ σατανᾶς ἐστιν· ὃς ἀποκτανθεὶς τῷ τοῦ Χριστοῦ σταυρῷ, πάλιν ἐπὶ συντελείᾳ ἀναζῆν λέγεται, ἐνεργῶν ἐν σημείοις καὶ τέρασι πλάνης διὰ τοῦ Ἀντιχρίστου τὴν τοῦ σταυροῦ ἄρνησιν. Διὰ τοῦτο, *ἦν* μὲν, καὶ ἴσχυε πρὸ τοῦ σταυροῦ· *οὐκ ἔστι* δὲ, μετὰ τὸ σωτήριον πάθος ἐκνευρωθεὶς, καὶ τῆς ἐξουσίας [αὐτοῦ] ἐξωσθεὶς, ἣν κατὰ τῶν ἐθνῶν διὰ τῆς εἰδωλολατρίας ἐκέκτητο· *παρέσται* δὲ ἐν τῇ συντελείᾳ, κατὰ τὸν τρόπον, ὃν εἰρήκαμεν, ἀναβαίνων ἐκ τῆς ἀβύσσου, ἢ ὅθεν κατεδικάσθη· οὗ μὴ πεμφθῆναι, ἀλλ' εἰς τοὺς χοίρους, οἱ ἐκβληθέντες δαίμονες τὸν Χριστὸν ἐκέτευον (α)· ἢ ἐκ τοῦ παρόντος βίου, τροπικῶς *ἀβύσσου* ὀνομασθέντος, διὰ τὸ τῆς ἐμπολιτευομένης ἁμαρτίας βάθος, [τὸ] τοῖς τῶν παθῶν πνεύμασι ῥιπιζόμενον καὶ κυματούμενον· ἔνθεν γὰρ ὁ Ἀντίχριστος τὸν σατανᾶν [ἐν ἑαυτῷ] φέρων, ἐπ' ὀλέθρῳ ἀνθρώπων παραγίνεται, ὁδεύσων εἰς ἀπώλειαν ἐν τῷ αἰῶνι τῷ μέλλοντι.

Καὶ θαυμάσονται οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὰ ὀνόματα ἐπὶ τῷ βιβλίῳ τῆς ζωῆς ἀπὸ καταβολῆς κόσμου, βλεπόντων τὸ θηρίον ὅτι ἦν, καὶ οὐκ ἔστι, καὶ παρέσται.

Θαυμάσονται δὲ, [φησι], τὴν τοῦ θηρίου παρουσίαν διὰ τὰ τῆς ἀπάτης τέρατα οἱ μὴ γεγραμμένοι ἐν τῇ βίβλῳ τῶν αἰωνίως ζώντων, καὶ οἱ μὴ προστοιχειωθέντες ἀσφαλῶς ταῖς τοῦ Χριστοῦ περὶ αὐτοῦ προῤῥήσεσι, λογιζόμενοι, πῶς τὴν ἀρχαίαν δυναστείαν ἀπέλαβεν.

9 Ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν.

Πνευματικῶν ὄντων τῶν ἑρμηνευομένων, πνευματικῆς σοφίας, καὶ οὐ κοσμικῆς, χρεία, [φησὶ], πρὸς τὸ νοῆσαι τὰ λεγόμενα.

Αἱ ἑπτὰ κεφαλαὶ, ἑπτὰ ὄρη εἰσὶν, ὅπου ἡ γυνὴ κά-
10 θηται [ἐπ' αὐτῶν·] καὶ βασιλεῖς ἑπτά εἰσιν·

(α) Ματθ. Η', 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἑπτὰ δὲ *κεφαλὰς* καὶ *ἑπτὰ ὄρη* ἡγούμεθα νοεῖσθαι, ἑπτὰ τόπους ἐν ὑπεροχῇ κατὰ δυναστείαν κοσμικὴν τῶν λοιπῶν ἐξέχοντας· ἐφ' οἷς κατὰ καιροὺς τὴν τοῦ κόσμου βασιλείαν ἐστηρίχθαι ἔγνωμεν· οἷον πρῶτον, ἐν Νινευΐ, τὴν τῶν Ἀσσυρίων ἀρχήν· δεύτερον, ἐν Ἐκβατάνοις, τὴν [τῶν] Μήδων δυναστείαν ἀπὸ Ἀρβάκου κρατήσασαν τῶν Ἀσσυρίων, ὧν τὸν βασιλέα Σαρδανάπαλον καθεῖλεν ὁ Ἀρβάκης, ὡς ἱστόρηται. Μετὰ δὲ τούτους, ἐν Βαβυλῶνι τὸ Χαλδαίων κράτος, ὧν ὁ Ναβουχοδονόσορ ἐβασίλευσεν· ἔπειτα μετὰ τὴν τούτων κατάλυσιν, ἐν Σούσοις, τὴν [τῶν] Περσῶν βασιλείαν ὑπὸ Κύρου κτισθεῖσαν. Μετὰ δὲ τὴν ταύτης ὑπὸ Ἀλεξάνδρου καθαίρεσιν, τὴν τῶν Μακεδόνων βασιλείαν· μετὰ δὲ τούτους, ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ, τὴν τῶν Ῥωμαίων ἰσχύν, ἐπὶ μὲν Αὐγούστου Καίσαρος μετὰ τοὺς πρώην βασιλεῖς αὐτῆς καὶ ὑπάτους μοναρχήσασαν, ὑπὸ δὲ ἀσεβῶν μέχρι Κωνσταντίνου τοῦ μεγάλου κατασχεθεῖσαν· ὧν μετὰ τὴν κατάλυσιν, εἰς τὴν νέαν Ῥώμην τὰ τῶν φιλοχρίστων βασιλέων μετηνέχθη βασίλεια. Τὴν δὲ αὐτὴν ἔννοιαν καὶ τοὺς [ἑπτὰ] *βασιλεῖς* ἐμφαίνειν οἰόμεθα, τῆς ἐναλλαγῆς τῶν γενῶν μηδαμῶς παρεμποδιζούσης τῇ τῆς διανοίας ταυτότητι· εἰ καὶ ἐκεῖ μὲν *ἑπτὰ κεφαλὰς* θηλυκῶς, καὶ *ἑπτὰ ὄρη* οὐδετέρως· ἐνταῦθα δὲ *ἑπτὰ βασιλεῖς* ἐσήμανε· πολλάκις γὰρ ἀδιαφόρως ἀντὶ θηλυκῶν ἀρρενικὰ ἐν τῇ Γραφῇ κεῖται ὀνόματα, καὶ τὸ ἔμπαλιν· οἷον· *Ἰαραὴλ, δάμαλις παροιστρῶσα* (α)· καὶ πάλιν· *Ἐφραὶμ περιστερὰ, οὐκ ἔχουσα καρδίαν* (β)· καὶ κατὰ τὸν Θεολόγον· *Τρεῖς μαρτυροῦσι τῷ Χριστῷ, τὸ αἷμα, καὶ τὸ ὕδωρ, καὶ τὸ πνεῦμα· καὶ τὰ τρία ἕν εἰσι* (γ)· καὶ κατὰ τὸν Σολομῶντα· *Τρία εἰσὶ, τράγος, καὶ ἀλέκτωρ, καὶ βασιλεὺς* [*δημηγορῶν* (δ).] Διὰ τῶν *ἑπτὰ* τοίνυν *κεφαλῶν*, πόλεις θηλυκῶς δηλώσας· καὶ διὰ τῶν *ἑπτὰ ὀρέων*, ἑπτὰ ἀναστήματα οὐδετέ-

(α) Ὡσ. Δ', 16. (β) Ὡσ. Ζ', 11.
(γ) Α' Ἰωαν. Ε', 8. (δ) Παροιμ. Λ', 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρως, τοῦ λοιποῦ τῆς γῆς σώματος κατὰ καιρὸν ὑπερανέχοντα, οὐ τοπικῇ θέσει, ἀλλὰ δόξης ἀξιώματι· καὶ βασιλεῖς ὁμοίως ἑπτά εἶπεν, ὡς νενοήκαμεν, ἢ τοὺς δοξασθέντας τόπους τῇ βασιλικῇ προεδρίᾳ, ἢ τοὺς πρώτως ἐν ἑκάστῃ τῶν προλεχθεισῶν βασιλεύσαντας, ἑκάστου [κατὰ] περίφρασιν πᾶσαν τὴν βασιλείαν περιορίζοντος· [οἷον·] Νίνου, τῆς Ἀσσυρίων· Ἀρβάκου, τῆς Μήδων· Ναβουχοδονόσορ, τῆς Βαβυλωνίων· Κύρου, τῆς Περσῶν· Ἀλεξάνδρου, τῆς Μακεδόνων· Ῥωμύλου, τῆς παλαιᾶς Ῥώμης· Κωνσταντίνου, τῆς νέας.

Οἱ πέντε, ἔπεσον· ὁ εἷς ἐστιν· ὁ ἄλλος, οὔπω ἦλθε· καὶ ὅταν ἔλθῃ, ὀλίγον αὐτὸν δεῖ μεῖναι.

[Τοὺς δὲ ἀπὸ τῶν ἑπτὰ βασιλέων *πεσόντας πέντε* βασιλεῖς,] ὁ μακάριος Ἱππόλυτος αἰῶνας τούτους ἐξέλαβεν· ὧν τοὺς μὲν πέντε, παρῳχηκέναι· τὸν δὲ ἕκτον, ἑστάναι· ἐν ᾧ ταῦτα ἑώρακεν ὁ ἀπόστολος· τὸν δὲ ἕβδομον, τὸν μετὰ τὰ ς' ἔτη, μήπω μὲν ἐληλυθέναι· ἐρχόμενον δέ, ὀλίγον δεῖ μεῖναι. Καὶ ταῦτα μὲν οὕτως [ἐκεῖνος.] Εἰ δὲ, ὥς φησιν ὁ [μακάριος] Εἰρηναῖος, ὥσπερ ἑπτὰ ἡμέραι δεδημιούργηνται, οὕτω καὶ ἑπτὰ οὐρανοὶ, καὶ ἑπτὰ ἄγγελοι τῶν λοιπῶν προὔχοντες, εὐπαράδεκτον τοῖς ἀκούουσι φαίνεται τὸ καὶ ἑπτὰ βασιλείας εἶναι τὰς ἀπ' ἀρχῆς μέχρι [τοῦ] νῦν περιοδήτους· ὧν τὰς μὲν πέντε ἤδη πεπτωκέναι· τὴν δὲ ἕκτην, ἐφ' ἧς ὡράθη ἡ Ἀποκάλυψις, ἑστάναι ταύτην ἐν τῇ παλαιᾷ Ῥώμῃ· τὴν δὲ ἑβδόμην, μήπω ἐληλυθέναι, τὴν ἐν τῇ νέᾳ [Ῥώμῃ]. Εὖ [δ'] ἂν ἔχει ὁ τῆς παγκοσμίου Βαβυλῶνος λόγος εἰς τὴν μέχρι τοῦ Ἀντιχρίστου βασιλεύουσαν πόλιν ἐναπαρτιζόμενος, ὀλίγον κρατοῦσαν, ὡς πρὸς τὰς πρότερον· ὧν αἱ μὲν, ἦρξαν ὑπὲρ τὰ πεντακόσια ἔτη· αἱ δὲ, ὑπὲρ τὰ χίλια· ἄλλως τε δὲ καὶ πᾶς ἀριθμὸς χρονικὸς ὀλίγος [ἐστὶ] πρὸς τὴν μέλλουσαν τῶν ἁγίων βασιλείαν τὴν ἀτελεύτητον.

11 Καὶ τὸ θηρίον ὃ ἦν, [καὶ] οὐκ ἔστι, καὶ αὐτὸς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὄγδοός ἐστι· καὶ ἐκ τῶν ἑπτά ἐστι, καὶ εἰς ἀπώλειαν ὑπάγει.

Τὸ δὲ *θηρίον*, ὁ Ἀντίχριστός ἐστιν· *ὄγδοος* μέν, ὡς μετὰ τὰς ἑπτὰ βασιλείας, ἐπὶ ἀπάτῃ καὶ ἐρημώσει τῆς γῆς ἀνιστάμενος· *ἐκ τῶν ἑπτὰ* δὲ, ὡς ἐκ μιᾶς αὐτῶν βλαστάνων· οὐ γὰρ ἐξ ἄλλου ἔθνους [μετὰ] τὰ προλεχθέντα· ἀλλ' ὡς Ῥωμαίων βασιλεὺς, ἐπὶ καταλύσει καὶ ἀπωλείᾳ τῶν αὐτῷ πειθομένων ἐλεύσεται· καὶ μετὰ τοῦτο εἰς τὴν τῆς γεέννης χωρήσει ἀπώλειαν.

12 Καὶ τὰ δέκα κέρατα ἃ εἶδες, δέκα βασιλεῖς εἰσιν, οἵτινες βασιλείαν οὔπω ἔλαβον, ἀλλ' ἐξουσίαν ὡς βασιλεῖς μίαν ὥραν λαμβάνουσι μετὰ τοῦ θηρίου.

Καὶ τὰ *δέκα* δὲ *κέρατα*, καὶ Δανιὴλ ἐθεώρησε, [τὰ] τοῦ Ἀντιχρίστου προηγούμενα (α)· ἐξ ὧν τὰ τρία ἐκριζῶν, τοὺς λοιποὺς ὑποτάξει ὁ κατάρατος. *Μίαν* δὲ *ὥραν*, ἢ τὸ βραχὺ τοῦ χρόνου φησὶν, ἢ τὴν μίαν τοῦ ἐνιαυτοῦ ὥραν, ἤγουν τροπὴν, δηλαδὴ τρίμηνον· μεθ' ἣν τῷ Ἀντιχρίστῳ, ὡς ὑπερέχοντι, ὑποταγήσονται.

13 Οὗτοι μίαν ἔχουσι γνώμην· καὶ τὴν δύναμιν καὶ τὴν
14 ἐξουσίαν αὐτῶν τῷ θηρίῳ διδόασιν· οὗτοι μετὰ τοῦ ἀρνίου πολεμήσουσι· καὶ τὸ ἀρνίον νικήσει αὐτούς· ὅτι Κύριος κυρίων ἐστὶ, καὶ βασιλεὺς βασιλέων· καὶ οἱ μετ' αὐτοῦ, κλητοὶ καὶ ἐκλεκτοὶ καὶ πιστοί.

Οὗτοι *μίαν γνώμην ἔχουσιν*. Εἰκότως· *οὐδεὶς γὰρ δυσὶ κυρίοις δουλεῦσαι δύναται* (β). Διὸ οἱ τὴν κακὴν ὁμονοοῦντες ὁμόνοιαν, καὶ τῷ Ἀντιχρίστῳ συντασσόμενοι, τῷ [ἀληθινῷ] Χριστῷ ἀντιτάξονται. Ἀλλὰ *νικήσει αὐτοὺς* ὁ δι' ἡμᾶς σφαγιασθεὶς ἀμνὸς τοῦ θεοῦ. Οὐ γὰρ ἀφῄρηται τὴν κατὰ πάντων βασιλείαν καὶ κυριότητα τῷ γεγενῆσθαι ἄνθρωπος, ἵνα καὶ τοὺς ἐκλεκτούς, κοινωνοὺς τῆς αὐτοῦ βασιλείας κτήσηται.

(α) Δαν. Ζ', 7. (β) Ματθ. Ϛ', 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

15 Καὶ λέγει μοι· Τὰ ὕδατα ἃ εἶδες, οὗ ἡ πόρνη κάθηται, λαοὶ καὶ ὄχλοι εἰσὶ, καὶ ἔθνη καὶ γλῶσσαι.
16 Καὶ τὰ δέκα κέρατα ἃ εἶδες, καὶ τὸ θηρίον, οὗτοι μισήσουσι τὴν πόρνην, καὶ ἠρημωμένην ποιήσουσιν αὐτὴν [καὶ γυμνήν·] καὶ τὰς σάρκας αὐτῆς φάγονται·
17 καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί· ὁ γὰρ θεὸς ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι τὴν γνώμην αὐτοῦ, [καὶ ποιῆσαι μίαν γνώμην,] καὶ δοῦναι τὴν βασιλείαν αὐτῶν [τῷ θηρίῳ,] ἄχρι τελεσθήσονται οἱ
18 λόγοι τοῦ θεοῦ. Καὶ ἡ γυνὴ ἣν εἶδες, ἔστιν ἡ πόλις ἡ μεγάλη, ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς.

Τοῦ ἀγγέλου [τοίνυν] ταῦτα σαφῶς ἑρμηνεύσαντος, περισσὴ ἡ ἀκριβεστέρα τούτων ἀνάπτυξις. Ἐμοὶ δὲ θαυμάσαι ἔπεισι, πῶς ἐστιν ἐχθρὸς καὶ ἐκδικητὴς ὁ διάβολος· διὸ συνεργήσει τοῖς ὑπ' αὐτοῦ ἡνιοχουμένοις δέκα κέρασι, τῷ μὲν φιλαγάθῳ καὶ φιλαρέτῳ Χριστῷ, τῷ θεῷ ἡμῶν, ἀντιτάξασθαι· τὴν δὲ ἐκπορνεύσασαν ἐκ τῶν θείων ἐντολῶν πολυάνθρωπον πόλιν καὶ ταῖς αὐτοῦ ἡδοναῖς ὑπηρετήσασαν ἐρημῶσαι, καὶ δίκην αἱμοβόρου θηρίου τῶν αὐτῆς αἱμάτων πλησθῆναι· ὅτε τὴν ταύτης πυρπόλησιν, εὐφροσύνης ὑπόθεσιν, καὶ τῶν ἀνθρωπίνων σαρκῶν τὴν κατατομὴν, τροφὴν οἰκείαν ἡγήσεται· καὶ ὁ ἀεὶ τῇ διχονοίᾳ χαίρων, συμφωνίαν τοῖς ἀποστατικοῖς δέκα δωρήσεται κέρασι. Τὸ δὲ ἐπαγόμενον, [τὸ] τὴν ἑωραμένην γυναῖκα νοεῖσθαι τὴν μεγίστην πόλιν, τὴν ἐπάνω τῶν βασιλέων τῆς γῆς τὸ κράτος ἔχουσαν, ἀναμφίβολον ποιεῖ τὸ τῆς κατὰ τοὺς καιροὺς ἐκείνους κρατούσης δυναστείας τὰ πάθη προφητεύεσθαι· ὧν τῆς πείρας ὁ φιλάνθρωπος θεὸς [ἡμῶν] λυτρούμενος ἡμᾶς, τῇ ἐπουρανίῳ μητροπόλει, τῇ ἄνω Ἱερουσαλὴμ, ἐγκαταλέξοι· ἐν ᾗ *τὰ πάντα ἐν πᾶσιν ἔσται αὐτὸς*, κατὰ τὸν θεῖον ἀπόστολον (α)· *ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν*, [δηλαδὴ ἀποσατικὴν], *καὶ πᾶσαν*

(α) Α' Κορ. ΙΕ', 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξουσίαν καὶ δύναμιν (α)· καὶ τοὺς πιστῶς καὶ φρονίμως ἐνταῦθα αὐτῷ δουλεύσαντας, ἀνακλινεῖ, καὶ διακονήσει αὐτοῖς (β)· τουτέστι, πᾶσαν τὴν ἀπὸ καταβολῆς κόσμου ἡτοιμασμένην τῶν αἰωνίων ἀγαθῶν προθήσει αὐτοῖς ἀπόλαυσιν. Ἧς καὶ ἡμᾶς ἀξιωθῆναι γένοιτο, ἐν Χριστῷ τῷ σωτῆρι καὶ λυτρωτῇ τῶν ψυχῶν ἡμῶν· μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, καὶ τὸ κράτος, ἅμα τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΝΕ'.

ΛΟΓΟΣ ΙΘ'.

Περὶ ἑτέρου ἀγγέλου, τὴν πτῶσιν Βαβυλῶνος δηλοῦντος· καὶ οὐρανίου φωνῆς, τὴν ἐκ τῆς πόλεως φυγὴν ἐντελλομένης· καὶ περὶ τῆς ἀποβολῆς τῶν τερπνῶν, ὧν πρὶν ἐκέκτητο.

ΚΕΦ. XVIII, 1 Καὶ μετὰ ταῦτα εἶδον ἄλλον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην· καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ.

Κἀντεῦθεν τὸ φωτεινὸν καὶ λαμπρὸν τῶν ἁγίων δείκνυται δυνάμεων, πολλῷ τῷ μέτρῳ τὸ ἀστρῷον καὶ φωστηρικὸν ὑπερνικῶν [κάλλος καὶ] σέλας.

2 Καὶ ἔκραξεν ἰσχυρᾷ φωνῇ [μεγάλῃ,] λέγων· Ἔπεσεν, ἔπεσε Βαβυλὼν ἡ μεγάλη· καὶ ἐγένετο κατοικητήριον δαιμόνων, καὶ φυλακὴ παντὸς πνεύμα-

(α) Α' Κορ. ΙΕ', 24. (β) Λουκ. ΙΒ', 37.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

3 τος ἀκαθάρτου καὶ μεμισημένου· ὅτι ἐκ τοῦ θυμοῦ τοῦ οἴνου τῆς πορνείας [αὐτῆς] πεπώκασι πάντα τὰ ἔθνη·

Περὶ δὲ τῆς Χαλδαίων μητροπόλεως [Βαβυλῶνος], τῆς ὑπὸ Κύρου καὶ Περσῶν ἁλούσης, καὶ ἐν Ἡσαΐᾳ συγγενῆ τούτοις προεφητεύετο (α)· ἅτε θηρίων καὶ πνευμάτων ἀκαθάρτων πληροῦσθαι μελλούσης διὰ [τὴν] παντελῆ ἐρήμωσιν· (ἔθος γὰρ τοῖς τε θηρίοις, τοῖς τε πονηροῖς δαίμοσι, τὰς ἐρήμους διώκειν·) διά τε τὴν θείαν οἰκονομίαν, τῆς αὐτῶν βλάβης τοὺς ἀνθρώπους ἐλευθεροῦσαν· διά τε τὸ οἰκεῖον μισάνθρωπον. Πῶς δὲ *τοῦ οἴνου τῆς ἰδίας πορνείας τὰ ἔθνη ἐπότισεν* ἡ παροῦσα Βαβυλών; Ἢ πάντως καθηγεμὼν πάσης παρανομίας τούτοις γινομένη, καὶ ταῖς ὑπηκόοις πόλεσι διὰ δώρων ἄρχοντας ἐχθρούς τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης ἐκπέμπουσα.

Καὶ οἱ βασιλεῖς τῆς γῆς μετ' αὐτῆς ἐπόρνευσαν· καὶ οἱ ἔμποροι τῆς γῆς, ἐκ τῆς δυνάμεως τοῦ στρήνους αὐτῆς ἐπλούτησαν.

Καὶ διὰ τὴν ὑπερβολὴν, [φησὶ], τοῦ ἐξ ἀδικίας πλούτου, ἐν τοῖς ὑπὲρ τὴν χρείαν ἐκτεινομένη, καὶ καταστρηνιῶσα τῶν δεομένων, τοῖς τῆς γῆς ἐμπόροις κέρδους ὑπόθεσις γέγονεν.

4 Καὶ ἤκουσα ἄλλης φωνῆς ἐκ τοῦ οὐρανοῦ, λεγούσης· Ἐξέλθετε λαός μου ἀπ' αὐτῆς, ἵνα μὴ συγκοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς, καὶ ἐκ τῶν πληγῶν
5 αὐτῆς ἵνα μὴ λάβητε· ὅτι ἐκολλήθησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ· καὶ ἐμνημόνευσεν ὁ θεὸς τῶν ἀδικημάτων αὐτῆς.

Ὅπερ τῷ Λὼτ ἐν Σοδόμοις ἐλέγετο· *Σώζων σῶσον τὴν σεαυτοῦ ψυχήν* (β)· καὶ ἐν [τῷ] Ἡσαΐᾳ· *Ἐξέλθετε ἀπ' αὐτῆς, καὶ ἀφορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε* (γ)· τοῦτο κάν-

(α) Ησ. ΙΓ', 21. (β) Γεν. ΙΘ', 17, (γ) Ἡσ. ΝΒ', 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦθά φησι· φευκτὴ γὰρ ἡ μετὰ τῶν παραπικραινόντων τὸν θεὸν ὁμιλία καὶ διαίτησις.

6 Ἀπόδοτε αὐτῇ, ὡς καὶ αὐτὴ ἀπέδωκεν ὑμῖν· καὶ διπλώσατε αὐτῇ διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς· ἐν τῷ ποτηρίῳ, ᾧ ἐκέρασεν [ὑμῖν,] κεράσατε αὐτῇ διπλοῦν·
7 ὅσα ἐδόξασεν ἑαυτὴν καὶ ἐστρηνίασε, τοσοῦτον δότε αὐτῇ βασανισμὸν [καὶ πένθος·]

Ταῦτα ἢ [ὡς] πρὸς τοὺς ἐν αὐτῇ ἀθῴους, καὶ πεπονθότας ὑπὸ τῶν ἐν αὐτῇ κρατούντων κάκιστά, φησιν, ὡς αἰτίους διὰ τῆς τῶν ἀλγεινῶν ὑπομονῆς τῆς τῶν ἐπαγαγόντων ταῦτα κολάσεως· ἢ μετάβασιν δηλοῖ ἐκ προσώπων εἰς πρόσωπα, ἐκ τῶν ἠδικημένων πρὸς δυνάμεις [τινὰς] ἁγίας τιμωρητικάς, οἰκειουμένας διὰ φιλαθεΐαν τὰς εἰς τοὺς συνδούλους γεγονυίας παρ' αὐτῆς κακώσεις. *Διπλοῦν* δὲ *τὸ ποτήριόν* φησιν, ἢ διὰ τὸ κἀνταῦθα καὶ ἐν τῷ μέλλοντι [αἰῶνι] τοὺς λίαν ἁμαρτωλοὺς καὶ παρανόμους κολάζεσθαι· ἢ διὰ τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐξ ὧν ἡ πρᾶξις κοινὴ, καὶ καθ' ὧν ἡ κόλασις· [ἢ] διὰ τὸ τῆς θείας φιλανθρωπίας πέλαγος, διπλᾶ ὀργιζομένης, τὰ καὶ αὐτῆς τῆς ἀκράτου δικαιοσύνης ἀποδέοντα, διὰ τὸ τὴν ἁμαρτίαν ἔχειν [καὶ] ἐν τῷ τολμᾶσθαι πολλάκις τὴν ἐκ τοῦ συνειδότος κόλασιν.

Ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει· Κάθημαι βασίλισσα, καὶ χήρα οὐκ εἰμὶ, καὶ πένθος οὐ μὴ ἴδω.

Καὶ *πένθος οὐ μὴ ἴδω*. *Ἔθος* γὰρ τοῖς ἐν εὐθυμίᾳ τὸν βίον διάγουσι λέγειν, εἰ μὴ θεῖος αὐτοῖς πρόσεστι φόβος· *Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα* (α)· ὃ καὶ ταύτῃ προσμεμαρτύρηκε.

8 Διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς, θάνατος, καὶ πένθος, καὶ λιμός· καὶ ἐν πυρὶ κατακαυθήσεται· ὅτι ἰσχυρὸς Κύριος ὁ θεὸς ὁ κρίνας αὐτήν.

(α) Ψαλμ. ΚΘ', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μίαν δὲ *ἡμέραν* φησὶν, ἢ τὸ ἀθρόον καὶ ὀλίγον τοῦ καιροῦ, ἐν ᾧ ἔκ τε ῥομφαίας, ἔκ τε λοιμοῦ καὶ λιμοῦ πένθος αὐτῇ προσγενήσεσθαι, καὶ φθαρήσεσθαι, καὶ πυρὶ κατακαυθήσεσθαι· ἢ καὶ αὐτῆς τῆς ἡμέρας τὸν ὄρθρον, ἐν ᾗ ταῦτα αὐτὴν προφητεύει πείσεσθαι. Μετὰ γὰρ τὸ ἐγκρατεῖς γενέσθαι τῆς πόλεως τοὺς ἐχθροὺς, ἐξαρκεῖ καὶ μία ἡμέρα, πᾶσαν τοῖς ἠττηθεῖσιν ἐπαγαγεῖν κάκωσιν, καὶ πολυειδεῖς θανάτου τρόπους· ἰσχύοντος τοῦ θεοῦ, ὥσπερ σώζειν τοὺς εὐαρεστοῦντας αὐτῷ, οὕτω καὶ κολάζειν τοὺς ἀμετανοήτως ἐξαμαρτάνοντας.

9 Καὶ κλαύσονται αὐτὴν, καὶ κόψονται ἐπ' αὐτῆς
οἱ βασιλεῖς τῆς γῆς, οἱ μετ' αὐτῆς πορνεύσαντες
καὶ στρηνιάσαντες, ὅταν βλέπωσι τὸν καπνὸν τῆς
10 πυρώσεως αὐτῆς, ἀπὸ μακρόθεν ἑστηκότες, διὰ
τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, λέγοντες· Οὐαὶ,
οὐαὶ, ἡ πόλις ἡ μεγάλη Βαβυλὼν, ἡ πόλις ἡ ἰσχυ-
ρά· ὅτι ἐν μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου.

Βασιλεῖς δὲ *τῆς γῆς* ἡγούμεθα [ἐνταῦθα] τοὺς ἄρχοντας λέγεσθαι, ὡς περὶ τῆς Ἱερουσαλὴμ ὁ ψαλμῳδός φησιν· Ἰδοὺ, οἱ βασιλεῖς αὐτῆς συνήχθησαν (α). Τούτους δὲ λέγει, τὴν ἐκ τῶν θείων ἐντολῶν πορνείαν ἐν αὐτῇ πράξαντας, κλαύσεσθαι, τὴν αὐτῆς ὁρῶντας ἢ ἀκούοντας πυρπόλησίν τε καὶ ἐρήμωσιν, καταπληττομένους τὴν ἀθρόαν μεταβολὴν, πῶς ἐν ἀκαριαίῳ καιρῷ γέγονεν!

11 Καὶ οἱ ἔμποροι τῆς γῆς κλαίουσι καὶ πενθοῦσιν
ἐφ' ἑαυτοῖς, ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει
12 οὐκέτι· γόμον χρυσοῦ καὶ ἀργύρου, καὶ λίθου τι-
μίου, καὶ μαργαρίτου, καὶ βύσσου καὶ πορφυροῦ,
καὶ κοκκίνου καὶ σηρικοῦ·

Τῶν γὰρ ἐν δυναστείᾳ καὶ τρυφῇ φθειρομένων, περιττὴ ἡ τούτων ὠνὴ καὶ κατάχρησις.

(α) Ψαλμ. Β', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ πᾶν ξύλον θύϊνον, καὶ πᾶν σκεῦος ἐλεφάντινον, καὶ πᾶν σκεῦος ἐκ ξύλου τιμιωτάτου, καὶ χαλκοῦ,
13 καὶ σιδήρου, καὶ μαρμάρου· καὶ κινάμωμον, καὶ θυμίαμα, καὶ σμύρναν καὶ λίβανον, καὶ οἶνον καὶ ἔλαιον, καὶ σεμίδαλιν καὶ σῖτον, καὶ κτήνη καὶ πρόβατα·

Προσυπακούεται τούτοις τὸ, *Οὐδεὶς ἀγοράζει*. Σκοπεῖν δὲ ἡμᾶς χρὴ, τίνι τῶν πόλεων ἄρα ἡ [τῶν] τοιούτων εἰδῶν ὠνὴ συνήθης, καὶ τίσι μᾶλλον ἀνθρώποις ἡ τῶν περισσῶν κτῆσις περισπούδαστος διὰ τρυφὴν ἄμετρον. Οὐ περὶ τῆς ἀρχαίας Βαβυλῶνος ἐκληπτέον πάντως τὰ χρησμῳδούμενα, οὐ περὶ τῆς παλαιᾶς ἢ τῆς νέας Ῥώμης, οὐ περὶ μιᾶς τινος ἄλλης πόλεως· ἀλλὰ περὶ τοῦ σύμπαντος τούτου φθαρτοῦ κόσμου καὶ τῶν τούτου οἰκητόρων, οἳ, τὰ πρόσκαιρα ἐμπορευόμενοι, κλαυθμῷ καὶ πένθει ἁλώσονται.

Καὶ ἵππων, καὶ ῥέδων, καὶ σωμάτων·

Καὶ *ἵππων* καὶ *ῥέδων* καὶ *σωμάτων*, [φησὶν], ἡ χρῆσις περισσή. Διὰ δὲ τοῦ *ῥέδων*, τὰ ὀχήματα εἰκὸς σημαίνεσθαι· *ῥέδα* γὰρ ῥωμαϊστὶ τὸ ὄχημα [λέγεται]· ἡ δὲ τούτου γενικὴ τῶν πληθυντικῶν, *ῥεδάρουμ*· ἥτις κατὰ συγκοπὴν *ῥέδων* γέγονε.

14 Καὶ ψυχὰς ἀνθρώπων. Καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας τῆς ψυχῆς σου ἀπῆλθεν ἀπὸ σοῦ· καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ λαμπρὰ ἀπώλετο ἀπὸ σοῦ· καὶ οὐκέτι οὐ μὴ εὑρῇς αὐτά.

Οὔτε ψυχὰς ἀνθρώπων ἐμπορεύσῃ, [φησὶ,] τοῦ λοιποῦ, καταδουλοῦσα τοὺς ἐλευθέρους, οὔτε τῶν πάλαι λιπαρῶν καὶ λαμπρῶν ἕξεις τὴν ἀπόλαυσιν.

15 Οἱ ἔμποροι τούτων, οἱ πλουτήσαντες ἀπ' αὐτῆς,
ἀπὸ μακρόθεν στήσονται, διὰ τὸν φόβον τοῦ βασα-
16 νισμοῦ αὐτῆς, κλαίοντες καὶ πενθοῦντες, καὶ λέγοντες· Οὐαὶ, οὐαὶ, ἡ πόλις ἡ μεγάλη, ἡ περιβε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βλημένη βύσσον, καὶ πορφύραν, καὶ κόκκινον, καὶ κεχρυσωμένη ἐν χρυσῷ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις· ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦτος.

Ὑπ' ὄψιν ἄγει τὰ τῆς Βαβυλῶνος ταύτης πάθη, διὰ τῶν ἐπ' αὐτῇ θρήνων τὸ τῆς συμφορᾶς διαγράφων μέγεθος· ὅπερ πείσεται ἡ τὸ πρὶν αὐχοῦσα ἐπὶ βασιλικῷ ἀξιώματι.

17 Καὶ πᾶς κυβερνήτης, καὶ πᾶς [ὁ] ἐπὶ τῶν πλοίων πλέων, καὶ ναῦται, καὶ ὅσοι τὴν θάλασσαν ἐργά-
18 ζονται, ἀπὸ μακρόθεν ἔστηκότες, ἔκραζον, βλέποντες τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, [καὶ ἔλεγον· Τίς
19 ὁμοία τῇ πόλει τῇ μεγάλῃ; Καὶ ἔβαλον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν· καὶ ἔκραζον, κλαίοντες καὶ πενθοῦντες, καὶ] λέγοντες· Οὐαὶ, οὐαὶ, ἡ πόλις ἡ μεγάλη· ἐν ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες πλοῖα ἐν τῇ θαλάσσῃ, ἐκ τῆς τιμιότητος αὐτῆς· ὅτι [ἐν] μιᾷ ὥρᾳ ἠρημώθη.

Εἰ καὶ θάλασσαν τροπικῶς ὁ παρὼν βίος, ὡς πολυκύμων, εἴρηται, καὶ οἱ ἐν αὐτῇ ἐμπορευόμενοι, οἱ τῷ βιωτικῷ ὡς ἰχθύες νηχόμενοι κλύδωνι· ἀλλ' εἰκὸς καὶ τὴν ταῦτα πάσχουσαν πόλιν, αἰσθητῇ θαλάσσῃ γειτνιῶσαν, [καὶ] τὰ παρὰ τῶν ἐν αὐτῇ πλεόντων δεχομένην, πένθους τούτοις διὰ τῆς οἰκείας ἐρημώσεως ὑπόθεσιν ἔσεσθαι. Ταύτὸν δὲ παθεῖν ἐπάναγκες καὶ τοὺς τῆς παγκοσμίου Βαβυλῶνος, ἤγουν συγχύσεως, ἐμπόρους ἐν τῇ συντελείᾳ τῶν ὁρωμένων, θρηνεῖν τε ἀπαραμύθητα, τῶν ἡδέων τοῦ παρόντος βίου ἀβουλήτως χωριζομένους, καὶ κεντουμένους ὑπὸ τοῦ συνειδότος ἐπὶ ταῖς οἰκείαις πράξεσιν.

20 Εὐφραίνου ἐπ' αὐτὴν, οὐρανὲ, καὶ οἱ ἅγιοι, καὶ οἱ ἀπόστολοι, καὶ οἱ προφῆται· ὅτι ἔκρινεν ὁ θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς.

Διὰ τοῦ οὐρανοῦ ἢ τοὺς ἀγγέλους φησὶν, ἢ τοὺς ἐν αὐτῷ ἔχοντας τὸ πολίτευμα ἁγίους· μεθ' ὧν τοῖς ἀποστόλοις καὶ προφήταις τὴν εὐφροσύνην ἐγκελεύεται· ὅτι περ ἐφ' οἷς ὑβρι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σμένοι παρ' αὐτῆς εἰσιν, ἐκδεδίκηνται· ἢ ὡς πολλάκις διὰ τῆς παραβάσεως τῶν θείων ἐντολῶν ἀτιμασθέντες, ἅτε ἐμβοήσαντες ἀνόνητα τοῖς τῆς λεχθείσης πόλεως οἰκήτορσιν· ἢ ὡς ἐν τῇ καθ' ὅλης τῆς γῆς συγκεχυμένῃ δυναστείᾳ διὰ τὸν θεὸν σφαγιασθέντες, ὅτι τοῖς λόγοις αὐτοῦ διηκονήπαντο. Ὅθεν οἱ μὲν προφῆται ὑπὸ Ἰουδαίων, οἱ δὲ ἀπόστολοι ὑπὸ τῶν ἐθνῶν, οἷς μάλιστα τὸν λόγον ἐκήρυξαν, ἀπεκτάνθησαν. Οὐχ ὡς χαιρεσίκακοι δὲ, τῇ τῶν παιδειῶν ἐπιφορᾷ χαίρουσιν· ἀλλ' ὡς ἐπιθυμίαν διάπυρον περὶ τὴν διακοπὴν τῆς ἁμαρτίας ἔχοντες· ὡς ἂν οἱ ταύτῃ δουλωθέντες ἡμερωτέρας τύχωσι τῆς κολάσεως ἐν τῷ μέλλοντι [αἰῶνι], δι' ὧν ἐνταῦθα μερικῶς μαστίζονται.

21 Καὶ ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον μέγαν ὡς μύλον· καὶ ἔβαλεν εἰς τὴν θάλασσαν, λέγων· Οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ μεγαλόπο-
22 λις· καὶ οὐ μὴ εὑρεθῇ ἔτι. Καὶ φωνὴ κιθαρῳδῶν καὶ μουσικῶν, καὶ αὐλητῶν καὶ σαλπιστῶν, οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι· καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι· [καὶ φωνὴ μύλου οὐ μὴ
23 ἀκουσθῇ ἐν σοὶ ἔτι· καὶ φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι·] καὶ φωνὴ νυμφίου καὶ νύμφης, οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι· ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς· καὶ ἐν τῇ φαρμακείᾳ σου ἐπλα-
24 νήθησαν πάντα τὰ ἔθνη· καὶ ἐν αὐτῇ αἵματα προφητῶν καὶ ἁγίων εὑρέθη, καὶ πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς.

Καθάπερ, [φησὶν], ὁ μύλος καταδύει ὁρμήματι εἰς τὴν θάλασσαν, οὕτω καὶ ἡ τῆς Βαβυλῶνος ταύτης ἀθρόον ἔσται καθαίρεσις· ὥστε μήτε ἴχνος αὐτῆς φυλαχθῆναι εἰς τὸ μετέπειτα· τοῦτο γὰρ σημαίνει ἡ τῶν κιθαρῳδῶν καὶ μουσικῶν, καὶ τῶν λοιπῶν [ᾠδῶν] ἔκλειψις. Τὴν δὲ αἰτίαν φησίν, ὅτι πάντα τὰ ἔθνη ἐν τῇ οἰκείᾳ [μελῳδίᾳ καὶ] φαρμακείᾳ ἐπλάνησε, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἱμάτων προφητῶν καὶ λοιπῶν ἁγίων γέγονε δοχεῖον· δι' ὧν ἁπάντων [καὶ] τὴν ἀσεβῆ παρὰ Πέρσαις Βαβυλῶνα δηλοῦσθαι εἰκός, ὡς πολλῶν ἁγίων κατὰ διαφόρους καιροὺς μέχρι τοῦ νῦν δεξαμένην αἵματα, καὶ ὡς μαγείαις καὶ ἀπάταις διηνεκῶς χαίρουσαν. Καὶ τοῦτο ἡμῖν εὐχῆς ἔργον, ταύτην τὰ προφητευθέντα δέξασθαι τῆς κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ δούλων ἀλαζονείας ἐπίχειρα [φέρουσαν.] Ἀλλ' ἐναντιοῦσθαί πως δοκεῖ τῇ ὑπολήψει ταύτῃ τὸ ἐκ τῶν ἀρχαίων τῆς ἐκκλησίας διδασκάλων κατὰ τῆς παρὰ Ῥωμαίοις Βαβυλῶνος ταῦτα φάναι προφητεύεσθαι, διὰ τὸ ἐν τῷ τετάρτῳ θηρίῳ ἑωρᾶσθαι τὰ δέκα κέρατα, τουτέστιν, ἐν τῇ Ῥωμαίων ἀρχῇ· καὶ ἐξ αὐτῆς τὸ ἓν βλαστάνον ἐκριζοῦν τὰ τρία, καὶ τὰ λοιπὰ ὑποτάττειν, καὶ ὡς βασιλέα Ῥωμαίων ἐλεύσεσθαι· προσχήματι μὲν τοῦ θάλπειν, καὶ συγκροτεῖν τὴν ἀρχὴν αὐτῶν· τῇ δὲ ἀληθείᾳ, τοῦ τὴν τελείαν αὐτῆς λύσιν ἐργάσασθαι. Διό, ὡς εἴρηται, τὴν ὡς ἐν ἑνὶ σώματι ἀρχῆθεν μέχρι τοῦ νῦν κρατήσασαν βασιλείαν ταύτην τις ἐκλαβών, τὴν ὡς ἀληθῶς ἀποστόλων καὶ προφητῶν καὶ μαρτύρων ἐκχέασαν αἵματα, οὐκ ἂν διαμάρτοι τοῦ προσήκοντος· καὶ γὰρ, ὥσπερ εἷς χορὸς καὶ στρατὸς, καὶ μία πόλις λέγεται, κἂν ὑπαλλαγῶσιν οἱ ἀναπληροῦντες τούτων ἕκαστον, οὕτω καὶ βασιλεία μία, κἂν εἰς πολλοὺς χρόνους καὶ τόπους κατακερματίζηται.

ΚΕΦΑΛΑΙΟΝ ΝΓ'.

Περὶ τῆς τῶν ἁγίων ὑμνῳδίας καὶ τοῦ τριπλοῦ Ἀλληλούϊα, ὅπερ ἐπὶ τῇ καθαιρέσει Βαβυλῶνος ᾄδουσιν [οἱ ἅγιοι.]

ΚΕΦ. XIX, 1 Καὶ μετὰ ταῦτα ἤκουσα φωνῆς ὄχλου πολ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λοῦ ἐν τῷ οὐρανῷ, λεγόντων· Ἀλληλούϊα· ἡ σωτηρία καὶ ἡ δόξα [καὶ ἡ τιμὴ] καὶ ἡ δύναμις [Κυρίῳ τῷ
2 θεῷ ἡμῶν·] ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ· ὅτι ἔκρινε τὴν πόρνην τὴν μεγάλην, ἥτις διέφθειρε τὴν γῆν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐξεδίκησε τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ τῆς χειρὸς αὐτῆς.
3 Καὶ δεύτερον εἰρήκασιν· Ἀλληλούϊα· καὶ ὁ καπνὸς
4 [αὐτῆς] ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ ἔπεσον οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι καὶ τὰ τέσσαρα ζῶα, καὶ προσεκύνησαν τῷ θεῷ τῷ καθημένῳ ἐπὶ [τοῦ] θρόνου, λέγοντες· Ἀμήν· Ἀλληλούϊα.

Τὸ μὲν, *Ἀλληλούϊα*, θεῖον αἶνον σημαίνει· τὸ δὲ, *Ἀμὴν*, Ἀληθῶς, ἦ, Γένοιτο· ἅπερ κοινῶς ἔκ τε τῶν ἀγγελικῶν δυνάμεων, ἔκ τε τῶν ἰσαγγέλων ἀνθρώπων, τῷ θεῷ φησιν ἀναπέμπεσθαι τρισσῶς, διὰ τὴν τρισυπόστατον [τοῦ] Πατρὸς [καὶ τοῦ] Υἱοῦ καὶ ἁγίου Πνεύματος ἐνιαίαν θεότητα· ὅτι καὶ τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ [τῆς] χειρὸς Βαβυλῶνος ἐξεδίκησε, καὶ τοὺς αὐτῆς οἰκήτορας διὰ τῆς κολάσεως εὐηργέτησεν, ἐκκοπὴν τῆς ἁμαρτίας ἐργασάμενος. Διὰ δὲ τοῦ, *εἰς αἰῶνας αἰώνων τὸν καπνὸν ἀναβαίνειν* τῆς πόλεως, δηλοῦται ἢ τὸ εἰς τὸ διηνεκὲς τῶν ἐπελθουσῶν αὐτῇ κολάσεων ἀνεπίληστον, ἢ τὸ μερικῶς αὐτὴν δοῦσαν δίκας, μετριωτέρως μεν, αἰωνίως δὲ ὅμως ἐν τῷ μέλλοντι κολασθήσεσθαι.

5 Καὶ φωνὴ ἐκ τοῦ θρόνου ἐξῆλθε, λέγουσα· Αἰνεῖτε τὸν θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ, καὶ οἱ φοβούμενοι αὐτὸν, [καὶ] οἱ μικροὶ καὶ οἱ μεγάλοι.

Θρόνος δὲ *τοῦ θεοῦ*, τὰ Χερουβὶμ, καὶ τὰ Σεραφίμ· ἀφ' ὧν ὑμνεῖν αὐτὸν ἐγκελεύονται, οὐχ *οἱ μεγάλοι* μόνον, ἀλλὰ καὶ *οἱ μικροὶ* ἐν κατορθώμασι, καταλλήλως ἕκαστος τῆς οἰκείας δυνάμεως. Οἶμαι δὲ καὶ οἱ νῦν μικροὶ τῇ ἡλικίᾳ καὶ ἀτελεῖς παῖδες [θνήσκοντες,] μεγάλοι ἀνιστάμενοι, τὸν μεγαλουργὸν θεὸν ὑμνήσουσιν.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

6 Καὶ ἤκουσα φωνῆς ὄχλου πολλοῦ, καὶ ὡς φωνῆς ὑδάτων πολλῶν, καὶ ὡς φωνῆς βροντῶν ἰσχυρῶν, λεγούσης· Ἀλληλούϊα· ὅτι ἐβασίλευσε [Κύριος]
7 ὁ θεὸς ἡμῶν ὁ παντοκράτωρ· χαίρωμεν καὶ ἀγαλλιώμεθα, καὶ δῶμεν τὴν δόξαν αὐτῷ·

Ἡ δὲ *φωνὴ τοῦ ὄχλου* καὶ *τῶν πολλῶν ὑδάτων*, καὶ *τῶν βροντῶν*, δηλοῖ τὸ διαπρύσιον ἐν ὑμνολογίᾳ πασῶν τῶν ἀγγελικῶν καὶ οὐρανίων, ἀναριθμήτων οὐσῶν, δυνάμεων· ἅς τινες τὰ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν (α) ἐνόησαν· μεθ' ὧν καὶ ἅπαν τὸ τῶν δικαίων σύστημά τε καὶ πλήρωμα δοξολογεῖ τὸν κτίσαντα· *Ἐβασίλευσε* δὲ ὁ [Κύριος Ἰησοῦς] Χριστὸς, ὢν φυσικῶς ὡς δημιουργὸς ἐδέσποζε, τούτων διὰ τῆς ἐνανθρωπήσεως βασιλεύσας, ἢ κατὰ γνωμικὴν οἰκείωσιν, ἢ κατ' ἐξουσίαν βασιλεῖ καὶ κριτῇ πρέπουσαν.

ΚΕΦΑΛΑΙΟΝ ΝΖ'.

Περὶ τοῦ μυστικοῦ γάμου, καὶ [τοῦ] δείπνου τοῦ ἀρνίου.

Ὅτι ἦλθεν ὁ γάμος τοῦ ἀρνίου, καὶ ἡ γυνὴ αὐτοῦ
8 ἡτοίμασεν ἑαυτήν· καὶ ἐδόθη αὐτῇ ἵνα περιβάληται βύσσινον καθαρὸν καὶ λαμπρόν· τὸ γὰρ βύσσινον, τὰ
9 δικαιώματα τῶν ἁγίων ἐστί. Καὶ λέγει μοι· Γράψον· Μακάριοι οἱ εἰς τὸ δεῖπνον [τοῦ γάμου] τοῦ ἀρνίου κεκλημένοι· καὶ λέγει μοι· Οὗτοι οἱ λόγοι, ἀληθινοί εἰσι τοῦ θεοῦ.

Γάμον δὲ *τοῦ ἀρνίου*, τὴν τῆς ἐκκλησίας πρὸς Χριστὸν λέγει συνάφειαν· ἧς ἁρμοσταὶ, οἱ θεῖοι γεγόνασιν ἀπόστολοι· δι' ὧν

(α) Ψαλμ. ΡΜΗ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῇ ὁ ἀῤῥαβὼν ἐδόθη τοῦ πνεύματος, ὡς ἀπολῃψομένῃ τότε τὴν πρόσωπον κατὰ πρόσωπον εἰλικρινῆ [τούτου] συνάφειαν. Τὸ δὲ *βύσσινον* τὴν ἐκκλησίαν ἐνδεδύσθαι, δηλοῖ τὸ λαμπρὸν ἐν ἀρεταῖς, καὶ ἐν νοήσει λεπτὸν, καὶ ὑψηλὸν ἐν θεωρήμασι· τούτοις γὰρ τὰ θεῖα ἐξυφαίνονται δικαιώματα. *Δεῖπνον* δὲ *Χριστοῦ*, ἡ τῶν σωζομένων ἑορτὴ καὶ εὐφροσύνη ἐναρμόνιος· ἧς μακάριοι οἱ τευξόμενοι, καὶ τῷ ἁγίῳ τῶν καθαρῶν ψυχῶν νυμφίῳ εἰς τὸν αἰώνιον νυμφῶνα συνεισελευσόμενοι. Ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος. Πολλῶν δὲ ὄντων τῶν τοῦ μέλλοντος αἰῶνος ἀγαθῶν, καὶ πᾶσαν ὑπερβαινόντων διάνοιαν, πολυωνύμως [καὶ] ἡ τούτων μετοχὴ προσφέρεται· ποτὲ μὲν, ὡς *βασιλεία οὐράνιος*, διὰ τὸ ἔνδοξον αὐτῆς καὶ τίμιον· ποτὲ δὲ, ὡς *παράδεισος*, διὰ τὴν ἀνέκλειπτον τῶν ἀγαθῶν πανδαισίαν· ποτὲ δὲ, ὡς *κόλποι Ἀβραὰμ*, διὰ τὴν ἐκεῖ τῶν κεκμηκότων ἀνάπαυσιν· ποτὲ δὲ, ὡς *νυμφὼν* καὶ *γάμος*· οὐ μόνον διὰ τὴν εὐφροσύνην τὴν ἄληκτον, ἀλλὰ καὶ διὰ τὴν εἰλικρινῆ καὶ ἄῤῥητον τοῦ θεοῦ πρὸς τοὺς αὐτοῦ δούλους συνάφειαν, τοσοῦτον ὑπεραίρουσαν τὴν τῶν σωμάτων πρὸς ἄλληλα κοινωνίαν, ὅσον φῶς σκότους καὶ μύρον δυσωδίας διέστηκε.

10 Καὶ ἔπεσον ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι αὐτῷ· καὶ λέγει μοι· Ὅρα μή· σύνδουλός σου εἰμὶ καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ· τῷ θεῷ προσκύνησον· ἡ γὰρ μαρτυρία τοῦ Ἰησοῦ ἐστὶ τὸ πνεῦμα τῆς προφητείας.

Μὴ προσκύνει με, φησὶν ὁ θεῖος ἄγγελος, ὡς τὰ μέλλοντα προλέγοντα· ἡ γὰρ εἰς Χριστὸν μαρτυρία, ἤγουν ὁμολογία, αὕτη χορηγός ἐστι προφητικοῦ πνεύματος. Καὶ ἑτέρως δὲ νοητέον· ὅτι διὰ τοῦτο ἡ προφητεία, ἵνα βεβαιωθῇ ἡ Χριστοῦ μαρτυρία, καὶ ἡ πίστις ὑπὸ τῶν ἁγίων διαμαρτύρηται· διὸ, Μή [μοι] τῷ συνδούλῳ προσκύνει, ἀλλὰ τῷ πάντων τὸ κράτος ἔχοντι. Κἀκτούτου δὲ τὸ ταπεινὸν φρόνημα τῶν ἁγίων ἀγγέλων μανθάνομεν, πῶς οὐ σφετε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρίζονται τὴν θείαν δόξαν κατὰ τοὺς ἀλάζορας δαίμονας, ἀλλὰ ταύτην τῷ δεσπότῃ προσφέρουσι. Γένοιτο δὲ καὶ ἡμᾶς, τῇ ταπεινοφροσύνῃ προηγουμένους ἀλλήλων, τὸ δεσποτικὸν πληροῦν λόγιον, τὸ φάσκον· *Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾳὸς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν* (α)· καὶ τυχεῖν τῆς ἐν τῷ μέλλοντι [αἰῶνι] ἀναπαύσεως, ἔνθα ἀπέδρα [πᾶσα ὀδύνη,] λύπη καὶ στεναγμός (β)· ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία (γ)· καταυγαζόμενοι τῷ φωτὶ τοῦ προσώπου Χριστοῦ τοῦ θεοῦ ἡμῶν· ᾧ πρέπει πᾶσα δοξολογία, τιμὴ, καὶ προσκύνησις, ἅμα τῷ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, [νῦν καὶ ἀεὶ, καὶ] εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΝΗ'.

ΛΟΓΟΣ Κ'.

Ὅπως τὸν Χριστὸν ἔφιππον μετὰ δυνάμεων ἀγγελικῶν ὁ εὐαγγελιστὴς ἐθεάσατο.

11 Καὶ εἶδον τὸν οὐρανὸν ἠνεῳγμένον· καὶ, ἰδοὺ, ἵππος
λευκός· καὶ ὁ καθήμενος ἐπ' αὐτῷ, πιστὸς καὶ ἀλη-
12 θινός· καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ· οἱ δὲ
ὀφθαλμοὶ αὐτοῦ, φλὸξ πυρός· καὶ ἐπὶ τὴν κεφαλὴν
αὐτοῦ διαδήματα πολλά·

Τὸ *ἠνεῳχθαι τὸν οὐρανὸν*, δηλοῖ τὴν τοῦ ὁραθέντος κριτοῦ παρουσίαν ἐλεύσεσθαι· ὥσπερ ἡ τῶν ἐνταῦθα παραπετασμάτων συνολκὴ, τῶν ἐπὶ γῆς δικαστῶν τὴν κατὰ τῶν ὑπευθύνων κρίσιν καὶ ἀπόφασιν· ὁ δὲ *λευκὸς ἵππος*, τὴν τῶν ἁγίων φαιδρότητα

(α) Ματθ. ΙΑ', 29. (β) Ἡσ. ΝΑ', 11. (γ) Ψαλμ. Πς', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν μέλλουσαν· ᾧ ὁ ἐποχούμενος, κρίνει τὰ ἔθνη τοῖς ὀφθαλμοῖς [αὐτοῦ τοῖς φλογεροῖς καὶ πυρίνοις,] ἤγουν τῇ ἐποπτικῇ αὐτοῦ δυνάμει, ἀφορίζων φλόγα πυρὸς, δικαίοις μὲν, φωτιστικὴν, ἀλλ' οὐ καυστικήν· ἁμαρτωλοῖς δὲ, καυστικὴν, ἀλλ' ἀφώτιστον. Τὰ δὲ *πολλὰ διαβήματα*, [ἢ] τὴν κατὰ πάντων αὐτοῦ βασιλείαν τῶν [τε] ἐν οὐρανῷ καὶ γῇ αἰνίττονται· τοσαῦτα γὰρ ὅσα καὶ τὰ ἐν ἀγγέλοις τάγματα, καὶ τὰ ἐπὶ γῆς σκῆπτρα, καὶ τὰ ἐν ἁγίοις ἀνθρώποις συστήματα· ἢ τὴν ἐν πάσαις ταῖς περὶ ἡμᾶς οἰκονομίαις κατὰ τῶν ἁμαρτωλῶν διὰ μακροθυμίας νίκην, ὡς φησιν ὁ Δαυίδ· Καὶ *νικήσεις ἐν τῷ κρίνεσθαί σε* (α).

Ἔχων [ὀνόματα γεγραμμένα καὶ] ὄνομα γεγραμμένον, ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός.

Τὸ δὲ ἀγνωστον τοῦ ὀνόματος, τὸ τῆς οὐσίας αὐτοῦ σημαίνει ἀκατάληπτον. Ταῖς γὰρ οἰκονομίαις ὢν πολυώνυμος, ὡς ἀγαθὸς, ὡς ποιμὴν, ὡς ἥλιος, ὡς φῶς, ὡς ζωὴ, ὡς δικαιοσύνη, ὡς ἁγιασμὸς, ὡς ἀπολύτρωσις· καὶ ταῖς ἀποφάσεσιν ὁμοίως, ὡς ἄφθαρτος, ὡς ἀθάνατος, ὡς ἀόρατος, ὡς ἀναλλοίωτος· τῇ οὐσίᾳ [ἐστὶν] ἀνώνυμος καὶ ἀνέφικτος· ἑαυτῷ μόνῳ σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι γινωσκόμενος.

13 Καὶ περιβεβλημένος ἱμάτιον βεβαμμένον αἵματι· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ· ὁ ΛΟΓΟΣ ΤΟΥ ΘΕΟΥ.

Ἱμάτιον ἐνταῦθα τοῦ Θεοῦ Λόγου, ἡ παναγία καὶ ἄφθαρτος αὐτοῦ σὰρξ, ἡ βαφεῖσα ἐν τῷ ἑκουσίῳ πάθει τῷ ἰδίῳ αὐτοῦ αἵματι. Διὰ τούτου τὰ προεκτεθέντα πιστοῦται. Ἀλλ' εἰκὸς ἐστί τινα ἐπαπορῆσαι, πῶς ὁ ἀνώνυμος καὶ πᾶσιν ἄγνωστος, ἐνταῦθα Λόγος ὀνομάζεται; Ἢ πρὸς ἔνδειξιν τῆς υἱϊκῆς ὑποστάσεως, καὶ τῆς ἀπαθοῦς ἐκ πατρὸς γεννήσεως, καθάπερ καὶ ὁ ἡμέτερος λόγος ἐκ τοῦ [ἡμετέρου] νοῦ πρόεισιν· ἢ τὸ πάντων τῶν ὄν-

(α) Ψαλμ. Ν', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των τους λόγους ἐν ἑαυτῷ φέρειν· ἢ τὸ ἐξαγγελεὺς εἶναι τῆς πατρικῆς σοφίας τε καὶ δυνάμεως.

14 Καὶ τὰ στρατεύματα τὰ ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ ἐφ' ἵπποις λευκοῖς, ἐνδεδυμένοι βύσσινον λευκὸν καὶ καθαρόν.

Τὸ δὲ *ἀκολουθεῖν αὐτῷ τὰ στρατεύματα τὰ ἐν τῷ οὐρανῷ*, τὰς οὐρανίας τάξεις σημαίνει, τῷ λεπτῷ τῆς οὐσίας, καὶ τῷ τῶν νοημάτων ὑψηλῷ, καὶ τῷ λαμπρῷ τῶν ἀρετῶν κατηγλαϊσμένας, καὶ [τῷ ἀδιαστάτῳ] τῆς ἀκριβοῦς πρὸς θεὸν ἑνώσεως.

15 Καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία [δίστομος], ὀξεῖα, ἵνα ἐν αὐτῇ πατάξῃ τὰ ἔθνη· καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· καὶ αὐτὸς πατεῖ τὸν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ καὶ τῆς ὀργῆς τοῦ θεοῦ τοῦ παντοκράτορος.

Ἡ δὲ *ῥομφαία* [αὕτη,] δηλοῖ τὴν ἐπαχθησομένην τοῖς ἀσεβέσι καὶ ἁμαρτωλοῖς κόλασιν, κατὰ δίκαιον κρίμα καὶ πρόσταγμα, ἐκ τοῦ θείου στόματος ἐκφερόμενον· δι' οὗ τῇ ἀθραύστῳ τῶν ἀπεράντων κολάσεων, πρὸς ἀνενεργησίαν τῆς πολυσχιδοῦς κακίας, ποιμανθήσονται ῥάβδῳ· ἧς οἱ ἅγιοι μένουσιν ἀπείρατοι· ὅτι *οὐκ ἀφήσει Κύριος ἐπ' αὐτοὺς τὴν ῥάβδον τῶν ἁμαρτωλῶν*, κατὰ τὸ ψαλμικὸν λόγιον (α). *Τὸν* δὲ *ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ πατεῖ* ὅτι *ὁ πατὴρ* [οὐ] *κρίνει οὐδένα, ἀλλ' αὐτῷ τὴν κρίσιν ὡς ἀνθρώπῳ δέδωκεν* (β), ἣν φυσικῶς ὡς υἱὸς ἀρχῆθεν ἐκέκτητο.

16 Καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ [τὸ] ὄνομα γεγραμμένον· ΒΑΣΙΛΕΥΣ ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΚΥΡΙΟΣ ΚΥΡΙΩΝ.

Τὸ δὲ, *Βασιλεὺς βασιλέων*, ὄνομα, δηλοῖ τὸ τῆς θείας ἐνανθρωπήσεως ἄτμητον· καθ' ἣν, θεὸς ὢν, σαρκὶ πέπονθε· καὶ ἄν-

(α) Ψαλμ. ΡΚΔ', 3. (β) Ιωαν. Ε', 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θρωπος ὑπάρχων, Βασιλεὺς βασιλέων ἐστὶ, τῶν βασιλευσάντων κατὰ παθῶν, καὶ *Κύριος κυρίων*, τῶν τὸ κῦρος καὶ τὸ κράτος κατὰ τῆς ἁμαρτίας συνεργίᾳ Χριστοῦ κτησαμένων, καὶ συμβασιλευσόντων αὐτῷ ἐν τῷ μέλλοντι [αἰῶνι.]

ΚΕΦΑΛΑΙΟΝ ΝΘ΄.

Περὶ τοῦ Ἀντιχρίστου, καὶ τῶν σὺν αὐτῷ βαλλομένων εἰς τὴν γέενναν.

17 Καὶ εἶδον [ἕνα] ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ· καὶ ἔκραξε φωνῇ μεγάλῃ, [λέγων] πᾶσι τοῖς ὀρνέοις τοῖς πετομένοις ἐν μεσουρανήματι·

Καὶ τοῦτον τὸν ἄγγελον ἕνα τῶν ὑπερεχόντων εἶναι νομίζομεν, τοῖς λοιποῖς ἀγγέλοις εὐφροσύνην ἐγκελευόμενον ἐπὶ τῇ τῶν ἁμαρτωλῶν κολάσει, καὶ τῇ τῆς ἁμαρτίας ἐκλείψει. *Ὄρνεα* δὲ, τοὺς ἀγγέλους, διὰ τὸ ὑψιπετὲς καὶ μετάρσιον, πρὸς ἡμετέραν σαφήνειαν ὠνόμασεν· οἷς χριστομιμήτως τροφὴ ἐστιν ἡ τοῦ θείου θελήματος ἐκπλήρωσις. *Ἐν μεσουρανήματι δὲ*, ἵνα καὶ τοῖς ἰσαγγέλοις ἀνθρώποις μεθεκτὴ ἡ ἄνοδος, καὶ ἡ προλεχθεῖσα εὐφροσύνη γένηται, ὧν ἡ μεσιτεία, ἀναγωγικὴ τῶν κάτω καθέστηκε· δι' ὧν οἱ ἅγιοι εἰς ἀπάντησιν τοῦ Κυρίου ἁρπάζονται.

Δεῦτε, [συνάχθητε] εἰς τὸ δεῖπνον τὸ μέγα τοῦ
18 θεοῦ, ἵνα φάγητε σάρκας βασιλέων, καὶ σάρκας χιλιάρχων, καὶ σάρκας ἰσχυρῶν· καὶ σάρκας ἵππων, καὶ τῶν καθημένων ἐπ' αὐτῶν, καὶ σάρκας πάντων, ἐλευθέρων τε καὶ δούλων, καὶ μικρῶν καὶ μεγάλων.

Τὸ μὲν προηγούμενον τοῦ θεοῦ θέλημα, ὃ καὶ *εὐδοκία* λέγεται, καὶ *δεῖπνον*, αὐτῷ περιπόθητον, τὸ *πάντας ἀνθρώπους σωθῆναι*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐζῆ, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν (α), καὶ ἐπιστρέψαι καὶ ζῆν αὐτούς (β)· τὸ δὲ δεύτερον καὶ οἱονεὶ ἑπόμενον, τὸ κολασθῆναι τοὺς ἑαυτοῖς ἐπισπωμένους τὴν κόλασιν. Τὸ τοίνυν πατρικὸν θέλημα, ὁ Χριστὸς *βρῶσιν οἰκείαν* ἐκάλεσε. Τοῦτο τοίνυν ἐνταῦθα, *δεῖπνον θεοῦ* ὀνομάζεται· τυγχανόντων [τῶν] ἀνθρώπων ὧν ἕκαστος δι' ἔργων ἐπεθύμησεν, ἢ βασιλείας ἢ τιμωρίας. Διὰ δὲ τῆς *βρώσεως τῶν σαρκῶν*, σημαίνεται ὁ τῶν σαρκικῶν πάντων ἀφανισμός, καὶ ἡ τῶν ἀρχικῶν ἐπὶ γῆς ὀνομάτων ἔκλειψις. Ἵππων δὲ μέμνηται, οὐχ ὡς αὐτῶν ἀναστησομένων [ἢ κριθησομένων·] ἀλλὰ διὰ μὲν τούτων, ἢ τοὺς θηλυμανεῖς, ἢ τοὺς ὑποβεβηκότας τῇ πονηρίᾳ, ἢ καὶ ἀμφότερα· διὰ δὲ τῶν *ἐπιβατῶν* αὐτῶν, τοὺς ἐν κακίᾳ προῦχοντας αἰνιττόμενος· ὃ καὶ παρακατιὼν ἐσαφήνισεν εἰπών· *Ἐλευθέρων τε καὶ δούλων, μεγάλων καὶ μικρῶν*· διὰ μὲν τῶν ἐλευθέρων καὶ τῶν μεγάλων, τοὺς μᾶλλον ἐξουσιαστικῶς ἁμαρτάνοντας· διὰ δὲ τῶν δούλων καὶ τῶν μικρῶν, τοὺς ἧττον πλημμελοῦντας, ἢ κατὰ γνώμην, ἢ καθ' ἡλικίαν, ἢ κατ' ἀσθένειαν.

19 Καὶ εἶδον τὸ θηρίον, καὶ τοὺς βασιλεῖς τῆς γῆς, καὶ τὰ στρατεύματα αὐτῶν συνηγμένα ποιῆσαι πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ.

Τοὺς μὲν τῷ διαβόλῳ συστρατευομένους, [*στρατεύματα*] πληθυντικῶς ὀνομάσας, διὰ τὸ πολυσχιδὲς τῆς ἁμαρτίας καὶ διῃρημένον καὶ πολύγνωμον· καίπερ ἐλάχιστον μέρος τῶν ἀγγελικῶν δυνάμεων καὶ τῶν ἰσαγγέλων ἀνθρώπων ὑπάρχοντας. Τοὺς δὲ τῷ Χριστῷ ἑπομένους, ἑνικῶς *στράτευμα* προσηγόρευσε, διὰ τὸ τῆς γνώμης ἑνιαῖον θέλημα τῆς πρὸς τὸν θεὸν Λόγον εὐαρεστήσεως.

20 Καὶ ἐπιάσθη τὸ θηρίον, καὶ μετ' αὐτοῦ ὁ ψευδοπρο-

(α) Α' Τιμ. Β', 4. (β) Ἰεζ. ΙΗ', 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φήτης, ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ, ἐν οἷς ἐπλάνησε τοὺς λαβόντας τὸ χάραγμα τοῦ θηρίου, καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ·

Εἰ καὶ τῷ σωτῆρι Χριστῷ οὗτοι σὺν τοῖς πειθαρχήσασιν αὐτοῖς βασιλεῦσι καὶ ἄρχουσιν ἀντετάξαντο· ἀλλ' ἀμφότεροι ἡττηθέντες, ὅ τε Ἀντίχριστος καὶ ὁ ψευδοπροφήτης, ὁ σημείοις καὶ τέρασι ποιήσας τὸν ἀπατεῶνα εὐπαράδεκτον, ὑπὸ τῆς θείας ὀργῆς καταλαμβάνονται.

Ζῶντες βληθήσονται οἱ δύο εἰς τὴν λίμνην τοῦ πυρὸς, τὴν καιομένην ἐν [τῷ] θείῳ.

Εἰκὸς μὲν οὖν, ὡς οὗτοι τὸν κοινὸν οὐκ ἀποθνήσκουσι θάνατον, ἀλλ' ἐν ῥοπῇ ὀφθαλμοῦ ἀπαθανατιζόμενοι, τῷ δευτέρῳ θανάτῳ, τῇ λίμνῃ τοῦ πυρὸς, καταδικάζονται· ὥς φησιν ὁ Ἀπόστολος περὶ ἑτέρων « *οὐ κοιμηθησομέν*ω*ν μὲν, μεταλλαγησομέν*ω*ν δὲ ἐν ἀτόμῳ* [*ἐν*] *ῥιπῇ ὀφθαλμοῦ* (α).» Καὶ οὗτοι μὲν, [εἰκὸς] εἰς κρίσιν ἐλεύσονται· οἱ δὲ παρόντες [δύο,] ὡς δυσσεβεῖς καὶ ἀντίθεοι, οὐκ εἰς κρίσιν, ἀλλ' εἰς κατάκρισιν. Εἰ δέ τισιν οὐ τοῦτο δοκεῖ, διὰ τὸ φῆσαι τὸν Ἀπόστολον ἀναιρεῖσθαι τὸν Ἀντίχριστον τῷ πνεύματι τοῦ θείου προστάγματος (β), καὶ τινας τῶν διδασκάλων εἰπεῖν, εὑρίσκεσθαι ἐνίους ζῶντας μετὰ τὴν τοῦ ἀντιχρίστου ἀναίρεσιν, τοὺς ὑπὸ τοῦ Δανιὴλ μακαριζομένους, ἐροῦμεν ζῶντας τοὺς δύο τούτους ἐν ἀφθάρτῳ σώματι, μετὰ τὴν καταργηθεῖσαν αὐτῶν ὑπὸ τοῦ θεοῦ δυναστείαν, τῷ πυρὶ τῆς γεέννης παραδίδοσθαι· ἥτις αὐτοῖς ἔσται θάνατος καὶ ἀναίρεσις, τῷ θείῳ τοῦ Χριστοῦ προστάγματι.

21 Καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, τῇ ἐξελθούσῃ ἐκ τοῦ στόματος αὐτοῦ· καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.

(α) Α' Κορ. ΙΕ', 51. (β) Β' Θεσ. Β', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δύο θανάτων ὄντων, τοῦ μὲν πρώτου, τοῦ χωρισμοῦ ψυχῆς καὶ σώματος· τοῦ δὲ δευτέρου, τῆς εἰς γέενναν ἐκπομπῆς, εἰ μὲν [οὖν] ἐπὶ τῶν σὺν τῷ Ἀντιχρίστῳ λόγον ἔχοι τὸν πρότερον, τὸν διὰ σαρκὸς, προηγήσασθαι θάνατον τῇ τοῦ θεοῦ ῥομφαίᾳ, δηλαδὴ τῷ αὐτοῦ προστάγματι· εἶθ' οὕτως ἀκολουθῆσαι τὸν δεύτερον, εὖ ἂν ἔχοι· εἰ δὲ μή γε, τὸ καὶ τούτους κοινωνῆσαι τοῖς ἀπατήσασιν αὐτοὺς τοῦ δευτέρου θανάτου, τῆς αἰωνίου κολάσεως. Τὸ δὲ *χορτασθῆναι τὰ ὄρνεα*[*ἐκ*] *τῶν σαρκῶν αὐτῶν*, κατὰ τὸ προαποδοθὲν καὶ νῦν ἐξελάβομεν. Πρὸς τούτῳ δὲ ὅτι, καθὼς φησί τισι διὰ [τοῦ] Ἡσαΐου ὁ θεός· *Ἐγενήθητέ μοι εἰς πλησμονήν* (α)· οὕτω καὶ τοῖς ἁγίοις προσκορὴς, καὶ ἐπαχθὴς, καὶ ὀδελυκτὴ ἡ σαρκικὴ κίνησις πᾶσα.

ΚΕΦΑΛΑΙΟΝ Ξ΄.

Ὅπως ὁ Σατανᾶς ἐδέθη ἀπὸ τῆς τοῦ Χριστοῦ σταυρώσεως μέχρι [καιροῦ] τῆς συντελείας· καὶ περὶ τῶν χιλίων ἐτῶν.

ΚΕΦ. XX, 1 Καὶ εἶδον ἄγγελον ἐκ τοῦ οὐρανοῦ καταβαίνοντα, ἔχοντα τὴν κλεῖδα τῆς ἀβύσσου, καὶ ἅλυσιν
2 μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ. Καὶ ἐκράτησε τὸν δράκοντα, τὸν ὄφιν τὸν ἀρχαῖον, ὃς ἐστι Διάβολος καὶ Σατανᾶς, [ὁ πλανῶν τὴν οἰκουμένην ὅλην·] καὶ ἔδησεν
3 αὐτὸν χίλια ἔτη. Καὶ ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον· καὶ ἔκλεισε, καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ πλανᾷ ἔτι τὰ ἔθνη, ἄχρις οὗ τελεσθῶσι τὰ χίλια ἔτη· καὶ μετὰ ταῦτα δεῖ αὐτὸν λυθῆναι μικρὸν χρόνον.

(α) Ἡσ. Α', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐνταῦθα τὴν ἐν τῷ δεσποτικῷ πάθει γεγενημένην τοῦ διαβόλου διηγεῖται καθαίρεσιν· ἐν ᾗ τὸν δοκοῦντα εἶναι ἰσχυρὸν, ὁ ἰσχυρότερος αὐτοῦ, Χριστὸς ὁ θεὸς ἡμῶν, δήσας, ἡμᾶς, τὰ σκῦλα αὐτοῦ, ἐκ τῶν χειρῶν αὐτοῦ ἐλυτρώσατο (α), καταδικάσας αὐτὸν [ἐμβλη-θῆναι] εἰς τὴν ἄβυσσον. Τοῦτο δὲ δείκνυται ἐκ τῶν δαιμόνων, τῶν παρακαλούντων αὐτὸν μὴ πεμφθῆναι εἰς τὴν ἄβυσσον (β). Καὶ ὅτι δέδεται, τεκμήριον [καὶ] ὁ τῆς εἰδωλολατρείας ἀφανισμὸς, καὶ τῶν εἰδωλικῶν ναῶν ἡ καθαίρεσις, καὶ τῶν ἐπιβωμίων λύθρων ἡ ἔκλειψις, καὶ ἡ παγκόσμιος τοῦ θείου θελήματος ἐπίγνωσίς τε καὶ ἐκπλήρωσις. Καὶ ὁ μέγας δὲ Ἰουστῖνός φησι, καὶ ἐν τῇ [τοῦ] Χριστοῦ πρώτῃ παρουσίᾳ γνῶναι τὸν διάβολον, ὅτι καταδεδίκασται εἰς τὴν ἄβυσσον, καὶ εἰς τὴν τοῦ πυρὸς γέενναν. Δυνατὸν τοίνυν, ὡς οἶμαι, διὰ τῶν προλεχθέντων, καὶ τὴν ἐκ τοῦ Χριστοῦ κατὰ τοῦ διαβόλου νοεῖσθαι ἀπόφασιν. *Ἄγγελον* δὲ τῇ τοιαύτῃ ἀποφάσει διακονοῦντά φησιν, ἵνα δείξῃ [καὶ] τῶν λειτουργικῶν δυνάμεων τοῦτον ἥττονα κατὰ δύναμιν, καὶ μάτην κατὰ τῆς τῶν πάντων [κρατούσης] ἀρχῆς θρασυνόμενον. *Ἅλυσιν* δὲ, πρὸς ἡμετέραν σαφήνειαν ὠνόμασε τὴν καθεκτικὴν αὐτοῦ τῆς πονηρίας ἐνέργειαν. *Χίλια δὲ ἔτη*, οὐ πάντως τὰ τοσαῦτα τῷ ἀριθμῷ νοεῖν εὔλογον· οὐδὲ γὰρ περὶ ὧν φησιν ὁ Δαυίδ· *Λόγου, οὗ ἐνετείλατο εἰς χιλίας γενεὰς* (γ), δεκάκις ἑκατὸν ταύτας ἀριθμῆσαι δυνάμεθα· ἀλλὰ τὰς πολλὰς [τῷ πλήθει.] Οὕτω τοίνυν κἀνταῦθα, ἢ τῶν πολλῶν, ἢ τοῦ τελείου σημαντικὸν εἶναι τὸν χιλίων ἀριθμὸν εἰκάζομεν. Πολλὰ μὲν γὰρ ταῦτα, πρὸς τὸ κηρυχθῆναι πανταχοῦ ἐν ὅλῳ τῷ κόσμῳ τὸ εὐαγγέλιον, καὶ ῥιζωθῆναι ἐν αὐτῷ τὰ τῆς εὐσεβείας σπέρματα. Τελείου δὲ σημαντικὰ, ὅτι ἐν αὐτοῖς, τῆς παιδικῆς ἐννόμου πολιτείας ἀπαλλαγέντες, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ κεκλή-

(α) Λουκ. ΙΑ', 22. (β) Ματθ. Η', 31. Λουκ. Η', 31.
(γ) Ψαλμ. ΡΔ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεθα (α). *Χίλια ἔτη* τοίνυν, ὡς πιθανὸν, ὁ ἀπὸ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως χρόνος μέχρι τῆς τοῦ Ἀντιχρίστου ἐλεύσεως. Εἴτε τοίνυν, ὡς ἐξειλήφαμεν, εἴτε δεκάκις ἑκατὸν ὥσι τὰ ῥηθέντα χίλια ἔτη, ὥς τισι νενόμισται, εἴτε καὶ τούτων ἀποδέοντα, τῷ θεῷ μόνῳ ἔγνωσται, τῷ εἰδότι μέχρι τίνος ἡμῖν συμφέρειν τὴν μακροθυμίαν καὶ τοῦ τῆδε βίου τὴν παράτασιν. Μεθ' ἣν συνταράξει τὴν οἰκουμένην πᾶσαν ὁ Ἀντίχριστος, τὴν τοῦ ἀρχεκάκου [Βελίαρ] ἐν ἑαυτῷ χωρῶν ἐνέργειαν, καὶ τὴν τρυγίαν τῆς αὐτῷ ἰοβόλου κακίας ἐν ἀνθρώποις ἐκχέων· ἅτε εἰδὼς τὸ τῆς ἑαυτοῦ κολάσεως ἀπαράβατον. Οὗ τῶν ἔργων ἡμᾶς ὁ πανελεήμων θεὸς λυτρούμενος, τῆς ἡτοιμασμένης αὐτῷ [τε] καὶ τοῖς ἀγγέλοις αὐτοῦ ῥύσαιτο κολάσεως· ἀναδείξαι τε μετόχους τῶν αἰωνίων ἀγαθῶν, τῶν ἠὐτρεπισμένων τοῖς ἀντιστᾶσιν αὐτῷ μέχρις ἐκχύσεως αἵματος· ὅτι αὐτῷ πρέπει ὁ περὶ τοὺς [ἐπ'] αὐτῷ πεποιθότας ἔλεος· καὶ ἡ παρὰ πασῶν τῶν [ἀγγελικῶν] ἁγίων δυνάμεων [καὶ τῶν ἐπὶ γῆς ἀνθρώπων] εὐχαριστία, καὶ ἡ προσκύνησις, ἅμα [τῷ] Πατρὶ καὶ [τῷ] ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΞΑ'.

ΛΟΓΟΣ ΚΑ'.

Περὶ τῶν ἡτοιμασμένων θρόνων τοῖς φυλάξασι τὴν Χριστοῦ ὁμολογίαν ἀνεξάρνητον.

4 Καὶ εἶδον θρόνους· καὶ ἐκάθισαν ἐπ' αὐτῶν· καὶ κρίμα ἐδόθη αὐτοῖς· καὶ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν [τοῦ] Ἰησοῦ, καὶ [διὰ] τὸν λόγον τοῦ θεοῦ· καὶ οἵτινες οὐ προσεκύνησαν τὸ

(α) Ἐφεσ. Δ', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θηρίον, οὔτε τὴν εἰκόνα αὐτοῦ· καὶ οὐκ ἔλαβον τὸ χάραγμα ἐπὶ τὸ μέτωπον ἢ ἐπὶ τὴν χεῖρα αὐτῶν· καὶ ἔζησαν, καὶ ἐβασίλευσαν μετὰ [τοῦ] Χριστοῦ τὰ χίλια ἔτη.

Καὶ ἤδη μὲν τοῖς ἁγίοις ἀποστόλοις, δι' ὧν τὰ ἔθνη πεφωταγώγηνται, διδασκαλικοὶ θρόνοι δέδονται· δοθήσονται δὲ κατὰ τὴν θείαν ὑπόσχεσιν καὶ ἐν τῷ μέλλοντι [αἰῶνι] εἰς κατάκρισιν τοῖς ἀπωσαμένοις τὸ εὐαγγελικὸν κήρυγμα, καθώς φησιν ὁ Δαυΐδ· *Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραήλ*, καὶ ἑξῆς· *ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν* (α). Καὶ τοῖς λοιποῖς δὲ ἁγίοις μάρτυσι, τοῖς ὑπὲρ Χριστοῦ παθοῦσι, καὶ μὴ δεξαμένοις τὸ τοῦ νοητοῦ θηρίου, τοῦ διαβόλου, χάραγμα, δηλαδὴ τὴν εἰκόνα τῆς αὐτοῦ ἀποστασίας, *ἐδόθη κρίμα*· τουτέστιν, ἐξουσία τοῦ κρίνειν· δι' οὗ δαίμονας μέχρι τοῦ νῦν, (ὡς ὁρῶμεν), κρίνουσι, συνδοξαζόμενοι τῷ Χριστῷ μέχρι [τῆς] συντελείας τοῦ παρόντος αἰῶνος, ὑπὸ βασιλέων εὐσεβῶν καὶ ἀρχόντων πιστῶν προσκυνούμενοι, καὶ κατὰ πάσης σωματικῆς νόσου καὶ δαιμονικῆς ἐνεργείας τὴν θεάσδοτον δύναμιν ἐπιδεικνύμενοι. Ὅτι δὲ κοινωνοῦσιν ἀλλήλοις ὁ Διάβολος, [καὶ] ὁ Ἀντίχριστος, καὶ ὁ Ψευδοπροφήτης, ὥσπερ ταῖς πράξεσιν, οὕτω καὶ τοῖς ὀνόμασι, δῆλον ἐξ ὧν *θηρίον* ἕκαστος τούτων προσαγορεύεται, καὶ ἐκ τοῦ τὸν *δράκοντα* δὲ, δηλαδὴ τὸν σατανᾶν, ἑπτὰ κεφαλὰς καὶ δέκα κέρατα σὺν τοσούτοις διαδήμασι πεφηνέναι ἐπιφερόμενον· καὶ τὸ ἐκ τῆς θαλάττης *ἀναβαῖνον θηρίον*, δηλαδὴ τὸν Ἀντίχριστον, τῷ ὁμοίῳ φανῆναι σχήματι, τὴν αὐτὴν προσμαρτυρεῖ [τούτοις] βουλήν τε καὶ ἐνέργειαν πρὸς τὴν τῶν ἀπατωμένων ἀπώλειαν, ἧς οἱ ἐλευθεριάζοντες, τῷ Χριστῷ, κατὰ τὸν προλεχθέντα τρόπον, μέχρι τῆς δευτέρας αὐτοῦ παρουσίας συμβασιλεύσουσι, μετὰ ταύτην περισσοτέρως τῶν θείων ἐπαγγελιῶν ἀπολαύσοντες.

(α) Ψαλμ. ΡΚΑ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΞΒ'.

Τίς ἐστιν ἡ πρώτη ἀνάστασις, καὶ τὶς ὁ δεύτερος θάνατος.

5 Καὶ οἱ λοιποὶ τῶν νεκρῶν οὐκ ἔζησαν ἄχρι τελεσθῇ τὰ χίλια ἔτη. Αὕτη ἡ ἀνάστασις ἡ πρώτη· [καὶ]
6 μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τούτων ὁ δεύτερος θάνατος οὐκ ἔχει ἐξουσίαν· ἀλλ' ἔσονται ἱερεῖς τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ, καὶ βασιλεύσουσι μετ' αὐτοῦ χίλια ἔτη.

Δύο ζωὰς καὶ δύο νεκρώσεις, ἤγουν θανάτους, ἐκ τῆς θείας Γραφῆς διδασκόμεθα. Ἔστι τοίνυν ἡ μὲν πρώτη ζωὴ, ἡ μετὰ τὴν τῆς ἐντολῆς παράβασιν, πρόσκαιρος καὶ σαρκικὴ· ἡ δὲ δευτέρα, ἡ μετὰ τὴν τῶν θείων τοῦ Χριστοῦ ἐντολῶν τήρησιν ἐπηγγελμένη τοῖς ἁγίοις, αἰώνιος. Καὶ θάνατοι δὲ ὡσαύτως δύο· ὁ μὲν, τῆς σαρκὸς, πρόσκαιρος· ὁ δὲ δι' ἁμαρτημάτων ἔκτισιν ἐπαγόμενος ἐν τῷ μέλλοντι, αἰώνιος· ὅσπερ ἐστὶν ἡ τοῦ πυρὸς γέεννα. Καὶ νεκρῶν δὲ διαφορὰν γινώσκομεν. Οἱ μὲν γὰρ, φευκτοὶ, περὶ ὧν φησιν Ἡσαΐας· *Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσι* (α)· δηλαδὴ οἱ ταῖς πράξεσι τὴν δυσωδίαν καὶ τὴν νέκρωσιν ἐπιφερόμενοι· οἱ δὲ, ἐπαινετοὶ, οἱ ἐν Χριστῷ τὰς πράξεις τοῦ σώματος θανατοῦντες, καὶ οἱ Χριστῷ συνεσταυρωμένοι, καὶ τῷ κόσμῳ νεκρούμενοι. Οἱ οὖν ἀπηγορευμένοι νεκροὶ, οἱ μὴ συνταφέντες καὶ συναναστάντες [τῷ] Χριστῷ διὰ τοῦ βαπτίσματος, ἀλλὰ τῇ νεκρώσει τῶν ἁμαρτημάτων ἐμμείναντες, ζῶσι σὺν αὐτῷ *ἄχρι τελεσθῶσι τὰ χίλια ἔτη*· τουτέστιν, ὁ τέλειος ἀριθμὸς, ὁ ἀπὸ τῆς πρώτης μέχρι τῆς δευτέρας ἐνδόξου [αὐτοῦ παρουσίας] διήκων, ὡς ἀνωτέρω εἴρη-

(α) Ἡσ. ΚΣ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται· ἀλλ' ἐκ γῆς μόνης γεννηθέντες, καὶ οὐκ ἐκ πνεύματος, εἰς γῆν τὴν ἐπιστροφὴν ἔχουσιν· ὁ γὰρ θανάτος αὐτῶν, ἀρχὴ τῆς μελλούσης αὐτοῖς κολάσεως γίνεται. Οἱ δὲ μέρος ἐν τῇ πρώτῃ ἀναστάσει ἔχοντες, τουτέστιν, ἐν τῇ ἐγέρσει τῇ ἐκ τῶν θανατουσῶν ἐννοιῶν [τε] καὶ πράξεων νεκρῶν, οὗτοι μακάριοι· *οὐ γὰρ ἕξει ἐπὶ τούτων ἐξουσίαν ὁ δεύτερος θάνατος*, τουτέστιν, ἡ ἀτελεύτητος κόλασις· ἀλλ' ἱερατεύουσι καὶ βασιλεύουσι μετὰ [τοῦ] Χριστοῦ, ὡς ὁρῶμεν, τὰ νοηθέντα ἡμῖν χίλια ἔτη, μέχρι τοῦ λυθῆναι τὸν σατανᾶν, καὶ πλανῆσαι [πάντα] τὰ ἔθνη· οὐχ ὡς τότε τὴν βασιλείαν ἀφαιρούμενοι· ἀλλ' ὡς βεβαιοτέρως αὐτὴν καὶ ἐμφανεστέρως κτησάμενοι τῇ παραδρομῇ τῶν προσκαίρων καὶ καθέξει τῶν αἰωνίων. Ὀλίγος γὰρ ὁ χρόνος ὁ μετὰ τὴν τοῦ διαβόλου λύσιν μέχρι τῆς κατ' αὐτοῦ ἀποφάσεως καὶ τῆς ἐν γεέννῃ κολάσεως. Ὥστε τό· *Ἔσονται ἱερεῖς τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ*· ἐπανάληψιν νοητέον τῶν προτέρων· καὶ γὰρ τὰ νῦν διὰ τῆς πείρας καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως ὁρώμενα τῶν ἁγίων γέρα καὶ θαύματα, ἔμελλε τότε, ὅτε τῷ εὐαγγελιστῇ ὠπτάνετο, ὡς εἴρηται. Δύο τοίνυν θανάτων ὄντων, ἀνάγκη καὶ τοσαύτας ἀναστάσεις ἐνδέξασθαι. Πρῶτος τοίνυν, ὁ σωματικὸς θάνατος, τῇ ἀνθρωπίνῃ παρακοῇ δοθεὶς ἐπιτίμιον· [ὁ] δεύτερος, ἡ αἰώνιος κόλασις. Πρώτη [δὲ] ἀνάστασις, ἡ ἐκ νεκρῶν ἔργων ζωοποίησις· δευτέρα [δὲ], ἡ ἐκ φθορᾶς τῶν σωμάτων εἰς ἀφθαρσίαν μεταποίησις.

ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

Περὶ τοῦ Γὼγ καὶ Μαγώγ.

7 Καὶ ὅταν τελεσθῇ τὰ χίλια [ἔτη,] λυθήσεται ὁ Σα-
8 τανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ· καὶ ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσσαρσι γωνίαις τῆς γῆς,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[καὶ] τὸν Γὼγ καὶ τὸν Μαγώγ, καὶ συναγαγεῖν αὐτοὺς εἰς πόλεμον, ὧν ὁ ἀριθμὸς ὡς ἡ ἄμμος τῆς θαλάσσης.

Τὸν προῤῥηθέντα τῆς χιλιετίας χρόνον, τινὲς μὲν τὰ τρία [ἥμισυ] ἔτη τὰ ἀπὸ τοῦ βαπτίσματος τοῦ Χριστοῦ μέχρι τῆς αὐτοῦ εἰς οὐρανοὺς ἀναβάσεως, οὐκ οἶδ' ὅπως, ἐξειλήφασι· μεθ' ἃ λυθῆναι τὸν διάβολον ὑπενόησαν. Ἕτεροι δὲ, μετὰ τὴν συμπλήρωσιν τῶν ἑξακισχιλίων ἐτῶν, τὴν πρώτην ἀνάστασιν [ἐκ] τῶν νεκρῶν δίδοσθαι μόνοις τοῖς ἁγίοις ἔφασαν, ἵνα ἐν τῇ γῇ αὐτῇ, ἐν ᾗ τὴν καρτερίαν ἐπεδείξαντο, τρυφῆς καὶ δόξης ἀπολαύσωσι χίλια ἔτη· καὶ μετὰ τοῦτο τὴν καθόλου γίνεσθαι ἀνάστασιν, οὐ δικαίων μόνον, ἀλλὰ καὶ ἁμαρτωλῶν. Ὅτι μὲν οὖν οὐδὲν τούτων ἡ ἐκκλησία δέδεκται, περιττόν ἐστι λέγειν. Ἡμεῖς τοίνυν, ἀκούοντες τοῦ Κυρίου πρὸς τοὺς Σαδδουκαίους λέγοντος· ὅτι ὡς [οἱ] ἄγγελοι [τοῦ] θεοῦ ἐν [τῷ] οὐρανῷ, οὕτως [καὶ] οἱ δίκαιοι ἔσονται (α)· καὶ τοῦ Ἀποστόλου φήσαντος· [ὅτι] *Ἡ βασιλεία τοῦ θεοῦ οὐκ ἔστι βρῶσις καὶ πόσις* (β), τὸν τοῦ εὐαγγελικοῦ κηρύγματος χρόνον τὸν χιλιετίαν ἐξελάβομεν. Ὡς γὰρ προγέγραπται, οὐκ ἀνάγκη τὰ τοσαῦτα τῷ ἀριθμῷ νοῆσαι τὰ χίλια [ἔτη·] οὐδὲ γὰρ τὸ ἐν τοῖς Ἄσμασιν εἰρημένον· *Ἀνὴρ θήσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυρίου*· καὶ πάλιν· *Οἱ χίλιοι, τῷ Σολομὼν, καὶ οἱ διακόσιοι, τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ* (γ)· τὸν ἀριθμὸν τοῦτον ἐθήλωσεν· ἀλλὰ [καὶ] τὸ πλῆθος, καὶ τὸ ἐν καρποφορίᾳ τέλειον· ὥσπερ κἀνταῦθα ἡ τελειοτάτη καρποφορία τῆς πίστεως· μεθ' ἣν ὁ *υἱὸς τῆς ἀπωλείας, ὁ ἄνθρωπος τῆς ἀνομίας*, ἐλεύσεται, ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες τῇ ἀδικίᾳ, κατὰ τὸν Ἀπόστολον (δ), καὶ κατὰ τὸ δεσποτικὸν λόγιον, τὸ φάσκον· *Ἐγὼ ἐλήλυθα ἐπὶ τῷ ὀνόματι*

(α) Ματθ. ΚΒ', 30. Λουκ. Κ', 36. (β) Ῥωμ. ΙΔ', 17.
(γ) Ἄσμ. Η', 11. (δ) Β' Θεσ. Β', 3. 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ πατρός μου, καὶ οὐκ ἐθέξασθέ με· ἄλλος ἐπὶ τῷ ὀνόματι τῷ οἰκείῳ ἐλεύσεται, καὶ ἐκεῖνον λήψεσθε (α). Τότε τοίνυν, ὡς εἴρηται, λυόμενος ὁ Σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ, πλανήσει πάντα τὰ ἔθνη, καὶ τὸν Γὼγ καὶ τὸν Μαγὼγ κινήσει εἰς πόλεμον πρὸς τὴν τῆς οἰκουμένης ἐρήμωσιν. Εἶναι δὲ τὸν *Γὼγ* καὶ τὸν *Μαγὼγ* τινὲς μὲν σκυθικὰ ἔθνη νομίζουσιν ὑπερβόρεια, ἅπερ καλοῦμεν Οὐννικά, πάσης ἐπιγείου βασιλείας καὶ ἔθνους, [ὡς ὑρῶμεν], πολυανθρωπότερά τε καὶ πολεμικώτερα· μόνῃ δὲ τῇ θείᾳ χειρὶ πρὸς τὸ κρατῆσαι τῆς οἰκουμένης πάσης ἐπεχόμενα, ἄχρι τῆς τοῦ διαβόλου λύσεως. Τινὲς δὲ τὸν Γὼγ, *ἀθροίζοντα*, ἢ, *ἄθροισμα*, καὶ τὸν Μαγὼγ, *ἐπηρμένον*, ἐκ τῆς Ἑβραΐδος γλώττης ἑρμηνεύουσιν· ὡς διὰ τῶν ὀνομάτων ἢ τὸ ἄθροισμα τῶν ἐθνῶν, ἢ τὸ ὑπερήφανον διασημαίνεσθαι. Ἰστέον δὲ, ὅτι καὶ [ὁ] Ἰεζεκιὴλ (β) ταῦτα τὰ ἔθνη προεφήτευσεν, ἐπ' ἐσχάτων τῶν καιρῶν ἐλευσόμενα, σὺν δυνάμει βαρείᾳ ἐπὶ τῆς γῆς τοῦ Ἰσραὴλ πεσεῖσθαι, καὶ ἐπταετίαν ἐν τοῖς αὐτοῖς ὅπλοις, ὡς διὰ τὸ πλῆθος αὐτῶν, πῦρ καίεσθαι. Ὅπερ τῶν ἑρμηνευτῶν τινὲς μὲν, εἰς τὴν ἐπὶ Ἐζεκίου τῶν σὺν τῷ Σεναχηρεὶμ Ἀσσυρίων πτῶσιν ἐξελάβοντο, πρὸ πολλῶν χρόνων γεγενημένην τῆς τοῦ Ἰεζεκιὴλ προφητείας· τινὲς δὲ, εἰς τὴν τῶν ἐθνῶν ἀπώλειαν, τῶν ἐπιθεμένων τοῖς τὴν Ἱερουσαλὴμ μετὰ τὴν ἀπὸ Βαβυλωνίων ἅλωσιν ἀνατειχίζειν μέλλουσι, πρώτου Κύρου τοῦ Πέρσου, καὶ μετ' αὐτὸν Δαρείου τοῖς τῆς Ἀσσυρίας ἐπάρχοις τοῦτο κελεύσαντος· τινὲς δὲ, εἰς τὰς Ἀντιόχου δυνάμεις, τοῖς Μακκαβαίοις ἠττηθείσας. Ὅτι δὲ μᾶλλον τοῖς ἐσχάτοις ἁρμόζει χρόνοις ἡ τούτων ἔλευσις, δῆλον· πρῶτον μὲν, τῷ μηδαμοῦ γεγράφθαι Σκυθικὰ ἔθνη κατὰ Ἰουδαίων τοτηνικαῦτα ἄρασθαι πόλεμον, ἀλλὰ μόνα τὰ περίοικα, τῆς ἀθρόας εὐδαιμονίας τούτοις βασκαίνοντα· δεύτερον δὲ, τῷ

(α) Ἰωαν. Ε', 43. (β) Ἰεζ. ΑΗ' καὶ ΑΘ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γεγράφθαι περὶ τοῦ Γὼγ, ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ἑτοιμασθήσεται, καὶ ἐπ' ἐσχάτων καιρῶν ἐλεύσεται· τρίτον δὲ, τῷ ἐν τῇ παρούσῃ Ἀποκαλύψει, προφητευούσῃ τὰ μέλλοντα, γεγράφθαι, [πρὸς τῷ τέλει τοῦ αἰῶνος τούτου τὸν Γὼγ καὶ τὸν Μαγὼγ ἐλεύσεσθαι.]

9 Καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς· καὶ ἐκύκλωσαν τὴν παρεμβολὴν τῶν ἁγίων, καὶ τὴν πόλιν τὴν ἠγαπημένην. Καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ
10 [ἀπὸ τοῦ θεοῦ,] καὶ κατέφαγεν αὐτούς. Καὶ ὁ διάβολος, ὁ πλανῶν αὐτοὺς, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρὸς καὶ τοῦ θείου, ὅπου [καὶ] τὸ θηρίον καὶ ὁ ψευδοπροφήτης· καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας [τῶν αἰώνων.]

Ὡς ἐκ φωλεῶν τινων θῆρες ἄγριοι, οὕτω, [φησὶν], ἐκ τῶν οἰκείων τόπων ὑπὸ τοῦ διαβόλου καὶ τῶν σὺν αὐτῷ δαιμόνων στρατηγούμενοι, ἐν τῇ γῇ καταπλατυνθήσονται, ὡς τὴν παρεμβολὴν τῶν ἁγίων, [δηλαδὴ τὴν ἐκκλησίαν [τοῦ Χριστοῦ], τὴν ἐν τοῖς τέσσαρσι πέρασι τῆς οἰκουμένης ἡδρασμένην], πορθήσοντες· ἀγνοοῦντες, ὅτι οὐχ εἷς μόνον ἄγγελος, ἀλλὰ πολλοὶ *κύκλῳ τῶν φοβουμένων τὸν θεὸν παρεμβαλοῦσι*, κατὰ τὸ ψαλμικὸν λόγιον (α). Προσέτι δὲ καὶ τὴν νέαν Ἱερουσαλὴμ, *τὴν ἠγαπημένην πόλιν*, χειρωσόμενοι· ἐξ ἧς ὁ θεῖος νόμος διὰ τῶν ἀποστόλων εἰς τὴν οἰκουμένην διέδραμεν. Ἔνθα καὶ τὸν Ἀντίχριστόν φασιν ἐν τῷ ναῷ καθεδεῖσθαι [τοῦ θεοῦ,] εἴτε ἐν τῷ Ἰουδαϊκῷ, τῷ πάλαι [μὲν] θείῳ, καθαιρεθέντι δὲ διὰ τὴν κατὰ Χριστοῦ τόλμαν, καὶ ὑπ' αὐτοῦ ἀνορθοῦσθαι προσδοκωμένῳ τοῖς θεομάχοις Ἰουδαίοις· εἴτε ἐν τῷ ἀληθῶς θείῳ ναῷ, τῇ καθολικῇ ἐκκλησίᾳ, τὰ ἀλλότρια σφετεριζόμενον, καὶ *ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ θεὸς*, καθώς φησιν ὁ Ἀπόστολος (β)· ἀλλ' οὐκ εἰς μακράν· πῦρ γὰρ οὐρανόθεν κατιὸν,

(α). Ψαλμ. ΛΓ', 8. (β) Β' Θεσ. Β', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἴτε ὁρατὸν, ὡς τὸ τοὺς δύο πεντηκοντάρχους ἐπὶ Ἰλιοῦ κατα-
καταφαγὸν (α)· εἴτε ἡ Χριστοῦ ἔνδοξος παρουσία, ὃς *ἀνελεῖ*
αὐτὸν τῷ πνεύματι τοῦ στόματος αὐτοῦ (ε), τούτους τε
καὶ τὰ προλεχθέντα ἔθνη καταφάγεται, καὶ τὸν στρατηγὸν
αὐτῶν, τὸν διάβολον, τῇ τοῦ πυρὸς λίμνῃ παραδώσει σὺν τῷ
Ἀντιχρίστῳ καὶ τῷ ψευδοπροφήτῃ βασανισθησομένους εἰς αἰῶ-
νας αἰώνων. Ἡμεῖς δὲ, παρὰ τοῦ σωτῆρος Χριστοῦ διδαχ-
θέντες εὔχεσθαι *μὴ εἰσελθεῖν εἰς πειρασμὸν* (γ), ἐκτενῶς
τούτῳ προσευξώμεθα, τὴν οἰκείαν ἀσθένειαν ἐπιγινώσκοντες,
τῆς τῶν προφητευθέντων πείρας ῥυσθῆναι, καὶ μήτε τὴν τοῦ
Ἀντιχρίστου θεάσασθαι ἔλευσιν, μήτε τῶν προλεχθέντων ἐθνῶν
τὴν κίνησιν, μήτε κίνδυνον θανατηφόρον, τῆς σωτηρίου πίστεως
ἀποστῆναι διαζόμενον· ἀλλὰ καὶ τὸ μαρτύριον τῆς συνειδή-
σεως κατὰ τὸ δυνατὸν φυλάττοντες ἄτρωτον, καὶ τῆς πρὸς
τὸν ἀγοράσαντα ἡμᾶς τῷ τιμίῳ αὐτοῦ αἵματι [Χριστὸν]
ἀγάπης τὸ διάπυρον δι' ἀγαθῶν ἔργων ἐπιδεικνύμενοι, τῶν
αἰωνίων ἀγαθῶν ἐλπίσωμεν τὴν ἀπόλαυσιν, τοῖς πλουσίοις
τοῦ θεοῦ οἰκτιρμοῖς πρὸς τοῦτο νευρούμενοι. Ὧν τυχεῖν ἡμᾶς
γένοιτο ἐν αὐτῷ τῷ σωτῆρι [καὶ] λυτρωτῇ ἡμῶν Χριστῷ·
μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ [καὶ ζωοποιῷ] Πνεύματι,
δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΞΔ'.

ΛΟΓΟΣ ΚΒ'.

Περὶ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ τῆς κοινῆς ἀναστάσεως [καὶ κρίσεως.]

11 Καὶ εἶδον θρόνον λευκὸν μέγαν, καὶ τὸν καθήμενον

(α) Δ' Βασιλ. Α', 9. 10. (ε) Β' Θεσ. Β', 8. (γ) Ματθ. Κς', 41.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπ' αὐτῷ· οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανός· καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς.

Διὰ τοῦ *θρόνου τοῦ λευκοῦ*, δηλοῦται ἡ ἀνάπαυσις τοῦ θεοῦ· ἣν ἐν τοῖς λαμπροῖς ταῖς ἀρεταῖς ἁγίοις ποιήσεται, τούτοις ἐνθρονιζόμενος. Ἡ δὲ *φυγὴ τοῦ οὐρανοῦ καὶ τῆς γῆς*, τὴν τούτων σημαίνει παρέλευσιν, καὶ εἰς τὸ βέλτιον ἀνανέωσιν· ἐν οἷς τόπος τροπῆς οὐχ εὑρεθήσεται. Εἰ γὰρ *ἡ κτίσις δὶ ἡμᾶς τῇ φθορᾷ ὑπετάγη*, κατὰ τὸν Ἀπόστολον, μεταποιηθήσεται σὺν ἡμῖν *εἰς τὴν ἐλευθερίαν τῶν τέκνων τῆς δόξης τοῦ θεοῦ* (α), ἀνακαινιζομένη ἐπὶ τὸ φαιδρότερον, καὶ οὐ παντελῆ ἀφανισμὸν ὑπομένουσα, καθὼς καὶ τοῖς μακαρίοις Εἰρηναίῳ [καὶ] Ἀντιπάτρῳ, καὶ ἑτέροις ἁγίοις ἔδοξεν. Ὁ μὲν γὰρ μακάριος Εἰρηναῖός φησιν· « Οὐχὶ ἡ ὑπόστασις, οὐδὲ ἡ οὐσία τῆς κτίσεως ἐξαφανίζεται· ἀληθὴς γὰρ καὶ βέβαιος ὁ συστησάμενος αὐτήν· ἀλλὰ *τὸ σχῆμα παράγει τοῦ κόσμου τούτου* (β)· τουτέστιν, ἐν οἷς ἡ παράβασις ἐγένετο, καὶ ἐπαλαιώθη ὁ ἄνθρωπος ἐν αὐτοῖς· καὶ διὰ τοῦτο τὸ σχῆμα τοῦτο πρόσκαιρον ἐγένετο, προειδότος τὰ πάντα τοῦ θεοῦ. » Ὁ δὲ [μέγας] Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ [αὐτοῦ,] ἐξέθετο οὕτως· « Οὐκ ἀρεστὸν δὲ οὐδ' ἐκεῖνο, τὸ λέγειν, εἰς ἄρδην ἀπολεῖσθαι τὸ πᾶν, καὶ γῆν καὶ ἀέρα καὶ οὐρανὸν μὴ ἔσεσθαι. Ἐκπυρωθήσεται μὲν γὰρ πρὸς κάθαρσιν καὶ ἀνακαινισμόν, πᾶς κατακλυζόμενος ὁ κόσμος πυρί· οὐ μὴν εἰς ἀπώλειαν ἐλεύσεται παντελῆ καὶ φθοράν. » Καὶ προϊών φησι· « Καὶ ὁ Παῦλος σαφῶς μαρτυρεῖ λέγων· *Ἡ γὰρ ἀποκαραδοκία τῆς πίστεως, τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα* [αὐτὴν] *ἐπ' ἐλπίδι· διότι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς*, καὶ τὰ ἑξῆς (γ). » Πρὸ δὲ τῶν

(α) Ῥωμ. Η', 20. 21. (β) Α' Κορ. Ζ', 31. (γ) Ῥωμ. Η', 19 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μακαρίων τούτων, [καὶ] ὁ ἅγιος Δαυὶδ, ψάλλων πρὸς Κύριον, ἔλεγεν· *Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς* (α). Καὶ Ἡσαΐας δέ φησιν· *Ἔσται ὁ οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινὴ· καὶ οὐ μὴ μνησθῶσι τῶν προτέρων, καὶ οὐ μὴ ἐπέλθῃ ἐπὶ τὴν καρδίαν αὐτῶν* [πόνος·] *ἀλλ' εὐφροσύνην καὶ ἀγαλλίασιν εὑρήσουσιν ἐν αὐτῇ* (β). [Καὶ] εἰκότως· τῇ ὑπερβολῇ γὰρ τῆς ἀλήκτου εὐφροσύνης, καὶ τῷ μεγέθει τῶν ἐπάθλων, τῶν ἐν τοῖς ἀγῶσιν ἄθλων καὶ πόνων ἐπιλήσονται. Καὶ ἑτέρωσι δὲ ὁ αὐτός φησιν· *Ὃν τρόπον οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινὴ, ἃ ἐγὼ ποιῶ, μενεῖ ἐνώπιόν μου, οὕτως ἔσται τὸ σπέρμα ὑμῶν, καὶ τὸ ὄνομα ὑμῶν* (γ). Ὥστε τὴν δι' ἡμᾶς γεγενημένην κτίσιν, μεθ' ἡμῶν τὴν ἐπὶ τὸ κρεῖττον ἀλλοίωσιν ἀκόλουθον δέχεσθαι, μὴ χωροῦσαν εἰς ἀνυπαρξίαν, ὥσπερ οὐδὲ ἡμεῖς μετὰ θάνατον.

12 Καὶ εἶδον τοὺς νεκροὺς, τοὺς μεγάλους καὶ τοὺς μικροὺς, ἑστῶτας ἐνώπιον τοῦ θεοῦ· καὶ βιβλία ἠνοίγησαν· καὶ ἄλλο βιβλίον ἠνοίγη, ὅ ἐστι τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν.

Νεκροὺς δέ φησιν, ἢ πάντας ἀνθρώπους, ὡς τὴν τοῦ σώματος νέκρωσιν ὑπομείναντας, ἢ τοὺς νεκρωθέντας τοῖς παραπτώμασι. *Μεγάλους* δὲ καὶ *μικροὺς*, [καθὼς προέφημεν,] ἢ τοὺς τῇ ἡλικίᾳ τοῦτο ὄντας, ἢ τοὺς μᾶλλον [καὶ] ἧττον τὰ τῆς νεκρώσεως ἔργα πράξαντας, καὶ ἀναλόγως ταῖς πράξεσι κολασθησομένους· ἢ *μεγάλους* μὲν, τοὺς *δικαίους*· *μικροὺς* δὲ καὶ μηδαμινοὺς, τοὺς ἁμαρτωλοὺς, διὰ [τὴν] τῆς ψυχῆς [ἐξ ἁμαρτιῶν] εὐτέλειαν. Τὰ δὲ *βιβλία τὰ ἀνοιγόμενα*, σημαντικά ἐστι τῶν ἑκάστου πράξεων, καὶ τῆς ἑκάστου συνειδήσεως· ἡ δὲ μία βί-

(α) Ψαλμ. ΡΓ', 30. 31. (β) Ἡσ. ΞΕ', 17. 18.
(γ) Ἡσ. Ξς', 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βλος, ἡ τῆς ζωῆς ἐστι, [φησίν,] ἐν ᾗ τὰ τῶν ἁγίων γέγραπται ὀνόματα.

13 Καὶ ἔδωκεν ἡ θάλασσα τοὺς ἐν αὐτῇ νεκρούς· καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκαν τοὺς νεκροὺς τοὺς ἐν αὐτοῖς· καὶ ἐκρίθησαν ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ.

Ἕκαστον δέ, [φησι], σῶμα εἰς ἅπερ ἀναλύεται, ἐξ ἐκείνων καὶ συνίσταται καὶ ἀναδίδοται, εἴτε γῇ εἴτε θαλάσσῃ παραδοθῇ. *Θάνατος* δὲ καὶ *ᾅδης*, οὐ ζῶα ἔμψυχα, ὡς ὑπό τινων γράφονται· ἀλλὰ *θάνατος* μέν, χωρισμὸς ψυχῆς καὶ σώματος· *ᾅδης* δέ, τόπος [ἡμῖν ἀειδὴς, ἥγουν] ἀφανὴς [καὶ ἄγνωστος,] ὁ τὰς ψυχὰς [ἡμῶν] ἐντεῦθεν ἐκδημούσας δεχόμενος. *Νεκραὶ* δὲ *ψυχαί*, αἱ τὰς νεκροποιοὺς πράξεις ἐπιφερόμεναι· *δικαίων γὰρ ψυχαί, ἐν χειρὶ θεοῦ*, καθὼς σοφός τις ἔλεγε, *καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος* (α).

Καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἐβλήθησαν εἰς τὴν λίμνην τοῦ πυρός· οὗτος ὁ θάνατος ὁ δεύτερός ἐστιν, ἡ λί-
15 μνη τοῦ πυρός· καὶ εἴ τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμμένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός.

Τὸ δὲ *τὸν θάνατον καὶ τὸν ᾅδην εἰς τὴν λίμνην τοῦ πυρὸς βάλλεσθαι*, δηλοῖ ἢ τὸ γεγραμμένον· *Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος* (β)· ἢ τὸ τὰς προξένους τοῦ τῆς ἁμαρτίας [βαρυτάτου καὶ πονηροῦ] θανάτου πονηρὰς δυνάμεις, τὰς τὸν ᾅδην ἐχούσας [ἴδιον] κατάλυμα, κἀκεῖσε τοὺς πειθομένους παραπεμπούσας, εἰς τὸ πῦρ [καταδικάζεσθαι.] Ὥσπερ γὰρ *πόλις*, οἱ ταύτης οἰκήτορες λέγονται, οὕτω καὶ *θάνατος* καὶ *ᾅδης*, οἱ τούτων αἴτιοι. Πάντων γὰρ τῶν ἐκ θεοῦ γεγονότων, καλῶν λίαν ὑπαρχόντων (γ), τῶν μὴ τοιούτων ἔσται ἀφανιστικὸν ἐκεῖνο τὸ πῦρ. Γέγραπται γὰρ, [ὅτι] *θάνατον ὁ θεὸς οὐκ ἐποίη-*

(α) Σοφ. Σολ. Γ', 1. (β) Α' Κορ. ΙΕ', 26. (γ) Γεν. Α', 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σε (α). Διὰ τούτου τοίνυν τὸ μηκέτι ἔσεσθαι θάνατον ἢ φθορὰν, ἀλλ' ἀφθαρσίαν καὶ ἀθανασίαν βασιλεύειν, σημαίνεται. Εἰ δὲ πάντες οἱ μὴ γεγραμμένοι ἐν τῇ βίβλῳ τῆς ζωῆς εἰς τὴν λίμνην τοῦ πυρὸς βληθήσονται, θαυμάζειν οὐ χρή. Καὶ γὰρ ὡς μοναὶ πολλαὶ παρὰ τῷ [θεῷ καὶ] πατρὶ τῶν σωζομένων (β), οὕτω κἀκεῖ διάφοροι τρόποι [καὶ τόποι] κολάσεως· τῶν μὲν, δριμυτέρων· τῶν δὲ, μαλακωτέρων· ὧν οἱ μὴ ἠξιωμένοι τῆς βίβλου τῆς ζωῆς πειραθήσονται.

ΚΕΦΑΛΑΙΟΝ ΞΕ'.

Περὶ καινῶν οὐρανοῦ [τε] καὶ γῆς, καὶ τῆς ἄνω Ἱερουσαλήμ.

ΚΕΦ. XXI, 1 Καὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν· ὁ γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ παρῆλθε, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι.

Κἀνταῦθα οὐκ ἀνυπαρξίαν δηλοῖ τῆς κτίσεως, ἀλλ' ἀνακαινισμὸν ἐπὶ τὸ βέλτιον, καθώς φησιν ὁ ἀπόστολος· *Αὕτη ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ* (γ)· καὶ ὁ θεῖος μελῳδὸς [φησίν· *Ὡσεὶ περιβόλαιον*] *ἐλίξεις αὐτοὺς, καὶ ἐναλλαγήσονται* (δ). Τὸ γὰρ παλαιωθὲν, ἀνακαινιζόμενον, οὐ τῆς οὐσίας ἀφανισμὸν, ἀλλὰ τοῦ γήρως καὶ τῶν ῥυτίδων σημαίνει τὴν ἀπόξεσιν. Καὶ ἡμῖν δὲ ἔθος ἐπ' ἀνθρώπων κατά τι βελτιωθέντων ἢ καὶ χειρόνων γεγενημένων λέγειν· *Ἄλλος ἐξ ἄλλου γέγονε*. Σημειωτέον δέ, ὅτι περὶ μὲν οὐρανοῦ καὶ γῆς φησιν, ὅτι *παρῆλθεν*, ἀντὶ τοῦ, ἠλλάγη, καὶ, καθάπερ ἡμεῖς, οἷόν τινα

(α) Σοφ. Σολ. Α', 13.
(β) Ιωαν. ΙΔ', 2.
(γ) Ῥωμ. Η', 21.
(δ) Ψαλμ. ΡΑ', 27.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θάνατον τὴν ἀλλαγὴν τῆς προτέρας ἐδέξατο καταστάσεως, καὶ [τῆς] εἰς τὸ κρεῖττον λήξεως· περὶ δὲ τῆς θαλάσσης φησὶν, ὅτι *ἡ θάλασσα οὐκ ἔστιν ἔτι*. Τίς γὰρ χρεία θαλάσσης, μὴ δεομένων ἀνθρώπων τοῦ πλέειν αὐτὴν, ἢ δι' αὐτῆς πορίζεσθαι τὰ ἐν ταῖς μακρὰν κειμέναις χώραις γεωργούμενα ἀγώγιμα; Μετὰ τοῦτο καὶ τὸν ταραχώδη καὶ πολυκύμονα βίον σημαινούσης τῆς θαλάσσης, μὴ εἶναι αὐτῆς τότε χρείαν· οὐδὲν γὰρ λείψανον ταραχῆς ἢ φόβου ἐν τοῖς ἁγίοις τότε καταλειφθήσεται. [Πιστοῦται δὲ ταύτην τὴν ὑπόνοιαν καὶ ὁ μέγας Βασίλειος, προφέρων τὴν τοῦ Ἡσαΐου χρῆσιν, φάσκουσαν· *Ὁ λέγων τῇ ἀβύσσῳ· Ἐρημωθήσῃ, καὶ πάντας τοὺς ποταμούς σου ξηρανῶ* (α).

2 Καὶ τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινὴν εἶδον καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ, ἡτοιμασμένην, ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς.

Ἐκ δὲ τοῦ *τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινὴν θεάσασθαι*, δείκνυται τὸ τῆς καινότητος ὄνομα, τῆς ἐπὶ τὸ φαιδρότερον μεταποιήσεως γνώρισμα· ἧς ἡ ἄνω Ἱερουσαλὴμ τεύξεται, ἐκ τῶν ἀσωμάτων δυνάμεων ἄνωθεν μέχρις ἀνθρώπων καταβαίνουσα, διὰ τὸ κοινὴν γενέσθαι κεφαλὴν ἀμφοτέρων Χριστὸν τὸν θεὸν ἡμῶν. Αὕτη δὲ ἡ πόλις ἐξ ἁγίων ἀρμολογεῖται· περὶ ὧν γέγραπται· *Λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς* (β)· ἀκρογωνιαῖον τὸν Χριστὸν ἔχουσα. Λέγεται δὲ *πόλις* μὲν, ὡς τῆς βασιλίδος Τριάδος οἰκητήριον· *ἐνοικεῖ* γὰρ *ἐν* αὐτῇ καὶ *ἐμπεριπατεῖ*, καθὼς ἐπήγγελται (γ)· *νύμφη* [δὲ], ὡς κολλωμένη τῷ δεσπότῃ, καὶ συναπτομένη εἰς ἄκραν καὶ ἀδιάστατον συνάφειαν· *κεκοσμημένη* δὲ, ὡς ἔσωθεν, κατὰ τὸν ψαλμῳδὸν (δ), τὴν δόξαν καὶ τὴν ὥραν ἐν τῇ ποικιλίᾳ τῶν ἀρετῶν ἔχουσα.

3 Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ, λεγου-

(α) Ησ. ΜΔ', 27. (β) Θρην. Δ', 1.
(γ) Β' Κορ. ς', 16. (δ) Ψαλμ. ΜΔ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σης· Ἰδοὺ, ἡ σκηνὴ τοῦ θεοῦ μετὰ τῶν ἀνθρώπων· καὶ σκηνώσει μετ' αὐτῶν· καὶ αὐτοὶ λαὸς αὐτοῦ ἔσονται· καὶ αὐτὸς ὁ θεὸς ἔσται μετ' αὐτῶν, [θεὸς
4 αὐτῶν.] Καὶ ἐξαλείψει [ὁ θεὸς] πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

Οὐρανόθεν ὁ ἅγιος διδάσκεται, ἀληθινὴν εἶναι ταύτην τὴν σκηνήν· ἧς ἦν ἡ τῷ Μωϋσῇ παραδειχθεῖσα τύπος, μᾶλλον δὲ προτύπωσις τύπου, τῆς σήμερον ἐκκλησίας τύπος τυγχάνουσα. Ἐν ταύτῃ δὲ τῇ ἀχειροποιήτῳ σκηνῇ οὐκ ἔσται κλαυθμὸς, οὔτε δάκρυον· ὁ γὰρ τῆς ἀεννάου χαρᾶς χορηγὸς, τὸ ὁρᾶσθαι πᾶσι δωρήσεται τοῖς ἁγίοις τὴν εὐφροσύνην τὴν ἄληκτον.

Καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι· [οὔτε πένθος, οὔτε κραυγὴ, οὔτε πόνος οὐκ ἔσται ἔτι]· ὅτι τὰ πρῶτα ἀπῆλθον.

Καὶ [τοῦτο] κατὰ τὸ γεγραμμένον· [Ἔνθα] *ἀπέδρα ὀδύνη*, [καὶ] *λύπη καὶ στεναγμός* (α). Τὸ δὲ, *Τὰ πρῶτα ἀπῆλθον*, σημαίνει, ὅτι ἡ τῶν ἁγίων κακοπάθεια, καὶ τῶν ἀσεβῶν ἡ ἀλαζονεία πέρας εἴληφεν, ἑκατέρῳ τούτων κατάλληλον.

ΚΕΦΑΛΑΙΟΝ Ξ'.

Περὶ ὧν εἶπεν ὁ ἐν τῷ θρόνῳ καθήμενος

5 Καὶ εἶπεν ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ· Ἰδοὺ, καινὰ πάντα ποιῶ. Καὶ λέγει μοι· Γράψον, ὅτι οὗτοι οἱ
6 λόγοι ἀληθινοὶ καὶ πιστοί εἰσι. Καὶ εἶπέ μοι· Γέγονα [ἐγὼ] τὸ Α καὶ τὸ Ω, ἡ ἀρχὴ καὶ τὸ τέλος.

Ἀληθινοὶ *καὶ πιστοὶ* οἱ λόγοι, ὡς ὑπ' αὐτῆς τῆς ἀληθείας ἐκφερόμενοι, καὶ μηκέτι διὰ συμβόλων, ἀλλὰ δι' αὐτῶν τῶν πραγ-

(α) Ἡσ. ΛΕ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάτων γινωσκόμενοι. *Ἀρχὴ* δὲ καὶ *τέλος* ὁ Χριστὸς, ὡς πρῶτος, διὰ τὴν θεότητα, καὶ ἔσχατος, διὰ τὴν ἀνθρωπότητα· καὶ ὡς ἀπὸ τῆς πρώτης τῶν ἀσωμάτων κτίσεως μέχρι τῶν τελευταίων ἀνθρώπων τὴν οἰκείαν ἐντεῦθεν πρόνοιαν.

Ἐγὼ τῷ διψῶντι δώσω ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δωρεάν.

Τῷ δὲ διψῶντι τὴν δικαιοσύνην, παρέξειν ἐπαγγέλλεται τὴν χάριν τοῦ ζωοποιοῦ Πνεύματος, ἣν ἐν τοῖς εὐαγγελίοις ὑπέσχετο τοῖς εἰς αὐτὸν πιστεύουσι (α)· *δωρεὰν* δὲ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν τοῖς ἁγίοις ἀποκαλύπτεσθαι (β)· ἢ *δωρεὰν*, ὅτι οὐκ ἔστι ταύτην χρήμασιν, ἀλλ' ἔργοις ἀγαθοῖς κτήσασθαι, καὶ φιλανθρωπίᾳ τοῦ παρέξοντος.

7 Ὁ νικῶν, κληρονομήσει ταῦτα· καὶ ἔσομαι αὐτῷ θεὸς, καὶ αὐτὸς ἔσται μοι υἱός.

Ὁ δὲ νικῶν, [φησὶ], τὸν πρὸς τοὺς ἀοράτους δαίμονας πόλεμον, τῶν ἀγαθῶν τούτων τεύξεται, υἱὸς θεοῦ γενόμενος, καὶ τοῖς πνευματικοῖς ἐντρυφῶν ἀγαθοῖς.

8 Τοῖς δὲ δειλοῖς καὶ [ἀπίστοις καὶ ἀμαρτωλοῖς καὶ] ἐβδελυγμένοις, καὶ φονεῦσι, καὶ πόρνοις, καὶ φαρμακοῖς, καὶ εἰδωλολάτραις, καὶ πᾶσι τοῖς ψευδέσι, τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ· ὅ ἐστιν [ὁ] δεύτερος θάνατος.

Ὁ γὰρ διψῶν τὴν σωτηρίαν ἡμῶν θεὸς, πάντοθεν ἡμᾶς εἰς τὴν κληρονομίαν τῶν ἀπ' αὐτοῦ ἀγαθῶν, διά τε χρηστῶν, διά τε σκυθρωπῶν προτρέπεται· ὑπ' ὄψιν ἡμῖν ἄγων τὴν τῆς ἄνω Ἱερουσαλὴμ λαμπρότητα, [καὶ] τῆς γεέννης τοῦ πυρὸς τὴν ἀφεγγῆ καὶ ὀδυνηρὰν σκυθρωπότητα· ἵνα ἢ πόθῳ τῆς αἰωνίου δόξης, ἢ φόβῳ τῆς ἀπεράντου αἰσχύνης, ἕως καιρός ἐστι, τὸ ἀγαθὸν ἐργασώμεθα· ὡς τοὺς λοιποὺς ἀπηγορευμένους, καὶ τοὺς

(α) Ἰωάν. Ζ', 38. (β) Ῥωμ. Η', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δειλοὺς καὶ ἀνάνδρους ἐν τῇ κατὰ τοῦ διαβόλου πάλῃ, τῷ δευτέρῳ θανάτῳ φήσας καταδικασθήσεσθαι. Γένοιτο δὲ ἡμᾶς, τὸν θελητὴν τοῦ ἐλέους, τὸν μὴ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν ὑποστροφὴν θέλοντα, ἐξιλεουμένους ἀγαθαῖς πράξεσι, τῶν αὐτοῦ τυχεῖν δωρεῶν· ἃς ἡμῖν οὐ μόνον ταῖς διὰ λόγων παραινέσεσιν, ἀλλὰ καὶ ταῖς δι' ἔργων καὶ παθῶν προὐξένησεν. Ἐξὸν γὰρ αὐτῷ ἀρκεσθῆναι μόναις ταῖς τοῦ ἀγαθοῦ [τε] καὶ κακοῦ προτροπαῖς (τε καὶ ἀποτροπαῖς,) καὶ μετὰ τοῦτο ἢ κολάσαι ἢ τιμῆσαι τοὺς ἀξίους ἢ κολάσεως ἢ δόξης, ὁ δὲ, καὶ παθεῖν δι' ἡμᾶς οὐκ ἀπηξίωσεν· ἵνα μήτε τῷ αὐτεξουσίῳ λυμήνηται, μήτε φανῇ τι παριδὼν τῆς ἡμῶν ἰατρείας καὶ ἐπανορθώσεως ἕνεκεν. Μὴ τοίνυν εἰς κενὸν τὴν χάριν τοῦ θεοῦ δεξώμεθα· ἀλλ' ἐμπράκτους αὐτοῦ τὰς εὐεργεσίας δι' ἐπιστροφῆς καὶ ἔργων ἀγαθῶν ἐπιδείξεως ποιήσωμεν, ὅπως τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχωμεν ἐν [αὐτῷ] Χριστῷ, τῷ θεῷ ἡμῶν· μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας [τῶν αἰώνων] δόξα, κράτος. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΞΖ'.

ΛΟΓΟΣ ΚΓ'.

Περὶ ἀγγέλου, δεικνύοντος [αὐτῷ] τὴν τῶν ἁγίων πόλιν, καὶ τὸ ταύτης τεῖχος σὺν τοῖς πυλεῶσι διαμετροῦντος.

9 Καὶ ἦλθεν εἷς τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας, [τὰς] γεμούσας τῶν ἑπτὰ πληγῶν τῶν ἐσχάτων· καὶ ἐλάλησε μετ' ἐμοῦ, λέγων· Δεῦρο, δείξω σοι τὴν νύμφην τοῦ ἀρνίου τὴν γυναῖκα.

Διὰ τούτων δείκνυται, μὴ μόνον τὰς κακωτικὰς ἐπάγειν πλη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὼς τοὺς ἀγγέλους, ἀλλὰ [καὶ] ὡς ἰατροὺς, ποτὲ μὲν τέμνοντας, ποτὲ δὲ ἥπια φάρμακα ἐπιπάσσοντας. Ὁ γὰρ τότε τὴν πληγὴν τοῖς ἀξίοις ἐπάγων, νῦν τὴν μακαριότητα τῆς ἐκκλησίας τῷ ἁγίῳ ὑποδείκνυσι. Καλῶς δὲ τὴν *νύμφην* τοῦ ἀρνίου, *γυναῖκά* φησιν· ὅτε γὰρ ὡς ἀμνὸς ἐσφαγιάσθη ὁ Χριστὸς, τότε αὐτὴν τῷ οἰκείῳ αἵματι ἐνυμφεύσατο. Ὥσπερ γὰρ τοῦ Ἀδὰμ καθεύδοντος, διεπλάσθη ἡ γυνὴ τῇ τῆς πλευρᾶς ἀφαιρέσει (α)· οὕτω καὶ τῷ Χριστῷ, ἐν τῷ σταυρῷ ἑκουσίως διὰ θανάτου ὑπνώσαντι, τῇ ἐκχυθείσῃ τοῦ ἐκ τῆς πλευρᾶς αἵματος ἡ ἐκκλησία συστᾶσα, τῷ θυθέντι δι' ἡμᾶς ἥρμοσται.

10 Καὶ ἀπήνεγκέ με ἐν πνεύματι ἐπ' ὄρος μέγα καὶ ὑψηλόν· καὶ ἔδειξέ μοι τὴν πόλιν τὴν μεγάλην, τὴν ἁγίαν Ἱερουσαλὴμ, καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ
11 ἀπὸ τοῦ θεοῦ, ἔχουσαν τὴν δόξαν τοῦ θεοῦ·

Τὸ δὲ *ἀπενεχθῆναι ἐν πνεύματι ἐπ' ὄρος*, δηλοῖ τὸ ἐκ γῆς ἀρθῆναι τῷ φρονήματι διὰ τοῦ πνεύματος πρὸς τὴν τῶν ἐπουρανίων κατανόησιν· *ἐπ' ὄρος δὲ μέγα καὶ ὑψηλὸν*, τὴν ἀνηγμένην καὶ ὑπερκόσμιον τῶν ἁγίων ζωὴν [αἰνίττεται.] Ἐν ἐκείνῳ δὲ τῷ ὄρει ἡ γυνὴ *τοῦ ἀρνίου*, ἡ ἄνω Ἱερουσαλὴμ, ὑπὸ θεοῦ κοσμηθήσεται καὶ δοξασθήσεται.

Καὶ ὁ φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, [ὡς λίθῳ] ἰάσπιδι κρυσταλλίζοντι·

Φωστὴρ τῆς ἐκκλησίας, ὁ Χριστὸς, διὰ μὲν τῆς κρυσταλλιζούσης ἰάσπιδος, ὡς ἀειθαλὴς καὶ ζωοδῶρος καὶ [ὡς] καθαρός· δι' ἑτέρων δὲ ἑτέρως σκιαγραφούμενος· οὐδὲ γὰρ ἑνὸς εἴδους παραδείγματι τῶν ποικίλων αὐτοῦ περὶ ἡμᾶς εὐεργεσιῶν τὸ πολύτροπον διαγραφῆναι δύναται.

12 Ἔχουσά τε τεῖχος μέγα καὶ ὑψηλὸν, καὶ [ἔχουσα] πυλεῶνας ιβ', καὶ ἐπὶ τοῖς πυλεῶσιν ἀγγέλους ιβ',

(α) Γεν. Β', 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστι τῶν ιβ' φυλῶν τοῦ Ἰσραήλ.

Τεῖχος μέγα τῆς ἐκκλησίας καὶ ὑψηλὸν, καὶ φρουρητικὸν τῶν ἐν τῇ ἁγίᾳ πόλει, ὁ Χριστός ἐστιν· ἐν ᾧ πυλῶνες δώδεκα, οἱ ἅγιοι ἀπόστολοι [εἰσι·] δι' ὧν τὴν προσαγωγὴν καὶ τὴν εἴσοδον πρὸς τὸν πατέρα ἐσχήκαμεν· καὶ αὐτοὶ δὲ συνεργούμενοι ὑπ' ἀγγέλων δώδεκα, τῶν προὐχόντων καὶ μᾶλλον πλησιαζόντων θεῷ κατὰ τὴν ἀγχιστείαν τὴν ἐν ἁγιότητι. Εἰ γὰρ ἑκάστῳ τῶν πιστῶν ἄγγελον ἕπεσθαι φύλακα πεπιστεύκαμεν, πολλῷ μᾶλλον τοῖς θεμελιωταῖς τῆς ἐκκλησίας καὶ τοῦ εὐαγγελικοῦ λόγου σπορεῦσι, τοὺς ἐν ἀγγέλοις πρωτεύοντας συνεργοὺς πρὸς τὸ εὐαγγελικὸν [εἶναι] κήρυγμα νοεῖσθαι ἀκόλουθον. Τὰ δὲ ὀνόματα τῶν φυλῶν τοῦ νοητοῦ Ἰσραὴλ ἐπὶ ταῖς ἀποστολικαῖς εἰσόδοις γέγραπται· ἐπειδὴ καὶ τὰ τοῦ αἰσθητοῦ ἐν τῇ ἐπωμίδι τοῦ πάλαι κατὰ καιρὸν ἀρχιερέως ἐγέγραπτο· [καὶ γὰρ] ἡ γραφὴ νῦν διὰ τῶν ὀνομάτων τούτων τὴν περὶ τῶν πιστῶν μέριμναν τοῖς ἀποστόλοις προσμαρτυρεῖ· καθὼς ὁ Παῦλός φησιν, ἔχειν τὴν μέριμναν πασῶν τῶν ἐκκλησιῶν (α), καὶ τὴν καρδίαν αὐτοῦ πεπλατύνθαι (β), καὶ πάντας χωρεῖν, οὓς αὐτὸς διὰ τοῦ εὐαγγελίου ἐγέννησε (γ).

13 Ἀπὸ ἀνατολῆς, πυλῶνες τρεῖς· ἀπὸ βορρᾶ, πυλῶνες τρεῖς· ἀπὸ νότου, πυλῶνες τρεῖς· ἀπὸ δυσμῶν, πυλῶνες τρεῖς.

Τὸ δὲ τετραμερὲς σχῆμα τῶν πυλώνων, καὶ ἡ τρισσὴ αὐτῶν ἀνάπτυξις, τὴν ἐκ τῆς τετραπεράτου οἰκουμένης τῆς προσκυνητῆς [παναγίας] Τριάδος δηλοῦν [τὴν] ἐπίγνωσιν, ἣν διὰ τοῦ ζωοποιοῦ σταυροῦ εἰλήφαμεν, ἐξείληπται. Σταυροειδὲς γὰρ τὸ σχῆμα τῆς τῶν πυλώνων θέσεως, κατὰ τὸ εἶδος τῶν ιβ' βοῶν, οἱ τὴν ὑπὸ Σολομῶντος κατεσκευασμένην θάλασσαν ἐβάσταζον (δ),

(α) Β' Κορ. ΙΑ', 28. (β) Β' Κορ. Ϛ', 11.
(γ) Α' Κορ. Δ', 15, (δ) Γ' Βασιλ. Ζ', 25.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χαρακτηρίζοντες τὴν τριαδικὴν τῶν ἀποστόλων τετρακτύν, τὴν τῆς ἁγίας Τριάδος κήρυκα, καὶ τὴν τῶν τεσσάρων εὐαγγελίων ἐκπομπὴν εἰς τὰ τέσσαρα τῆς γῆς πέρατα· δι' ἧς ἡ νοητὴ θάλασσα τοῦ [ἁγίου] βαπτίσματος, ἡ ἀποκαθαίρουσα τὸν κόσμον ἐκ τῶν ἁμαρτιῶν, [ἡ] ἐκ τοῦ νοητοῦ συστᾶσα Σολομῶντος, εἰκονίζεται.

14 Καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώδεκα· καὶ ἐπ' αὐτῶν δώδεκα ὀνόματα τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου.

Θεμέλιοι δὲ τοῦ τείχους, οἱ μακάριοι εἰσιν ἀπόστολοι· ἐφ' οἷς ἡ τοῦ Χριστοῦ ἐκκλησία τεθεμελίωται· ὧν τὰ ὀνόματα, ὡς ἐν προγραφῇ, τούτοις ἐπιγέγραπται, πρὸς τὴν τῶν ἀναγινωσκόντων εὐμάθειαν.

15 Καὶ ὁ λαλῶν μετ' ἐμοῦ, εἶχε [μέτρον], κάλαμον χρυσοῦν, ἵνα μετρήσῃ τὴν πόλιν, καὶ τοὺς πυλῶνας [αὐτῆς], καὶ τὸ τεῖχος αὐτῆς.

Ὁ χρυσοῦς δὲ κάλαμος, δηλοῖ τὸ τίμιον τοῦ τε μετροῦντος ἀγγέλου, ὃν ἀνθρωποειδῶς ἐθεώρησε, καὶ τῆς μετρουμένης πόλεως, ἧς τεῖχος τὸν Χριστὸν ἐξελάβομεν, οὐχ ὑπ' ἀνθρώπων, ὑπὸ δὲ ἀγγέλου μετρουμένης, διὰ τὸ καθαρὸν καὶ σοφὸν τῶν ὑπερκοσμίων φύσεων· αἷς, ὡς εἰκὸς, ἔγνωσται τῆς ἄνω πόλεως τό τε μέγεθος, ἥ τε εὐπρέπεια. Ἡγούμεθα δὲ τεῖχος ἐνταῦθα, καὶ τὴν θείαν περιβολὴν καὶ σκέπην νοεῖσθαι, ἐν ᾗ οἱ ἅγιοι φυλαχθήσονται.

16 Καὶ ἡ πόλις τετράγωνος κεῖται· καὶ τὸ μῆκος αὐτῆς, ὅσον τὸ πλάτος· καὶ ἐμέτρησε τὴν πόλιν ἐν τῷ καλάμῳ ἐπὶ σταδίων δώδεκα χιλιάδων· τὸ μῆκος αὐτῆς καὶ τὸ πλάτος καὶ τὸ ὕψος ἴσα ἐστί.

Τετράγωνος δὲ ἡ πόλις κεῖται, διὰ τὸ ἑδραῖον καὶ πάγιον· τὸ γὰρ κατά τε βάθος καὶ μῆκος καὶ πλάτος ἰσόπλευρον, κύβος τισὶν ὠνόμασται· ἑδραιότητα δὲ δηλοῦν λέγεται. Αἱ δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δώδεκα χιλιάδες τῶν σταδίων, ἃς ἔχειν φησὶ τὴν πόλιν, ἴσως μὲν σημαίνουσι τὸ ταύτης μέγεθος· ὑπὲρ γὰρ ψάμμον, ὥς φησιν ὁ Δαυὶδ, οἱ ταύτης οἰκήτορες πληθυνθήσονται (α)· ἴσως δὲ καὶ διὰ τὸν ἀριθμὸν τῶν δώδεκα ἀποστόλων, δι' ὧν αὕτη κατοικίζεται. Καὶ ὁ ἑβδοματικὸς [δὲ] ἀριθμὸς, μυστικὸς ὤν, διά τινος ἀναλύσεως παρίστησι τὸ ζητούμενον. Αἱ γὰρ ῥηθεῖσαι χιλιάδες τῶν σταδίων, σημεῖα ἀποτελοῦσι, τὰ λεγόμενα *μίλια*, ᾳψιδ'· τῶν μὲν χιλίων δηλούντων τῆς ἀπεράντου ζωῆς τὴν τελειότητα· τῶν δὲ ἑπτακοσίων, τὸ ἐν ἀναπαύσει τέλειον· τῶν δὲ δεκατεσσάρων, τὸν διπλοῦν σαββατισμὸν, τῆς ψυχῆς δηλαδὴ καὶ τοῦ σώματος· [δὶς γὰρ ἑπτὰ, δεκατέσσαρα]

17 Καὶ ἐμέτρησε τὸ τεῖχος αὐτῆς ἑκατὸν τεσσαρακοντατεσσάρων πηχῶν· μέτρον ἀνθρώπου, ὅ ἐστιν ἀγγέλου.

Τὸ μέτρον τοῦ βάθους τοῦ τείχους, πηχῶν ἑκατὸν τεσσαράκοντα τεσσάρων. Δωδεκάκις γὰρ ὁ δώδεκα ἀριθμὸς συντιθέμενος, ὁ τὴν ἀποστολικὴν διδασκαλίαν ἐμφαίνων, τοῦτον ἀποτελεῖ τὸν ἀριθμόν.

18 Καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους αὐτῆς, ἴασπις· καὶ ἡ πόλις, χρυσίον καθαρὸν, ὅμοιον ὑάλῳ καθαρῷ.

Ἡ δὲ *ἐνδόμησις τοῦ τείχους*, *ἴασπις*, ἥτις τὴν ἀειθαλῆ καὶ ἀμάραντον ζωὴν τῶν ἁγίων ἐνδείκνυται, καθὼς πολλάκις εἴρηται. *Καθαρὸν* δὲ τὸ *χρυσίον* αὐτῆς *ὡς ὕαλος*, διὰ τὸ διαυγὲς καὶ λαμπρὸν τῶν αὐτῆς οἰκητόρων.

19 Καὶ οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως, παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι.

Οἱ δὲ δώδεκα θεμέλιοι, δώδεκα λίθοι τίμιοι· ὧν οἱ ὀκτὼ, ἐν τῷ λογείῳ τοῦ ἀρχιερέως πάλαι ἀνεφέροντο· οἱ δὲ τέσσαρες, παρηλλαγμένοι εἰσίν· ἵνα ἀναφανῇ [καὶ] τὸ σύμφωνον τῆς Νέας

(α) Ψαλμ. ΡΛΗ' 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς τὴν Παλαιὰν, καὶ τὸ ὑπερέχον τῶν ἐν αὐτῇ διαλαμψάντων. Οἱ τοίνυν ἀπόστολοι πάσῃ ἀρετῇ διὰ τῶν τιμίων λίθων ἐκφαινόμενοι κεκόσμηνται.

Ὁ θεμέλιος ὁ πρῶτος, ἴασπις.

Διὰ τῆς *ἰάσπιδος*, χλωριζούσης τὴν χρόαν κατὰ τὴν σμάραγδον, εἰκὸς τὸν κορυφαῖον Πέτρον δηλοῦσθαι· ὅτε τὴν νέκρωσιν τοῦ Χριστοῦ βαστάσαντα ἐν τῷ σώματι, καὶ τὸ ἀειθαλὲς καὶ νεάζον ἐν τῇ πρὸς αὐτὸν ἀγάπῃ ἐνδειξάμενον· ὃς [καὶ] ὡδήγησεν ἡμᾶς εἰς τόπον χλόης διὰ [τῆς] θερμῆς πίστεως.

Ὁ δεύτερος, σάπφειρος.

Διὰ τούτου, ἐοικότος τῷ οὐρανίῳ σώματι, ἐξ οὗ φασι καὶ τὸ *λαζούριον* γίνεσθαι, τὸν μακάριον Παῦλον οἶμαι σημαίνεσθαι, ἕως τρίτου οὐρανοῦ ἀναληφθέντα (α), κἀκεῖ ἕλκοντα τοὺς αὐτῷ πειθομένους, ἔνθα εἶχεν ἐν οὐρανοῖς τὸ πολίτευμα.

Ὁ τρίτος, χαλκηδών.

Οὗτος [ὁ λίθος] ἐν τῷ ἱερατικῷ λογείῳ οὐ φέρεται· ἀλλ' ἄνθραξ, ὃς ἐνταῦθα οὐ κεῖται. Σκοπητέον οὖν μή ποτε τὸν ἄνθρακα οὕτως ἐκάλεσεν ὁ ἅγιος. Ἄνθραξ δὲ ὁ μακάριος Ἀνδρέας ὁ ἀπόστολος, ὡς ἀναφθεὶς ἐκ τοῦ πνεύματος.

Ὁ τέταρτος, σμάραγδος.

Διὰ τοῦ σμαράγδου, χλωροῦ τυγχάνοντος [τὴν χρόαν], καὶ [τῷ] ἐλαίῳ τρεφομένου, τήν τε διαύγειαν καὶ τὴν ὥραν [ἐξ] αὐτοῦ προσλαμβάνοντος, τὸ τοῦ εὐαγγελιστοῦ Ἰωάννου δηλοῦσθαι νομίζομεν κήρυγμα· θείῳ ἐλαίῳ φαιδρύνον τὴν προσγινομένην ἡμῖν ἐξ ἁμαρτημάτων κατήφειαν, καὶ τὸ ἀειθαλὲς τῆς πίστεως δωρούμενον, τῷ πολυτίμῳ τῆς θεολογίας χαρίσματι.

20 Ὁ πέμπτος, σαρδόνυξ.

(α) Β' Κορ. ΙΒ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Διὰ τούτου, [τὴν τοῦ] ἀνθρωπίνου ὄνυχος χρόαν μετὰ διαυγείας ἔχοντος, δηλοῦσθαι εἰκὸς τὸν Ἰάκωβον, πρὸ τῶν ἄλλων τὴν σωματικὴν διὰ Χριστὸν δεξάμενον νέκρωσιν· ἣν ὁ ὄνυξ χαρακτηρίζει, ἀμοιρῶν ἐν τῷ τέμνεσθαι αἰσθήσεως.

Ὁ ἕκτος, σάρδιος.

Διὰ τοῦ σαρδίου, ἅτε πυρρὸν τὴν χρόαν καὶ διαυγοῦς, θεραπευτικοῦ δὲ ὅμως οἰδημάτων καὶ τῶν ἀπὸ σιδήρου πληγῶν, τῆς τοῦ [μακαρίου] Φιλίππου ἀρετῆς τὸ κάλλος ὑπολαμβάνω χαρακτηρίζεσθαι, φαιδρυνομένης τῷ πυρὶ τοῦ θείου πνεύματος, καὶ θεραπευούσης τῶν πεπλανημένων τὰ ψυχικὰ τραύματα, ἅπερ ὑπὸ τοῦ διαβόλου τρωθέντες ἐδέξαντο.

Ὁ ἕβδομος, χρυσόλιθος.

Διὰ τοῦ χρυσολίθου, χρυσῷ ἐοικότος τὴν στιλπνότητα, ὁ Βαρθολομαῖος τάχα εἰκονίζεται, ταῖς πολυτιμήτοις ἀρεταῖς κατηγλαϊσμένος, καὶ τῷ θείῳ κηρύγματι.

Ὁ ὄγδοος, βήρυλλος.

Διὰ τοῦ θαλασσοβαφοῦς καὶ ἀερίζοντος [καὶ τῷ] ὑακινθίνῳ [χρώματι] πλησιάζοντος, τὸν Θωμᾶν σημαίνεσθαι δοκῶ, μακρὰν διαπόντιον ἀποδημίαν μέχρις Ἰνδῶν, διὰ τὴν αὐτῶν σωτηρίαν, στειλάμενον.

Ὁ ἔννατος, τοπάζιον.

Διὰ τοῦ τοπαζίου, ἐρυθροῦ ὄντος, καὶ ἐοικότος τῷ ἄνθρακι, καὶ ὀπὸν ἀφιέντος, (ὥς φασι), γαλακτώδη, ὀφθαλμιῶσίν ἀλεξίπονον, ἡ τοῦ μακαρίου Ματθαίου ψυχὴ δηλοῦσθαι δύναται, πεπυρωμένη τῷ θείῳ ζήλῳ, καὶ κεκοσμημένη τῇ τοῦ οἰκείου ἐκχύσει διὰ Χριστὸν αἵματος, ἐξιωμένη τε διὰ τοῦ εὐαγγελίου τοὺς τῇ καρδίᾳ τυφλώττοντας, καὶ γάλα τοὺς ἀρτιγενεῖς τῇ πίστει ποτίζουσα.

Ὁ δέκατος, χρυσόπρασος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Διὰ τοῦ χρυσοπράσου, βαθυτέρου τὴν χροιὰν παρὰ τὸν χρυσὸν ὑπάρχοντος, τὸν [μακάριον] Θαδδαῖον οἶμαι σημαίνεσθαι, τὸν τῷ Ἀβγάρῳ, βασιλεῖ Ἐδέσσης, τὴν Χριστοῦ βασιλείαν, τὴν διὰ τοῦ χρυσοῦ δηλουμένην, καὶ τὴν διὰ τοῦ πράσου σημαινομένην αὐτῷ νέκρωσιν, εὐαγγελισάμενον.

Ὁ ἑνδέκατος, ὑάκινθος.

Διὰ τοῦ ὑακίνθου, τὴν ἰδέαν κυανίζοντος, ἤγουν ἀερίζοντος, τὸν Σίμωνα, ὡς ζηλωτὴν τῶν [τοῦ] Χριστοῦ χαρισμάτων, καὶ οὐράνιον ἔχοντα φρόνημα, εἰκὸς σημαίνεσθαι.

Ὁ δωδέκατος, ἀμέθυσος.

Διὰ τοῦ ἀμεθύσου, τῇ μορφῇ πορφυρίζοντος, τὸν Ματθίαν στοχάζομαι σημαίνεσθαι, τοῦ θείου πυρὸς ἐν τῇ τῶν γλωσσῶν διανομῇ καταξιωθέντα, καὶ τὸν τοῦ ἐκπεπτωκότος τόπον ἀναπληρώσαντα, [τῷ διαπύρῳ] πόθῳ τῆς πρὸς τὸν ἐκλεξάμενον εὐαρεστήσεως. Ταῦτα δὲ ἐκ τῶν τῷ ἁγίῳ Ἐπιφανίῳ περὶ λίθων εἰρημένων, καὶ ἑτέρως [ὑπ' αὐτοῦ] τοῖς φυλάρχοις τοῦ Ἰσραὴλ προσηρμοσμένων, ἐντετάχαμεν, πρὸς γυμνασίαν τοῖς ἐντυγχάνουσι τοῖς αἰνίγμασι, τῆς ἀληθείας καταστοχαζόμενοι, τῆς ἀκριβείας ἐγνωσμένης μόνῳ τῷ ἀποκαλύψαντι. Ὄντως δὲ καὶ θεμέλιοι οἱ ἀπόστολοι, καὶ λίθοι τίμιοι· ὁ μὲν, τοῦδε· ὁ δὲ, τοῦδε· καὶ πάντες κοινῇ, πάντων τὸ ἐν τοῖς καλοῖς ἰδιάζον καὶ ἐξαίρετον ἀποσώζοντες. Διὸ παρακαλῶ, ἀφεθῆναι τῆς ἐπὶ τοῖς παρατεθεῖσι [νοήμασιν], ὡς βεβιασμένοις, μέμψεως. Οὐ γὰρ τῷ ἰδιάζοντι τῆς ἑκάστου τῶν ἀποστόλων ἀρετῆς, τὴν αὐτῶν κοινωνίαν καὶ ἀλληλουχίαν διεκόψαμεν· ἀλλὰ διὰ τῆς μερικῆς ἑτερότητος, τὴν ὁλικὴν αὐτῶν ταυτότητα δηλῶσαι προεθυμήθημεν, ἀλλήλων ἐχομένην, δίκην ἁλύσεως.

21 Καὶ οἱ δώδεκα πυλῶνες, δώδεκα μαργαρίται· ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου.

[Οἱ δὲ δώδεκα] πυλῶνες, οἱ [δώδεκα] τοῦ Χριστοῦ μαθηταὶ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δι᾽ ὧν τὴν θύραν καὶ τὴν ὁδὸν ἐπέγνωμεν [τῆς ζωῆς· οἵτινες καί] δώδεκά εἰσι μαργαρίται, ἐξ ἑνὸς πολυτίμου μαργαρίτου, τοῦ Χριστοῦ, τὴν διαύγειαν κτησάμενοι.

Καὶ ἡ πλατεῖα τῆς πόλεως, χρυσίον καθαρὸν, ὡς ὕαλος διαυγής.

Ἑνὶ παραδείγματι δὲ τὴν ἀκρίβειαν τῶν τῆς ἄνω πόλεως ἀγαθῶν παραστῆσαι οὐ δύναται. Διὸ τὴν πλατεῖαν τῆς πόλεως, διὰ μὲν τὸ πολυτελὲς καὶ εὔχρουν, ὡς χρυσίον· διὰ δὲ τὸ καθαρὸν, ὡς κρύσταλλον ἐθεάσατο, [ἤτοι ὡς ὕαλον διαυγῆ·] ἅπερ ἀμφότερα ἐν ἑνὶ συνδραμεῖν παρ᾽ ἡμῖν, ἀδύνατον. Ταῦτα δὲ πάντα ὁ ἅγιος τεθέαται, καθὼς ἠδύνατο· ἡ δὲ ἀκραιφνὴς τῆς ἄνω πόλεως κατανόησις ὑπερβαίνει καὶ ἀκοὴν [καὶ ὅρασιν] καὶ διάνοιαν.

22 Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ· ὁ γὰρ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, ναὸς αὐτῆς ἐστι, καὶ τὸ ἀρνίον.

Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ. Τίς γὰρ χρεία ναοῦ αἰσθητοῦ τῇ ἐχούσῃ τὸν Θεὸν φρουρὰν καὶ σκέπην· *ἐν ᾧ ζῶμεν, καὶ κινούμεθα καὶ ἐσμέν* (α); Οὗτος γάρ ἐστι τῶν ἁγίων καὶ ναὸς, καὶ ἔνοικος, ἐνοικῶν [ἐν] αὐτοῖς καὶ ἐμπεριπατῶν, καθὼς ἐπήγγελται (β), *καὶ τὸ ἀρνίον*, ὁ δι᾽ ἡμᾶς σφαγιασθεὶς ἀμνὸς τοῦ Θεοῦ· ᾧ δηλαδὴ οὐσιωδῶς καὶ τὸ ζωοποιὸν πνεῦμα συντέτακται, ὅπερ διὰ τοῦ ἑξῆς *ποταμοῦ* ἐνέφηνε.

23 Καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου, οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν αὐτῇ· ἡ γὰρ δόξα τοῦ Θεοῦ ἐφώτισεν αὐτὴν· καὶ ὁ λύχνος αὐτῆς, τὸ ἀρνίον.

Καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου. Ἔνθα γὰρ ὁ τῆς δικαιοσύνης νοητὸς ἥλιος, αἰσθητῶν φωστήρων χρεία οὐκ ἔστιν. Αὐτὸς γὰρ αὐτῆς καὶ δόξα, καὶ λύχνος· καὶ τὰ ἔθνη τῶν σωζομένων, τῷ φωτὶ αὐτῆς περιπατήσουσι· [περὶ ὧν φησι·]

(α) Πραξ. ΙΖ', 28. (β) Β' Κορ. Ϛ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

24 Καὶ περιπατήσουσι τὰ ἔθνη διὰ τοῦ φωτὸς αὐτῆς· καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσι τὴν δόξαν καὶ τὴν τι-
25 μὴν αὐτῶν εἰς αὐτήν· καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας· νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ.

Τὰ μὲν γὰρ σωζόμενα ἔθνη, καθὼς εἴρηται, ἐν τῷ φωτὶ αὐτῆς περιπατήσουσιν· οἱ δὲ ἐν τῇ γῇ τῶν παθῶν βασιλεύσαντες, τὴν τῶν ἀγαθῶν πράξεων δόξαν καὶ τιμὴν ἐν αὐτῇ οἴσουσι. Τὸ δὲ *μὴ κλεισθῆναι τὰς θύρας*, δηλοῖ ἢ τὸ ἀσφαλὲς τῶν οἰκητόρων αὐτῆς καὶ ἄτρεπτον, ἢ τὸ κἀκεῖ τοὺς θείους πυλῶνας τῆς ἀποστολικῆς διδασκαλίας ἀνεῳχθαι πᾶσι, πρὸς τὴν τῶν τελειοτέρων μάθησιν. Ἡμέρα δὲ ἔσται ἐκεῖ, καὶ οὐ νύξ· αὕτη γὰρ τοῖς ἁμαρτωλοῖς ἀποκληρωθήσεται.

26 Καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν
27 εἰς αὐτήν· καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν, καὶ ποιοῦν βδέλυγμα, καὶ ψεῦδος· εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου.

Ἡ δὲ λαμπρότης καὶ ἡ δόξα τῶν ἐθνῶν, τουτέστιν, οἱ ἐν αὐτοῖς Χριστῷ εὐαρεστήσαντες, ἐν τῇ πόλει ἐκείνῃ καρποφορηθήσονται. Πᾶν δὲ κοινὸν καὶ ἀκάθαρτον ἐκεῖ οὐκ εἰσελεύσεται· τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος (α);

ΚΕΦΑΛΑΙΟΝ ΞΗ'.

Περὶ τοῦ καθαροῦ ποταμοῦ, τοῦ φανέντος ἐκ τοῦ θρόνου ἐκπορευέσθαι.

ΚΕΦ. XXII, 1 Καὶ ἔδειξέ μοι ποταμὸν καθαρὸν ὕδατος ζωῆς, [καὶ] λαμπρὸν ὡς κρύσταλλον, ἐκπορευόμενον

(α) Β' Κορ. ς', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

2 ἐκταῦ θρόνου τοῦ θεοῦ καὶ τοῦ ἀρνίου, ἐν μέσῳ τῆς πλατείας αὐτῆς.

Ο μὲν ἐκ τῆς ἐν τῷ παρόντι βίῳ [ἐκκλησίας] ἐκπορευόμενος ποταμὸς, τὸ τῆς παλιγγενεσίας αἰνίττεται βάπτισμα· διὰ πνεύματος μὲν [ἁγίου] ἐνεργούμενον, καθαροὺς δὲ τοὺς λουομένους ὑπὲρ χιόνα καὶ κρύσταλλον ἀπεργαζόμενον. Τὴν δὲ ἄνω Ἱερουσαλὴμ ὁ ποταμὸς τοῦ θεοῦ, ὁ πεπληρωμένος ὑδάτων, τὸ ζωοποιὸν πνεῦμα διαπορεύεται, ἐκ τοῦ θεοῦ καὶ πατρὸς ἐκπορευόμενον, καὶ διὰ τοῦ ἀρνίου, διὰ μέσου τῶν ὑπερτάτων δυνάμεων, αἳ *θρόνος* θεότητος ὀνομάζονται, τὰς πλατείας πληροῦν τῆς ἁγίας πόλεως· δηλαδὴ τὸ πλῆθος αὐτῆς, τὸ ὑπὲρ ψάμμον, κατὰ τὸν ψαλμῳδὸν, πληθυνόμενον.

Καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐντεῦθεν, ξύλον ζωῆς, ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα [ἕνα] ἕκαστον ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ·

Ο δὲ ποταμὸς οὗτος, φησὶ, ποτίζει τοὺς παραπεφυτευμένους αὐτῷ ἁγίους, *ξύλον* ζωῆς τροπικῶς ὠνομασμένους, κατὰ μετοχὴν καὶ μίμησιν τοῦ τῆς ζωῆς ξύλου [Χριστοῦ·] *δώδεκα* δὲ *καρποὺς βλαστάνοντας* τοὐτέστιν, ἀδιάλειπτον τὴν τῶν καρπῶν βλαστάνοντας ἔκφυσιν· οὐ γὰρ ἁμαρτίας ἔσται χειμὼν ἐκεῖ, φύλλων ῥοὴν ἀναγκάζων πάσχειν τὰ τῆς ζωῆς δένδρα, καθὼς ὁρῶμεν σήμερον· ἀλλὰ πληρέστατος ἔσται ὁ τῆς καρποφορίας τῶν ἁγίων αἰὼν· ἃς [εἰκότως] ἐνταῦθα δωδεκάμηνος προσηγόρευται, διά τε τοῦ παρ' ἡμῖν ἐνιαυτοῦ τὴν συνήθειαν, διά τε τῶν ιβ' ἀποστόλων τὸ κήρυγμα. Δυνατὸν δὲ καὶ ἑτέρως ἅπαν τὸ παρὸν χωρίον ἑρμηνεύεσθαι. Διὰ μὲν τοῦ *ποταμοῦ*, ὡς εἴρηται, τὰ τοῦ ζωοποιοῦ [καὶ παναγίου] πνεύματος χαρίσματα· ἅπερ διὰ τοῦ *θρόνου* τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, δηλαδὴ τῶν χερουβικῶν τάξεων, οἷς ὁ θεὸς ἐνθρονίζεται, εἰς *τὴν πλατεῖαν τῆς πόλεως*, τουτέστι τὴν πολυάνθρωπον τῶν ἁγίων πληθὺν, ἔξεισιν, ὡς ἐκ πρώτων εἰς δεύτερα μετοχετευόμενα, παπὰ τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εὔκοσμον τῶν οὐρανίων ἱεραρχιῶν διάταξιν· *ξύλον* δὲ [τῆς] ζωῆς, τὸν Χριστὸν σημαίνεσθαι, ἐν [τῷ] Πνεύματι τῷ ἁγίῳ καὶ περὶ τὸ πνεῦμα νοούμενον. Ἐν αὐτῷ γὰρ τὸ Πνεῦμα, καὶ [αὐτὸς] ἐν πνεύματι προσκυνεῖται, καί χορηγός ἐστι [τοῦ] Πνεύματος· καὶ διὰ τούτου οἱ ιβ' καρποὶ τοῦ ἀποστολικοῦ χοροῦ, ἀνέκλειπτον [τὸν] τῆς θεογνωσίας καρπὸν ἡμῖν δωρούμενοι· δι' ὧν ὁ ἐνιαυτὸς Κυρίου δεκτὸς, καὶ ἡ ἡμέρα τῆς ἀνταποδόσεως, ἡ τῷ προφήτῃ προκηρυχθεῖσα (α), προκαταγγέλλεται.

Καὶ τὰ φύλλα τοῦ ξύλου, εἰς θεραπείαν τῶν ἐθνῶν.

Φύλλα δὲ *τοῦ ξύλου* [*τῆς ζωῆς*], δηλαδὴ τοῦ Χριστοῦ, αἱ ἐπιπολαιότεραι τῶν θείων κριμάτων νοήσεις· ὥσπερ *καρποὶ* αὐτοῦ, ἡ τελειοτέρα γνῶσις, ἡ ἐν τῷ μέλλοντι ἀποκαλυπτομένη. Ταῦτα τὰ φύλλα, *εἰς θεραπείαν*, δηλαδὴ εἰς τὴν τῆς ἀγνοίας ἀποκάθαρσιν τῶν ὑποδεδηκότων ἐν τῇ τῶν ἀρετῶν ἐργασίᾳ ἐθνῶν, ἔσονται· διότι *ἄλλη δόξα ἡλίου, καὶ ἄλλη* [*δόξα*] *σελήνης, καὶ ἄλλη δόξα ἀστέρων* (β)· καὶ, *πολλαὶ μοναὶ παρὰ τῷ πατρὶ* (γ), τὸν μὲν, ἥττονος· τὸν δὲ, πλείονος ἀξιοῦσαι λαμπρότητος, κατὰ τὴν ἑκάστου ἀναλογίαν τῶν πράξεων. Καὶ ἑτέρως δέ τοῦτο νοητέον. *Ξύλον ζωῆς, ποιοῦν καρποὺς ιβ'*, τὸν ἀποστολικὸν [νοοῦμεν] χορὸν, κατὰ μετοχὴν τοῦ ὄντως ξύλου τῆς ζωῆς, τοῦ διὰ τῆς πρὸς [τὴν] σάρκα κοινωνίας δωρησαμένου ἡμῖν μετοχὴν πρὸς τὴν αὐτοῦ θεότητα. Τούτων καρποί, οἱ ἐν ἑκατὸν καρποφορήσαντες (δ)· *φύλλα* δὲ, οἱ ἐν ἑξήκοντα· οἳ καὶ τοῖς ἐν τριάκοντα τοῖς ἐκ τῶν ἐθνῶν [τὴν] θεραπείαν προσοίσουσι, τοῖς ὑποδεδηκόσι τῶν θείων φώτων τὴν αἴγλην διαπορθμεύοντες, ἅπερ διὰ τῶν καρποφορησάντων ἐν ἑκατὸν ἐδέξαντο. Ὅση γὰρ φύλλων καὶ καρπῶν [ἐστιν ἡ] διαφορὰ, τοσαύτη καὶ τῶν τότε σωζομένων· τῶν μὲν, ἥττον· τῶν δὲ, πλεῖον δοξαζομένων, ὡς γέγραπται. Εἰ δὲ ἐνικῶς τὸ *ξύλον*

(α) Ἡσ. ΞΑ', 2. 3.
(β) Α' Κορ. ΙΕ', 41.
(γ) Ἰωαν. ΙΔ', 2.
(δ) Μαρκ. Δ', 8.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἀντὶ τῶν *ξύλων* γέγραπται, τὴν ἐνιαίαν τῶν ἁγίων δηλοῖ συνδιαίτησιν καὶ ὁμόνοιαν. Ἔθος δὲ τῇ Γραφῇ πολλαχοῦ ἀντὶ ξύλων πολλῶν, ἑνικῶς ξύλον καλεῖν· καὶ ἀνθ' ἑτέρων πληθυντικῶν, ἑνικὰ ὀνόματα [λέγειν.]

3 Καὶ πᾶν κατάθεμα οὐκ ἔσται ἐκεῖ·

Τοῦ ἀναθέματος διττῶς νοουμένου· τοῦ μέν, ὡς τοῖς πολλοῖς ἀϋίκτου, θεῷ δὲ μόνῳ ἀνατιθεμένου· τοῦ δὲ, ὡς πάσῃ τῇ κτίσει καὶ ταῖς ἁγίαις δυνάμεσιν ἀψαύστου, ὡς τῷ διαβόλῳ ἀνακειμένου, διὰ τὴν ἀμιγῆ τοῦ καλοῦ ἀλλοτρίωσιν, τοῦτο ἐνταῦθα κατ' ἐπίτασιν εἰρῆσθαι νομίζομεν *κατάθεμα*. Τῷ γὰρ ὄντι τὸ τοιοῦτον οὐκ *ἀνατίθεται*, ἀλλὰ *κατατίθεται*, τῷ διαβόλῳ ὑποταττόμενον καὶ συγκαταδικαζόμενον· ὅπερ ἐν τῇ πόλει ἐκείνῃ οὐκ ἔσται.

4 Καὶ ὁ θρόνος τοῦ θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται· καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύουσιν αὐτῷ· καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ· καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν.

Οἱ δὲ γινόμενοι, [φησι], θρόνος θεοῦ διὰ τῆς ἐν αὐτοῖς τοῦ δεσπότου ἀναπαύσεως, αὐτοὶ τῆς πόλεως [ἐκείνης] οἰκήτορες ἔσονται, καὶ ὄψονται αὐτὸν πρόσωπον πρὸς πρόσωπον· οὐ δι' αἰνιγμάτων, ἀλλ' ὥσπερ τοῖς ἁγίοις ἀποστόλοις ἐν τῷ [ἁγίῳ] ὄρει τεθέαται, ὥς φησιν ὁ μέγας Διονύσιος. Ἔξουσι δέ, ἀντὶ τοῦ χρυσοῦ πετάλου, οὗ πάλαι ὁ ἀρχιερεὺς ἐφόρει, οὐκ ἐπὶ τῶν μετώπων μόνων τὸ *θεῖον ὄνομα*, ἀλλὰ καὶ ἐν ταῖς καρδίαις ἐγκεχαραγμένον, δηλοῦν τὴν εἰς αὐτὸν παγίαν καὶ πεπαῤῥησιασμένην καὶ ἀμετάθετον ἀγάπην. Ἡ γὰρ ἐπὶ τοῦ μετώπου γραφὴ, τὸν ἐν παῤῥησίᾳ καλλωπισμὸν αἰνίττεται.

5 Καὶ νὺξ οὐκ ἔσται ἐκεῖ· καὶ χρείαν οὐκ ἔχουσι λύχνου, καὶ φωτὸς ἡλίου· ὅτι Κύριος ὁ θεὸς φωτιεῖ αὐτούς· καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰ δὲ *οἱ δίκαιοι*, ὥς φησιν ὁ Χριστὸς, *ὡς ὁ ἥλιος λάμψουσι* (α), πῶς λυχνίας ἢ καὶ ἡλιακοῦ φωτὸς ἔσται χρεία τοῖς τὸν Κύριον τῆς δόξης φωτισμὸν καὶ βασιλέα ἔχουσιν, ὑφ' οὗ [ἀτελευτήτως] εἰς αἰῶνας αἰώνων βασιλευθήσονται, μᾶλλον δὲ αὐτῷ συμβασιλεύσουσι, κατὰ τὸν θεῖον Ἀπόστολον (β);

ΚΕΦΑΛΑΙΟΝ ΞΘ'.

Ὅτι θεὸς τῶν προφητῶν ὁ Χριστὸς, καὶ δεσπότης τῶν ἀγγέλων.

6 Καὶ εἶπέ μοι· Οὗτοι οἱ λόγοι, πιστοὶ καὶ ἀληθινοί.

Πιστοὶ καὶ *ἀληθινοὶ* [*οἱ λόγοι,*] ὡς ἐξ αὐτῆς τῆς ἀληθείας προφερόμενοι. Μέχρι [δὲ] τῶν ἐνταῦθα τὴν τοῦ ἀγγέλου ὀπτασίαν καὶ τῶν τεθεαμένων τὴν ἑρμηνείαν παραθέμενος, λοιπὸν ὡς ἐξ οἰκείου προσώπου φησί·

> Καὶ Κύριος ὁ θεὸς τῶν ἁγίων προφητῶν, ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει.

Εἰ δὲ *θεὸς τῶν προφητῶν* ὁ Χριστὸς, ὃς τὸν ἄγγελον [αὐτοῦ] ἀπέστειλε διὰ μέσου τοῦ τὴν ὀπτασίαν ἑωρακότος μακαρίου Ἰωάννου, δεῖξαι τοῖς δούλοις αὐτοῦ τὰ μέλλοντα γενέσθαι, εὔδηλον, ὅτι συγκαταβατικῶς κατ' οἰκονομίαν τῷ υἱῷ ἐν τοῖς προοιμίοις ἔφη δεδόσθαι διὰ τὴν σάρκα τὴν ἀποκάλυψιν. Ὁ γὰρ τῶν προφητῶν θεὸς, [ὁ] καὶ τοὺς ἀγγέλους ἀποστέλλων, ὡς λειτουργικὰ πνεύματα πρὸς [τοὺς οἰκείους δούλους], τὴν τῶν μελλόντων [αὐτοῖς ἀποδεῖξαι] φανέρωσιν, οὐκ ἂν ἀγνοήσῃ τι, οὔτε τὴν ἡμέραν, οὔτε τὴν ὥραν τῆς συντελείας· ἵνα διὰ τοῦ πατρὸς ἐνταῦθα μάθῃ ὁ πάντας ἔχων τοὺς ἀποκρύφους θησαυ-

(α) Ματθ. ΙΓ', 43. (β) Β' Τιμ. Β', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρους τῆς σοφίας καὶ τῆς γνώσεως, [ὡς θεός.] Οὗπερ νῦν εἰς [τὸ] πρόσωπον ὁ εὐαγγελιστὴς μετέρχεται, [λέγων·]

7 [Καὶ] ἰδοὺ, ἔρχομαι ταχύ· μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου.

Ἔθος γὰρ τοῦτο [καὶ] τοῖς προφήταις, ὡς ἐξ οἰκείου προσώπου τὰ θεῖα χρησμῳδεῖν πανταχοῦ. Τὸ δὲ, *ταχὺ ἔρχομαι*, ἢ δηλοῦντός ἐστι τὴν τοῦ παρόντος καιροῦ βραχύτητα, συγκρίσει τοῦ μέλλοντος, ἢ τῆς ἑκάστου τελευτῆς τὸ ἀθρόον καὶ σύντομον· ἑκάστῳ γὰρ ἀνδρὶ τέλος, ἡ ἐντεῦθεν αὐτοῦ μετάστασις. Ἐπεὶ τοίνυν ἀγνοοῦμεν, ποίαν ὥραν ὁ κλέπτης ἔρχεται, γρηγορεῖν δεῖ, καὶ τὰς ὁσφύας περιεζῶσθαι, καὶ τοὺς λύχνους ἔχειν καιομένους τῆς κατὰ θεὸν πολιτείας, καὶ τοῖς πλησίον φαίνοντας, ἐντετάλμεθα (α). [Διὸ μὴ παυσώμεθα] ἐν συντριμμῷ καρδίας τὸν θεὸν ἱκετεύοντες, ῥυσθῆναι ἐκ πάντων τῶν διωκόντων ἡμᾶς· μήποτε τούτοις ἡττηθέντων ἡμῶν, οἱ τὰς ψυχὰς ἡμῶν παραληψόμενοι [ἄγγελοι,] ἁρπάσωσιν αὐτὰς ἀνευτρεπίστους, [ὡς] μὴ ὄντος λυτρουμένου, μηδὲ σώζοντος (β)· μήποτε δεσμοῖς τῶν χαμερπῶν καὶ γηΐνων πραγμάτων ἡ ἑκάστου [ἡμῶν] ἐμπεπλεγμένη ψυχὴ, καὶ τὸν ἐκ τούτων χωρισμὸν μὴ φέρουσα, εἰκῇ μὲν πρὸς αὐτὰ μεταστρέφηται, καταλεῖψαι δὲ ταῦτα κατεπειγομένη ἀγγελικῇ ἐπιστασίᾳ καὶ θείῳ προστάγματι, ἀνόνητα τοῦ παρῳχηκότος χρόνου θρηνῇ τὴν ἀμέλειαν· ἀλλὰ μᾶλλον ἐνδιαθέτως τὸ Δαυϊτικὸν μελῳδοῦντες λόγιον· *Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου* (γ)· τῆς τούτων τηρήσεως μισθὸν τὴν ἐκ θεοῦ δόξαν λάβωμεν, τὸ, *Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου* (δ)· μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, πρέπει δόξα, τιμὴ, κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(α) Ματθ. ΚΔ', 43. Λουκ. ΙΒ', 35. 39. (β) Ψαλμ. Ζ', 2.
(γ) Ψαλμ. ΡΙΗ', 60. (δ) Ματθ. ΚΕ', 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Ο'.

ΛΟΓΟΣ κδ'.

Περὶ τοῦ ἀξιοπίστου τῶν τεθεαμένων τῷ ἀποστόλῳ.

8 Κἀγὼ Ἰωάννης ὁ ἀκούων καὶ βλέπων ταῦτα· καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα, ἔπεσον προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου, τοῦ δεικνύοντός μοι ταῦτα. 9 Καὶ λέγει μοι· Ὅρα μή· σύνδουλός σου εἰμὶ, καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν, [καὶ] τῶν τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου· τῷ θεῷ προσκύνησον.

Καὶ τοῦτο τῆς ἀποστολικῆς ψυχῆς ἰδίωμα. Ὥσπερ γὰρ ἐν τῷ εὐαγγελίῳ πεποίηκεν, εἰπών· *Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία* [αὐτοῦ (α)·] οὕτω κἀνταῦθα, αὐτήκοος εἶναι καὶ αὐτόπτης τῶν προφητευθέντων ὁμολογήσας, τὰ ἑωραμένα ἐπιστώσατο. Ἔδειξε δὲ καὶ τοῦ τυπώσαντος τὴν ὅρασιν ἀγγέλου τὸ εὐλαβὲς, ὅπως τὴν προσκύνησιν τοῦ συνδούλου οὐ προσήκατο, ἀλλ' εὐγνωμόνως τῷ κοινῷ δεσπότῃ [ταύτην] προσένειμεν.

ΚΕΦΑΛΑΙΟΝ ΟΑ'.

Ὅπως ἐκελεύσθη, μὴ σφραγῖσαι, ἀλλὰ κηρῦξαι τὴν ἀποκάλυψιν.

10 Καὶ λέγει μοι· Μὴ σφραγίσῃς τοὺς λόγους τῆς

(α) Ἰωαν. ΙΘ', 35.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προφητείας τοῦ βιβλίου τούτου· ὅτι ὁ καιρὸς ἐγγύς ἐστιν.

Μέχρι τῶν ἐνταῦθα τὰς ἀγγελικὰς ῥήσεις παραθέμενος, εἰς τὸ δεσποτικὸν ἐντεῦθεν μέτεισι τοῦ Χριστοῦ πρόσωπον, λέγων· *Μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας*· καὶ γὰρ ἀξία ἡ βίβλος τῆς παρὰ τῶν πιστῶν ἀναγνώσεως. Διά τε γὰρ τῆς ἡτοιμασμένης τοῖς ἁμαρτωλοῖς κολάσεως, διά τε τῆς ἐπηγγελμένης τοῖς ἁγίοις ἀναπαύσεως, ὁδηγεῖ πρὸς τὴν ὄντως ζωὴν τοὺς ἐντυγχάνοντας.

11 Ὁ ἀδικῶν, ἀδικησάτω ἔτι· καὶ ὁ ῥυπαρὸς, ῥυπαρευθήτω ἔτι· [καὶ ὁ δίκαιος, δικαιοσύνην ποιησάτω
12 ἔτι· καὶ ὁ ἅγιος, ἁγιασθήτω ἔτι. Καὶ] ἰδοὺ, ἔρχομαι ταχύ· καὶ ὁ μισθός μου μετ' ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον αὐτοῦ ἔσται.

Οὐχ ὡς εἰς ἀδικίαν δὲ ἢ ῥυπαρίαν προτρέπων, τὰ παρατεθέντα εἴρηκε· μὴ γένοιτο! ἀλλ' ὡς τὸ τῆς γνώμης φυλάττων ἀκατανάγκαστον· ὡς ἂν εἴποι· Ἕκαστος τὸ ἀρέσκον αὐτῷ ποιησάτω· οὐ διάζω τὴν προαίρεσιν. Δείξας δὲ ἑκάστῳ ἐπιτηδεύματι πέρας ἀκολουθεῖν κατάλληλον, [φησίν·] Ὅταν ἔρχωμαι ἀποδοῦναι ἑκάστῳ τὰ τῶν πεπραγμένων ἐπίχειρα.

13 Ἐγὼ τὸ Α καὶ τὸ Ω, ἀρχὴ καὶ τέλος, ὁ πρῶτος καὶ ὁ ἔσχατος.

Οὔτε [γὰρ] πρὸ ἐμοῦ, οὔτε μετ' ἐμὲ θεός ἐστι. Τὸ δὲ Α καὶ τὸ Ω, δηλοῖ, ὅτι οὔτε τῆς ἀρχῆς ἔστί [τι] πρεσβύτερον, οὔτε τῆς θείας ἐξουσίας καὶ βασιλείας ἔσται τέλος. Πολλάκις δὲ, ὡς καὶ ἀνωτέρω εἴρηται, Α καὶ Ω ὁ Χριστός· Α μέν, ἤτοι πρῶτος, διὰ τὴν θεότητα· Ω δὲ, ἤτοι ἔσχατος, διὰ τὴν ἀνθρωπότητα.

14 Μακάριοι οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ· ἵνα ἔσαι ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς, καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὄντως δὲ μακαρισμοῦ ἄξιοι οἱ ποιοῦντες τὰς ἐντολὰς τοῦ θεοῦ! Ἐξουσίαν γὰρ ἔξουσιν, ἐν τῇ ἀληκτῳ ζωῇ τῷ ξύλῳ τῆς ζωῆς, Χριστῷ τῷ θεῷ ἡμῶν, ἀναπαύεσθαι, καὶ ἐντρυφᾶν τῇ αὐτοῦ θεωρίᾳ, μηδεμιᾶς παρεμποδιζούσης πονηρᾶς δυνάμεως· καὶ τοῖς ἀποστολικοῖς πυλῶσι, δηλαδὴ τοῖς αὐτῶν διδάγμασιν, εἰς τὴν ἄνω πόλιν διὰ τῆς ἀληθινῆς θύρας εἰσελεύσονται· μὴ ὑπερπηδῶντες ἑτέρωθεν, καθὼς οἱ μισθωτοὶ ποιμένες, ἀλλ' ὑπὸ τοῦ θυρωροῦ τῆς ζωῆς εἰσαγόμενοι (α).

15 Ἔξω οἱ κύνες, καὶ οἱ φαρμακοὶ, καὶ οἱ πόρνοι, καὶ οἱ φονεῖς, καὶ οἱ εἰδωλολάτραι, καὶ πᾶς ὁ φιλῶν καὶ ποιῶν ψεῦδος.

Κύνες δὲ, οὐ μόνον οἱ ἀναιδεῖς καὶ ἄπιστοι, καὶ οἱ ἐν τῇ κατατομῇ κακοὶ ἐργάται, οὓς ὁ ἀπόστολος ἔκλαιεν· ἀλλὰ καὶ οἱ μετὰ τὸ βάπτισμα ἐπιστρέψαντες ἐπὶ τὸν ἴδιον ἔμετον. Διὸ σὺν τοῖς πόρνοις καὶ φονεῦσι καὶ εἰδωλολάτραις τῆς ἄνω ἀλλοτριοῦνται πόλεως.

ΚΕΦΑΛΑΙΟΝ ΟΒ'.

Ὅπως ἡ ἐκκλησία καὶ τὸ ἐν αὐτῇ πνεῦμα προσκαλοῦνται τὴν Χριστοῦ ἔνδοξον ἐπιφάνειαν· καὶ περὶ τῆς ἀρᾶς, ᾗ ὑποβάλλονται οἱ τὴν βίβλον [ταύτην] παραχαράττοντες.

16 Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου, μαρτυρῆσαι ὑμῖν ταῦτα ἐν ταῖς ἐκκλησίαις.

Κἀνταῦθα τὸ δεσποτικὸν τοῦ πεμπομένου τὸν ἄγγελον ἀξίω-

(α) Ἰωαν. Ι, 12 καὶ ἑξ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μα δείκνυται· [τὸ δὲ, *μαρτυρῆσαι*, ἀντὶ τοῦ, διαμαρτύρασθαι, τέθειται.]

Ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος Δαυΐδ.

Ῥίζα δὲ τοῦ Δαυΐδ ὁ Χριστὸς, ὡς θεός· *γένος* δὲ *αὐτοῦ*, ὡς κατὰ σάρκα ἐξ αὐτοῦ βλαστήσας.

[Καὶ] ὁ ἀστὴρ ὁ λαμπρὸς, ὁ πρωϊνός.

Καὶ *ἀστὴρ ὁ λαμπρὸς, ὁ πρωϊνὸς*, ὁ αὐτὸς, ὡς ἐν τῷ πρωΐ ἀνατείλας ἡμῖν τριήμερος· καὶ ἐν τῇ μετὰ τὴν νύκτα τοῦ παρόντος βίου πρωΐᾳ τῆς κοινῆς ἀναστάσεως τοῖς ἁγίοις ἐπιφαννησόμενος, τὴν ἡμέραν ἄζων τὴν ἀτελεύτητον.

17 Καὶ τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσιν· Ἔρχου· καὶ ὁ ἀκούων, εἰπάτω· Ἔρχου.

Ἡ *νύμφη* δὲ, ἤτοι ἡ ἐκκλησία, καὶ τὸ ἐν αὐτῇ πνεῦμα, κράζουσιν ἐν ταῖς καρδίαις ἡμῶν, *Ἀββὰ ὁ Πατὴρ* (*α*), καὶ τὴν τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ παρουσίαν ἐπικαλοῦνται. Καὶ πᾶς δὲ πιστὸς ἀκούων, ἅτε δεδιδαγμένος, *Ἐλθέτω ἡ βασιλεία σου* (*β*), τῷ θεῷ καὶ πατρὶ προσεύχεται.

Καὶ ὁ διψῶν, ἐρχέσθω· ὁ θέλων, λαβέτω ὕδωρ ζωῆς δωρεάν.

Καὶ *ὁ διψῶν ἐρχέσθω*· δίψης γὰρ χρεία ἐν τῷ τῆς ζωῆς πόματι πρὸς βεβαίαν τοῦ κτηθέντος κατάσχεσιν· μάλιστα ὅτι καὶ δῶρον παρέχεται, οὐ τοῖς μηδόλως καμοῦσιν, ἀλλὰ τοῖς οὐκ ἄξια [μὲν] τῆς τοῦ δώρου μεγαλειότητος, μόνην δὲ γνώμην γνησίαν καὶ διάπυρον ἀντὶ χρυσίου καὶ ἀργυρίου, καὶ σωματικὸν πόνον εἰσφέρουσι.

18 Μαρτυρῶ ἐγὼ παντὶ [τῷ] ἀκούοντι τοὺς λόγους

(α) Γαλ. Δ', 6. (β) Ματθ. Ϛ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς προφητείας τοῦ βιβλίου τούτου· Ἐάν τις ἐπιθῇ ἐπ' αὐτά, ἐπιθῇ ἐπ' αὐτὸν ὁ θεὸς τὰς ἑπτὰ πληγὰς τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τούτῳ·
19 καὶ ἐάν τις ἀφέλῃ ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης, ἀφέλοι ὁ θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ βιβλίου τῆς ζωῆς, καὶ ἐκ τῆς πόλεως τῆς ἁγίας, τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ.

Φοβερὰ δὲ ἡ κατὰ τῶν παραχαρακτῶν τῶν θείων Γραφῶν κατάρα· ἐπειδὴ καὶ τολμηρὰ ἡ τούτων προπέτεια, ἀλλοτριῶσαι δυναμένη τοὺς αὐθάδεις τῶν ἀγαθῶν τοῦ αἰῶνος τοῦ μέλλοντος· ὅπερ ἵνα μὴ πάθωμεν, διαμαρτύρεται ἡμῖν τοῖς ἀκούουσι, μήτε προσθεῖναί τι, μήτ' ἀφελεῖν, ἀλλὰ τὰ γραφικὰ ἰδιώματα, τῶν Ἀττικῶν συντάξεων, καὶ τῶν διαλεκτικῶν συλλογισμῶν [ἡγεῖσθαι] ἀξιοπιστότερα καὶ σεμνότερα· ἐπεὶ καὶ ἐν ἐκείνοις πολλά τις εὑρίσκων μὴ κανονιζόμενα, ἐπὶ τὸ ἀξιόπιστον τῶν ἐν αὐτοῖς ποιητῶν καὶ συγγραφέων παραπέμπεται. Ὅσον δὲ τὸ μέσον τῶν παρ' ἡμῖν καὶ ἐκείνοις ἐνδόξων, καὶ τὸ ἐν νῷ λαβεῖν ἀμήχανον. Οἶμαι γὰρ εἶναι πλέον, ἢ ὅσον φῶς σκότους διέστηκε.

20 Λέγει ὁ μαρτυρῶν ταῦτα· Ναὶ ἔρχομαι ταχύ·
21 Ἀμήν· ναὶ ἔρχου, Κύριε Ἰησοῦ Χριστέ. Ἡ χάρις τοῦ Κυρίου [ἡμῶν] Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων. Ἀμήν.

Κἀγὼ δέ, [φησιν], ὁ μαρτυρῶν ταῦτα, λέγω πρὸς σέ, τὴν ζωήν, *Ἔρχομαι*· καὶ αὐτὸς δὲ, *Παραγενοῦ*. Ἢ καὶ ἑτέρως τοῦτο ἐκ προσώπου τοῦ Χριστοῦ εἴρηται· *Ὁ μαρτυρῶν ταῦτα*, δηλαδὴ ὁ μαρτυρόμενος, *ἔρχομαι ταχύ*· ἐκ δὲ τοῦ ἀποστολικοῦ προσώπου, τὸ ἑπόμενον, τὸ, *Ἔρχου, Κύριε Ἰησοῦ Χριστέ*. Περιπόθητος γὰρ τοῖς ἁγίοις ἡ τοῦ Χριστοῦ παρουσία, ὡς τὸν μισθὸν τῶν εἰργασμένων ἀποδώσουσα πολλαπλασίονα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ταῦτα μὲν περὶ τῆς παρούσης βίβλου, ἥτις καὶ ἁγία καὶ θεόπνευστος, πρὸς τὴν μακαρίαν λῆξιν ὁδηγοῦσα τοὺς ἐντυγχάνοντας. Καὶ ἵνα συνελόντες ἐν ὀλίγῳ τὸν πάντα ἐπωφελῆ σκοπὸν αὐτῆς παραθῶμεν, λέγομεν· Διὰ τῶν ἑπτὰ ἐκκλησιῶν ,τὸ ἐν τοῖς πειρασμοῖς ὑπομονητικόν, καὶ [τὸ] ἐν εὐποιΐαις σπουδαῖον, καὶ ἕτερά τινα τῆς ἀρετῆς εἴδη διδασκόμεθα· ἐξ ὧν ἐστι τὸ, τῶν ἐπὶ [τῆς] γῆς πάντων ὑπεραρθέντα, τῷ καθαρῷ τῆς ψυχῆς ὄμματι τὴν θείαν ἐν οὐρανοῖς δόξαν θεάσασθαι· οὐκ αὐτὴν τὴν [θείαν] οὐσίαν, ἀλλὰ τὴν θεϊκὴν ἐμφάνειαν, σχηματιζομένην εἴτε λίθων πολυτιμήτων ποικιλίᾳ, εἴτε πολυχρωμάτου ἰδέᾳ ἴριδος, εἴτέ τισι τοιούτοις θείων οἰκονομιῶν ἐνδάλμασιν. [Ἔτι δὲ] καὶ τὰς περὶ αὐτὴν ἁγίας ἀσωμάτους δυνάμεις [μανθάνομεν,] καὶ τοὺς μετὰ σώματος τῷ Κυρίῳ εὐαρεστήσαντας· βροντάς τε καὶ ἀστραπὰς προηγουμένας τῆς θείας παρουσίας [κατανοοῦμεν.] Καὶ τῆς βίβλου [δὲ] τῶν θείων κριμάτων καταλαβεῖν τὸ ἀκατάληπτον, τῆς κατασημανθείσης ταῖς ἑπτὰ σφραγῖσι τοῦ πνεύματος, καὶ διὰ τοῦ ἀμνοῦ τοῦ θεοῦ τὴν λύσιν δεξαμένης, τῶν ἀπὸ τῆς αὐτοῦ παρουσίας μέχρι [τῆς] συντελείας γεγενημένων, περί τε τῆς τῶν μαρτύρων ἀνδραγαθίας [διδασκόμεθα,] καὶ τῆς τῶν ἀπίστων διπλῆς κολάσεως· τῆς τε τοῦ εὐαγγελικοῦ σπόρου καρποφορίας, καὶ τῆς τῶν ὀλιγοπίστων καὶ ἀνάνδρων ἐκπτώσεως· ὅπως τε οἱ ἅγιοι τῆς [τοῦ] Χριστοῦ δευτέρας παρουσίας ἐφίενται· τῆς τε πρὸ [τῆς] τοῦ Ἀντιχρίστου τῶν κακῶν ἐπιφορᾶς, καὶ τῶν ὑπ' αὐτοῦ κατὰ χριστιανῶν τολμωμένων. Πρὸς τούτοις δὲ μαθεῖν ἐστιν ἐντεῦθεν, ὅπως εἰσὶ τῷ θεῷ τίμιοι οἱ ἅγιοι, ὡς ὑπερτίθεσθαι τὴν [κατὰ] τῶν ἀσεβῶν κόλασιν, πρὶν οὗτοι διὰ [τῆς] σφραγῖδος τοῖς τιμωροῖς ἀγγέλοις γένωνται γνώριμοι. Καὶ τὰς ἑπτὰ δὲ πληγὰς ἐντεῦθεν μανθάνομεν τοῖς ἐπὶ γῆς ἐν τοῖς ἐσχάτοις [καιροῖς] ἐπάγεσθαι· ὡς ἂν τῷ τούτων μεγέθει πρὸς ἐπιστροφὴν ἴδωμεν, καὶ ἱκεσίαν τοῦ θεοῦ, τούτων μὴ πειραθῆναι· καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ τῶν ἀγγέλων δὲ φιλάνθρωπον, διὰ τοῦ τὸ εὐαγγέλιον κατέχοντος, καὶ τοῖς ἐν [τῇ] γῇ κηρύττοντος, δείκνυται· καὶ τῶν ἐπὶ συντελείᾳ ἐλευσομένων ἁγίων ἐλέγξαι τὸν ψευδόχριστον, τὸ καρτερὸν καὶ ἀνδρεῖον τῆς ψυχῆς παράστημα. [Ὡσαύτως δὲ δείκνυται] καὶ ἡ τῆς Ἱερουσαλὴμ διαίρεσις, καὶ ὁ τῶν ἐθνικῶν πόλεων ἀφανισμός, καὶ ἡ ἐπὶ τούτοις εὐχαριστία τῶν ἄνω δυνάμεων· καὶ ὁ κατὰ τῆς ἐκκλησίας δὲ διωγμός, καὶ ἡ τοῦ διαβόλου κατάπτωσις, καὶ ἡ τοῦ Ἀντιχρίστου παρουσία, καὶ ἡ τοῦ Ψευδοπροφήτου ἀπάτη, καὶ ἡ τῶν σωζομένων πολυάριθμος πληθὺς [ἐντεῦθεν δηλοῦται,] καὶ ἡ [τῆς] Βαβυλῶνος πτῶσις, καὶ ὁ τῆς παγκοσμίου ἄλωνος ἀμητὸς, καὶ τῶν τῆς πικρίας βοτρύων ὁ τρυγητὸς, καὶ τῶν ἁγίων ἡ καθαρωτάτη λῆξις, ὑαλίνῃ θαλάσσῃ ἀφωμοιωμένη, καὶ ἡ ἐπταφιάλος τῆς θείας ὀργῆς χύσις τοῖς ἐν γῇ καὶ θαλάσσῃ [καὶ ποταμοῖς,] καὶ λοιποῖς στοιχείοις, διὰ τὴν τῶν ἀνθρώπων πονηρίαν τὰς κακώσεις ἐπάγουσα, καὶ τὸν μὲν τοῦ θηρίου θρόνον σκοτοῦσα, ὁδοποιοῦσα δὲ τοῖς τοῦ διαβόλου ὑπασπισταῖς τὴν διὰ τοῦ Εὐφράτου πορείαν, καὶ τὴν αὐτῶν ἀσθένειαν ἀπελέγχουσα, καὶ τὸν παντελῆ σεισμὸν τῆς τῶν παρόντων μεταθέσεως τῷ κόσμῳ ἐπάγουσα· ὅτε ἡ πόρνη πόλις καὶ θηριώδης, καὶ τῷ διαβόλῳ ἐπαναπαυομένη, τὴν πρέπουσαν αὐτῇ καταστροφὴν δέξεται. Μεθ' ἣν ἐκ μέν τῶν ὑπερκοσμίων δυνάμεων ὑμνεῖται θεὸς, ἡ δὲ ἐκκλησία, ἡ ἄνω Ἱερουσαλὴμ, τῷ Χριστῷ συνάπτεται πρὸς ἀκριβεστάτην ἕνωσιν, ἡ δὲ τῆς ὀργῆς πατεῖται ληνός· τοῦ δὲ νοητοῦ δείπνου, διὰ τῆς τῶν γηΐνων ἐκλείψεως μετέχουσιν οἱ ἄγγελοι καὶ οἱ εἰσάγγελοι ἄνθρωποι, τοῦ Ἀντιχρίστου καὶ τοῦ ὑπασπιστοῦ αὐτοῦ τῇ γεέννῃ παραδιδομένων. Ἐντεῦθέν ἐστι καὶ τὸν τοῦ διαβόλου δεσμὸν, καὶ τὴν πρόσκαιρον αὐτοῦ λύσιν μαθεῖν, καὶ τὴν ἐκπομπὴν τὴν εἰς ἀπώλειαν, καὶ τῶν [τῷ] Χριστῷ συμβασιλευόντων ἁγίων μαρτύρων πρὸ τῆς τοῦ Ἀντιχρίστου παρουσίας τὴν μακαριότητα· μεθ' ἣν πρὸς ὀλίγον λυθεὶς ὁ διάβολος, καὶ τὸν Γὼγ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ [τὸν] Μαγὼγ ταράξας, σὺν αὐτοῖς κολασθήσεται, ὅταν [καὶ] τὰ βιβλία τῶν ἑκάστῳ πεπραγμένων, καὶ ἡ βίβλος τῆς ζωῆς ἀνοιχθῶσι, καὶ οἱ μὲν τοῦ δευτέρου θανάτου τύχωσιν, οἱ δὲ τῆς ἄνω Ἱερουσαλὴμ, καὶ τῆς Χριστοῦ νυμφεύσεως ἀξιωθήσονται. Ἐκ ταύτης τῆς θείας βίβλου, καὶ τὸ τῆς ἄνω πόλεως διάστημα, σὺν τείχει, καὶ πυλεῶσι, καὶ θεμελίοις, ὡς ἦν δυνατὸν, ὑπὸ τοῦ ἀγγέλου μανθάνομεν, καὶ τὸν ἐκεῖθεν θεῖον ποταμὸν τοῦ πνεύματος ἐκπορευόμενον· ὅτι τε λόγος οὐδεὶς παραστῆσαι τῶν ἄνω τὴν εὐπρέπειαν δύναται, ἢ τὴν δόξαν τὴν ἀπέραντον. Εἰς ἣν ἡμᾶς προτρέπων [ὁ θεῖος Θεολόγος] ἐντέλλεται, λέγειν· *Ἔρχου*, δηλαδὴ ὁ ταῦτα παρέξων, ἃ τοῖς ἁγίοις ἡτοίμασας. Ὧν ἐφιεμένους ἡμᾶς τῆς θέας καὶ τῆς ἀπολαύσεως, γένοιτο διαπύρῳ πόθῳ τῆς τῶν θείων ἐντολῶν τηρήσεως ταῦτα κτήσασθαι ἐν μακροθυμίᾳ, καὶ πραότητι, καὶ ταπεινοφροσύνῃ, καὶ καρδίας καθαρότητι· ἐξ ἧς ἀρέμβαστος καὶ ἀθόλωτος προσευχὴ πίκτεται, γυμνὸν πάσης ὑλικῆς ἐννοίας νοῦν παριστᾶσα τῷ τῶν κρυφίων ἐπόπτῃ Θεῷ, δαιμονικαῖς [τε] ἀπάταις καὶ προσβολαῖς ἀδιάφθορον· καὶ γὰρ ἐφίεται ὁ ἀπατεὼν ἐχθρὸς ἐν ταῖς πρὸς Θεὸν τῆς καρδίας ἐντεύξεσι, μοιχικῶς αὐτῇ μίγνυσθαι, φθοροποιὰ ἐπισπείρων σπέρματα, τῆς θείας αὐτὴν ἀποσπῶντα ἑνώσεως· ἵνα μὴ ἐν τῇ μελέτῃ αὐτῆς ἐκκαυθῇ πῦρ ἀναλίσκον τὰ αὐτοῦ μηχανήματα· καὶ γὰρ *ὁ θεὸς ἡμῶν, πῦρ καταναλίσκον* (α)· καὶ τὴν καθαρῶς καὶ ἀθολώτως αὐτῷ προσομιλοῦσαν ψυχὴν, κἂν ἡ κατεψυγμένη ταῖς ἁμαρτίαις, θερμὴν καὶ [παντὸς] πυρὸς καυστικοῦ γόνιμον ἀπεργάζεται· καθάπερ καὶ ὁ ἥλιος, [σφοδρῶς] ἐπιλάμπων σκεύει ὑαλίνῳ, πεπληρωμένῳ ὕδατος, πῦρ ἐκεῖθεν ἐξάγει κατά τινα ἀνάζεσιν καὶ ἀνάκλασιν· εἴγε καὶ ἡμεῖς, καθαρὸν τὸν ναὸν τοῦ πνεύματος ὡς ὕαλον, ἀλλὰ μὴ πήλινον ἢ ὀστράκινον, καὶ τῆς θείας ἀκτῖνος ἀνε-

(α) Ἑβρ. ΙΒ', 29.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πίδεκτον, τῷ ἡλίῳ τῆς δικαιοσύνης ἐπιδείξομεν· ὃς, πάντας ἀνθρώπους θέλων σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν (α), πᾶσιν ἐπιλάμπει τῆς οἰκείας αἴγλης τὴν χάριν ἀκώλυτον· μετέχεται δὲ παρ' ἑκάστου πρὸς τὸ μέτρον τῆς τῶν νοητῶν ὀφθαλμῶν καθαρότητος· ἣν εἰλικρινῆ κτήσασθαι ἡμᾶς ὁ πανελεήμων καταξιώσαι, ὁ σαρκὶ παθὼν δι' ἡμᾶς Χριστὸς, ὁ θεὸς ἡμῶν. Ὧ πρέπει πᾶσα δοξολογία, τιμὴ, καὶ προσκύνησις, ἅμα τῷ Πατρὶ, καὶ τῷ ζωοποιῷ [καὶ ἁγίῳ] Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(α) Α' Τιμ. Β', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΣΥΝΔΡΟΜΗΤΩΝ.

Α'. ΟΙ ΕΝ ΕΛΛΑΔΙ.

ΟΙ ΕΝ ΑΘΗΝΑΙΣ.

	Σώμ.
Η κυβερνησις της Α. Μ.	100
Ὁ πανιερώτατος ἐπίσκοπος Εὐβοίας Κύριος Νεόφυτος, πρόεδρος τῆς ἱερᾶς Συνόδου	5
Ὁ » » πρώην Σάμου Κύριος Κύριλλος, μέλος τῆς ἱερᾶς Συνόδου.	1
Ὁ » » πρώην Ἠλείας Κύριος Ἰωνᾶς, μέλος τῆς ἱερᾶς Συνόδου.	1
Ὁ » » ἐπίσκοπος Ἀττικῆς Κύριος Νεόφυτος Μεταξᾶς, μέλος τῆς ἱερᾶς Συνόδου. . . .	1
Ὁ » » ἐπίσκοπος Τριφυλίας Κύριος Παΐσιος, μέλος τῆς ἱερᾶς Συνόδου.	1
Ὁ πρωθυπουργὸς Κύριος Ἰωάννης Κωλέττης	2
Ὁ ἐν Ἑλλάδι πρέσβυς τῆς Τουρκίας Κύριος Κωνσταντῖνος Μουσοῦρος	1
Ο Κύριος Α. Μαυροκορδάτος	1
Ὁ γερουσιαστὴς Κύριος Π. Νοταρᾶς.	1
Ὁ γερουσιαστὴς Κύριος Σ. Τρικούπης	1
Ὁ γερουσιαστὴς Κύριος Β. Βουδούρης.	1
Ὁ γερουσιαστὴς Κύριος Α. Λογοθέτης Σάμιος	1
Ὁ γερουσιαστὴς Κύριος Σπυρίδων Καλογερόπουλος . . .	1
Ὁ γερουσιαστὴς Κύριος Ν. Πρασακάκης.	1
Ὁ γερουσιαστὴς Κύριος Ἰ. Θεοτόκης	1
Ὁ γερουσιαστὴς Κύριος Δ. Μανσόλας.	1
Ὁ γερουσιαστὴς Κύριος Γ. Μ. Ἀντωνόπουλος	1
Ὁ πανσιώτατος ἀρχιμανδρίτης καὶ καθηγητὴς τῆς θεολογίας Κύριος Μ. Ἀποστολίδης. . . .	1
Ὁ » » ἀρχιμανδρ. Κύρ. Συμεὼν Μαρμαροτούρης.	
Ὁ » » πρωτοσύγκελλος Κύριος Χ. Κωνυφάος .	1
Ὁ » » πρωτοσύγκελλος Κύριος Α. Φραντζῆς .	1
Ὁ » » πρωτοσύγκελλος Κύριος Ἱεράθεος Ἀθανασόπουλος.	1
Ὁ » » πρωτοσύγκελλος Κύριος Θεοδώρητος Μαρ-	

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

		Σώμ.
	μαρᾶς	1
Ὁ πανοσιώτατος	ἱερομόναχος καὶ ἱεροκήρυξ Κύριος Καλλίνικος Καστόρχης.	1
Ὁ » »	ἱερομ. Κύριος Ἰωσὴφ Κωνσταντινίδης .	1
Ὁ ἐλλογιμώτατος	ἀρχιδιάκονος Κύριος Ζ. Μαθᾶς . . .	1
Ὁ » »	ἀρχιδιάκονος Κύριος Ν. Νικητόπλος . .	1
Ὁ » »	ἱεροδ. Κύριος Φιλόθεος Οἰκονομίδης, Β' Γραμματεὺς παρὰ τῇ ἱερᾷ Συνόδῳ	1
Ὁ » »	ἱεροδιάκονος Κύριος Θ. Σιατιστεύς . .	1
Ὁ αἰδεσιμώτατος	πρεσβύτερος καὶ οἰκονόμος Ἀθηνῶν Κύριος Γεώργιος.	1
Ὁ » »	πρεσβύτερος καὶ πρωτόπαπας Κύριος Βασίλειος.	1
Ὁ » »	πρεσβύτερος καὶ σακελλάριος Κύριος Σταμάτιος.	1
Ὁ » »	πρεσβύτερος Κύριος Κωνσαντῖνος Ἀδριανοῦ.	1
Ὁ » »	πρεσβύτερος Κύριος Ἰσίδωρος Κολιάκιος.	
Ὁ Πανοσιώτατος	ἱερομόναχος καὶ πνευματικὸς Κύριος Δαμασκηνός.	1
Ὁ » »	ἱερομόναχος Κύριος Ἀγαθάγγελος Δαμπύρης.	1
Ὁ » »	καὶ πνευματικὸς Κύριος Ἀμβρόσιος Χελιδόνης	1
Ὁ » »	Κύριος Διονύσιος Χουντουμάδης . . .	1
Ὁ » »	Κύριος Ἰγνάτιος Ἁγιοταφείτης . . .	1
Ὁ » »	καὶ ἡγούμενος τῆς ἱερᾶς μονῆς Πετράκη Κύριος Ἀθανάσιος.	2
Ὁ » »	καὶ ἡγούμενος τῆς ἱερᾶς μονῆς Πεντέλης Κύριος Κύριλλος Δέγλερης	1
Ὁ ὁσιώτατος	ἱεροδ. καὶ προηγούμενος τῆς αὐτῆς μονῆς Κύριος Νεόφυτος Δέγλερης	1
Ὁ » »	καὶ ἡγούμενος Κύριος Γαβριὴλ Ἀναγασίου.	1
Ὁ πανοσιώτατος	ἱερομ. καὶ ἡγούμενος τῆς ἱερᾶς μονῆς τοῦ ἁγίου Μελετίου Κύριος Μελέτιος . . .	1
Ὁ » »	Κύριος Ἰάκωβος	1
Ὁ » »	καὶ ἡγούμενος τῆς ἱερᾶς μονῆς τῶν Κλειστῶν Κύριος Δανιὴλ	1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

Ὁ » » τῆς αὐτῆς μονῆς Κύριος Ἀνανίας Νικολάου Γερίκης 1
Ὁ πανοσιώτατος ἡγούμενος τῆς ἱερᾶς μονῆς Καλολιβαδίου Κύριος Συμεών 1
Ὁ » » ἀρχιμανδρίτης Κύριος Ν. Ῥωμανίδης . 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Ἠλίας Γ. Λήτσικας. 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Μητροφάνης Οἰκονομίδης. 1
Κύριος Διονύσιος Σασανᾶς 1
Ὁ » » ἱερομ. Κύριος Δανιὴλ Γ. Πετρούλιας. . 1
Ὁ ἐλλογιμώτατος ἱεροδ. Κύριος Κύριλλος Θ. Χαιρωνίδης. 1
Ὁ » » » » Κύριος Δοσίθεος Ἀσημακίδης. . 1
Ὁ » » » » Κύριος Ἀμφιλόχιος Γαρδέλης . 1
Ὁ » » ἱεροδ. Κύριος Γρηγ. Ἀγαθόπουλος . . 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Ἰωακεὶμ Μερσιάδης Σάμιος 1
Ὁ » » » » Κύριος Νάρκισσος Μορφινός, διδάσκαλος τανῦν ἐν Ἰωαννίνοις . 1
Ὁ ἐλλογιμώτατος ἱεροδ. Κύριος Νεόφυτος Πατρεύς, διδάσκαλος τανῦν ἐν Κωνσταντινουπόλει 1
Ὁ » » » » Κύριος Ἰωσὴφ Μαῦρος . . . 1
Ὁ » » » » Κύριος Νικηφόρος Παυλίδης, Μιτυληναῖος. 1
Ὁ » » » » Κύριος Καλλίνικος Λαμβδανίτης 1
Ὁ Πανοσιώτατος ἱερομ. Κύριος Θεοδώρητος Κτενᾶς, διδάσκαλος τῆς ἐν Πειραιεῖ στρατιωτικῆς σχολῆς 1
Ὁ » » » » καὶ ἀρχιμανδρίτης Κύριος Καλλίνικος Σταματιάδης Θάσιος, τανῦν διδάσκαλος ἐν ἁγίῳ Ὄρει. 1
Ὁ Βουλευτὴς Μαντινείας Κύριος Ῥῆγας Παλαμήδης . . 1
Ὁ Βουλευτὴς Σίφνου Κύριος Κ. Προβελέγιος 1
Ὁ Βουλευτὴς Μεθώνης Κύριος Μ. Σχινᾶς. 1
Ὁ παρὰ τῷ ἐπὶ τῶν ἐκκλησιαστικῶν κ. τ. λ. ὑπουργείῳ ὑπουργικὸς σύμβουλος Κύριος Ἰ. Νικολαΐδης Λεβαδεύς. 1
Ὁ παρὰ τῷ ἐπὶ τῶν ἐκκλησιαστικῶν κ. τ. λ. ὑπουργείῳ ὑπουργικὸς γραμματεὺς Κύριος Μ. Καλλιφρονᾶς 2

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

	Σώμ.
Ἡ Ῥιζάρειος Σχολὴ διὰ τοῦ συμβουλίου αὐτῆς.	3
Ὁ καθηγητὴς τῆς θεολογίας Κύριος Κ. Κοντογόνης . .	1
Ὁ καθηγητὴς τῆς ἱστορίας Κύριος Κ. Δ. Σχινᾶς. . . .	1
Ὁ Γυμνασιάρχης Κύριος Γ. Γενναδίος.	1
Ὁ Ἀρεοπαγείτης Κύριος Ἰωάννης Μαυρομμάτης	1
Ὁ Κύριος Μ. Κασσιέρης, ἀντεισαγγελεὺς παρὰ τῷ Ἀρειοπάγῳ	1
Ὁ Ἐφέτης Κύριος Γ. Μ. Καραμάνος	1
Ὁ ἐντιμότατος Κύριος Ἀνέστης Χατζόπουλος	3
Ὁ Κύριος Δ. Γ. Σοῦτσος.	1
Ὁ ἐντιμότατος Κύριος Σ. Δ. Ἀγέλαστος	1
Ὁ ἐντιμότατος Κύριος Λουκᾶς Ῥάλλης ἐν Πειραιεῖ . . .	1
Ὁ Κύριος Κ. Ῥάμφος, δικηγόρος	1
Ὁ Κύριος Μ. Ποτλῆς, δικηγόρος	1
Ὁ Κύριος Κ. Πλατὺς, δικηγόρος	1
Ὁ ἰατρὸς Κύριος Ἰ. Θεοφιλᾶς	1
Ὁ Κύριος Ν. Θεοχάρης	1
Ὁ Κύριος Ν. Ζαχαρίτσας.	1
Ὁ Κύριος Β. Φώτιος	1
Ὁ Κύριος Γ. Κωνσταντινίδης, Κύπριος	1
Ὁ Κύριος Δ. Πανταζὴς, Ἀθηναῖος	1
Ὁ ἰατρὸς τῆς Α. Μ. Κύριος B. Roezer.	2
Ὁ Κύριος Ν. Ἀργυριάδης, διδάσκαλος τανῦν ἐν Μιτυλήνῃ.	1
Ὁ τυπογράφος καὶ βιβλιοπώλης Κύριος Ἀ. Κορομηλάς. .	2
Ὁ Κύριος Ἰωάννης Δ. Σοφιανός.	1
Ὁ Κύριος Ἀναστάσιος Κωνσταντινίδης Καλογερόπουλος Ἠπειρώτης, ἐξ ἐπαρχίας Βελᾶς . . .	1
Ὁ Κύριος Δ. Ματσανὸς Ἠπειρώτης	1
Ὁ Κύριος Κοσμᾶς Σιατήρης Ἠπειρώτης	1
Ὁ Κύριος Δημήτριος Ἰ. Κούμπης Ἠπειρώτης	1
Ὁ Κύριος Ἀθαν. Γ. Ζωσιμᾶς, Βιβλιοδέτης, Ἠπειρώτης .	1
Ὁ Κύριος Χρῆστος Κατσανδρὴς, Ἀθηναῖος.	1
Ὁ Κύριος Ὅμηρος Ἰ. Κλάδος	1

Ὁ αἰδεσιμώτατος ἱερεὺς τῆς Α. Μ. τῆς Βασιλίσσης Δόκτωρ Λύθ	1
Ὁ » » πρεσβύτερος Κύριος I. E. Hill . . .	1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

Ὁ μακαρίτης πρεσβύτερος Ἐ. Δ. Λείβς. 1
Ὁ αἰδεσιμώτατος Κύριος Ἰωνᾶς King 3
Ὁ » » Κύριος Ὁ. Τ. Λώβ, ἐν Προνοίᾳ (Providence) τῶν ὁμοσπόνδων ἐπικρατειῶν τῆς ἀρκτώας Ἀμερικῆς 1
Ὁ » » Κύριος Ρ. Φ. Βοῦελ, ἐν Πειραιεῖ . . . 1
Ὁ » » Κύριος Ν. Βενιαμίν 1

ΟΙ ΕΚ ΘΗΒΩΝ

Ὁ κατὰ τὴν ἐπισκοπὴν Βοιωτίας πανιερώτατος μητροπολίτης Κύριος Παΐσιος 1
Ἡ ἱερὰ μονὴ τοῦ ὁσίου Λουκᾶ 1
Ὁ πανοσιώτατος ἡγούμενος αὐτῆς Κύριος Εὐγένιος . . . 1
Ἡ ἱερὰ μονὴ Δομποῦ 1
Ἡ ἱερὰ μονὴ τῆς Ἱερουσαλήμ 1
Ἡ ἱερὰ μονὴ Δαδίου 1
Ἡ « « Σκριποῦς 1
Ἡ « « τῶν Ταξιαρχῶν 1
Ἡ « « τῆς Μακαριωτίσσης 1
Ἡ « « τοῦ Σαγματᾶ 1
Ἡ « « τῆς ἁγίας Πελαγίας 1
Ἡ « « τοῦ ἁγίου Γεωργίου Γρανίτσας 1
Ἡ « « τῆς ἁγίας Τριάδος 1
Ὁ Β. ταμίας Κύριος Π. Δαμίλος. 1

ΟΙ ΕΚ ΛΕΒΑΔΕΙΑΣ

Ὁ Βουλευτὴς Κύριος Ἀ. Γεωργαντάς 1
Ὁ ἐλλογιμώτατος διδάσκαλος Κύριος Ἰωσὴφ Δισυμίτης . 1
Ὁ Κύριος Φίλων Ἰ. Φίλωνος 1
Ὁ ἰατρὸς Κύριος Ν. Καλογερόπουλος 1
Ὁ Κύριος Λουκᾶς Νάκος 1
Ὁ Κύριος Δ. Σκοτίδης 1

ΟΙ ΕΚ ΛΟΚΡΙΔΟΣ

Ὁ κατὰ τὴν ἐπισκοπὴν Λοκρίδος πανιερώτατος μητροπολίτης Κύριος Ἀγαθάγγελος 2

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

Ὁ αὐτάδελφος αὐτοῦ Κύριος Χριστόδουλος Μυριανθούσης . 1
Ὁ ἡγούμενος τῆς κατὰ τὸ Γράδον μονῆς τοῦ ἁγίου Κωνσταντίνου τοῦ Μεγάλου Κύριος Γρηγόριος . . . 1
Ἡ ἱερὰ μονὴ τοῦ ἁγίου Γεωργίου ἐν Μαλεσσίνῃ 1

ΟΙ ΕΞ ΕΥΒΟΙΑΣ.

Ὁ πανοσιώτατος ἀρχιμανδρίτης παρὰ τῷ Δ' τάγματι (τῶν ἀκροβολιστῶν) Κύριος Διονύσιος Κοροβίνας. 1
Ὁ πανοσιώτατος ἱερεὺς τοῦ τάγματος Κύρ. Ἄνθιμος Ἀδάμ. 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Παΐσιος Γ. Μακεδὼν, Ζωγράφος. 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Ἀθανάσιος Χῖος. . . . 1
Ὁ Κύριος Νικόλαος Λ. Ἐπισκόπου. 1
Ὁ Κύριος Ἀμβρόσιος Σ. Νεγροπόντης. 1

Ὁ πανοσιώτατος ἱερομ. Κύριος Ἀβράμιος Ἀναργύρου Θεσσαλονικεύς. 1
Ἡ ἱερὰ μονὴ τοῦ ἁγίου Γεωργίου (Ἥλια). 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Ἱερεμίας Ἀργυρίου . 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Κωνστάντιος Πανταζῆ Ἡλιώτης. 1
Ὁ πανοσιώτατος ἱερομ. Ἀγάπιος Νικολάου Ἡλιώτης. . . 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Ἀρσένιος Κωνσταντίνου Ἡλιώτης 1
Ὁ Κύριος Κωνσταντῖνος Σακελλίου Χαμακιώτης, διδάσκαλος εἰς Ἄγιον. 1
Ὁ Κύριος Ἀναγνώστης Γυαλιὰς ἀπὸ χωρίου Ἅγιος. . . 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Δημήτριος Χωρῆτος. 1
Ἡ ἱερὰ μονὴ τοῦ ὁσίου Δαυὶδ (τοῦ Γέροντος). 1
Ἡ » » τοῦ ἁγίου Νικολάου (Γαλατάκι). 1
Ἡ » » τῆς Θεοτόκου (Μακρυμάλης). 1
Ἡ » » τῆς Θεοτόκου (Χιλιαδοῦς). 1
Ἡ » » τοῦ ἁγίου Δημητρίου (Βάθειας). 1
Ἡ » » τῆς μεταμορφώσεως τοῦ Σωτῆρος ἐν Καρυσίᾳ. 1
Ἡ » » τοῦ Μάντσαρη 1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

Ἡ ἱερὰ μονὴ τοῦ Κλιβάνου 1
Ἡ » » τῶν Λεύκων 1
Ἡ » » τῆς Καρύας 1

ΟΙ ΕΚ ΦΩΚΙΔΟΣ.

Ὁ ὑποστράτηγος Κύριος Ν. Πανοριάς. 1
Ὁ πανοσιώτατος πρωτοσύγκελλος Κύριος Διονύσιος Δεσποτόπουλος. 1
Ὁ πανοσιώτατος ἡγούμενος τῆς ἱερᾶς μονῆς τοῦ προφήτου Ἡλιοῦ Κύριος Βενιαμίν. 1
Ἡ ἱερὰ μονὴ τοῦ τιμίου Προδρόμου ἐν Δεσφίνῃ. . . . 1
Ὁ ἐπίτροπος τῆς ἐν Γαλαξιδίῳ ἐκκλησίας τοῦ ἁγίου Νικολάου Κύριος Ἠλίας Κανάτας 1
Ὁ δημοδιδάσκαλος Ἀμφίσσης Κύριος Χριστόφορος Ἀλεξάνδρου. 1

ΟΙ ΕΚ ΦΘΙΩΤΙΔΟΣ

Ὁ κατὰ τὴν ἐπισκοπὴν Φθιώτιδος πανιερώτατος μητροπολίτης Κύριος Ἰάκωβος 1
Ὁ πανοσιώτατος ἱερομόναχος καὶ ἡγούμενος τῆς ἱερᾶς μονῆς Ἀγάθωνης Κύριος Γρηγόριος 1
Ὁ πανοσιώτατος ἱερομόναχος καὶ ἡγούμενος τῆς ἱερᾶς μονῆς Ἀντινίτσης Κύριος Θεοφάνης Κωνσταντίνου . 1

Ὁ Βουλευτὴς Κύριος Δ. Χατζίσκου 1
Οἱ ἐντιμότατοι αὐτάδελφοι Κεμπρέκου 1
Οἱ ἐντιμότατοι αὐτάδελφοι Τσαλλέοι 1
Ὁ Κύριος Θ. Περραιβός 1
Ὁ Κύριος Πετράκης Χατζῆ Πέτρου διὰ τὸ ἐν Ὑπάτῃ Ἑλλ. Σχολεῖον 1
Ὁ Κύριος Θεόδωρος Χ. Κωστόπουλος διὰ τὸ ἐν Λαμίᾳ Ἑλλ. Σχολεῖον 1
Ὁ Κύριος Κυριακὸς Τασσίκας 1

Ὁ Κύριος Καλαμάρας Τσουκαλᾶς, ἐν Βαρμπώπῃ . . . 1
Ὁ Κύριος Κωνσταντῖνος Γεωργιάδης, ἐν Σούρπῃ 1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

	Σώμ.
Ὁ ὁσιώτατος μοναχὸς Κύριος Ἀγάπιος, ἐν Χαμάκῳ . .	1
Ὁ ἱερ. Ἀπόστολος, ἐν Σούρπῃ	1
Ὁ Βουλευτὴς Κύριος Γεώργιος Γριζάνος, ἐν Ἀμαλιοπόλει	1
Ὁ Κύριος Γεώργιος Καλαμίδας, ἐν Ἀμαλιοπόλει . . .	1
Ὁ Κύριος Ἰωάννης Μπαρούτζκος	1
Ὁ ἱερὸς ναὸς τῆς Ἀμαλιοπόλεως	1
Ὁ Κύριος Χρῆστος Ζωγραφίδης, ἐν Μαυρίλῳ	1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Ἰωάννης Κωνσταντίνου, ἐν Μερκάδᾳ	1
Ἡ ἐκκλησία τοῦ χωρίου Ἀγᾶ	1
Ὁ Κύριος Γεώργιος Φράγκου, ἐν Στυλίδι.	1
Ἡ ἐν Γαρδικίῳ ἐκκλησία	1
Ἡ ἐν Νεοχωρίῳ ἐκκλησία.	1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Γεώργιος Καλλινίκου, ἐν Γυφτοχωρίῳ	1
Ἡ ἐν Γαρδικίῳ, τοῦ δήμου Ὁμιλαίων, ἐκκλησία. . . .	1
Ὁ Κύριος Γεώργιος Καλτζᾶς διὰ τὴν ἐκκλησίαν Πουγκάκια.	1

ΟΙ ΕΞ ΑΙΤΩΛΙΑΣ ΚΑΙ ΑΚΑΡΝΑΝΙΑΣ.

Ὁ κατὰ τὴν ἐπισκοπὴν Ἀκαρνανίας καὶ Αἰτωλίας πανιερώτατος μητροπολίτης Κύριος Ἱεράθεος	2
Ὁ ἐλλογιμώτατος ἀρχιδιάκονος Κύρ. Γεράσιμος Ζαλογγίτης	1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος καὶ σακελλάριος Κύριος Ἰωάννης Οἰκονομόπουλος	1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Δημήτριος Ἀμπελαγιάννης	1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Ἰωάννης Μακούλης.	1
Ὁ πανοσιώτατος ἱερομόναχος καὶ ἡγούμενος τῆς ἐν Ἀγγελοκάστρῳ ἱερᾶς μονῆς τοῦ Παντοκράτορος Κύριος Ἰωαννίκιος.	1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Ἰγνάτιος Μπούτης .	1
Ὁ πανοσιώτατος ἱερομόναχος καὶ ἡγούμενος τῆς κατὰ τὴν Εὐρυτανίαν ἱερᾶς μονῆς τῆς Θεοτόκου Προυσιωτίσσης Κύριος Καλλίνικος	1
Ἡ ἱερὰ μονὴ τῆς Θεοτόκου Ταταρνης.	1
Ὁ ἐν Αἰτωλικῷ διδάσκαλος Κύριος Δημήτριος Μπούας .	1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

Ὁ συνταγματάρχης καὶ βουλευτὴς Ἀγρινίου Κύριος Ἰ. Στάϊκος 1
Ὁ Κύριος Γ. Δημητριάδης 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος καὶ οἰκονόμος τοῦ χωρίου Σπολάϊτα Κύρ. Κωνσταντῖνος ἐξ Ἀγρινίου 1
Ὁ ἐκ τοῦ μοναστηρίου Βλοχοῦ πανοσιώτατος ἱερομόναχος Κύριος Ἄνθιμος 1

ΕΚ ΠΡΕΒΕΖΗΣ.

Ὁ γραμματεὺς τοῦ κατὰ τὴν Ἀλβανίαν Βρεττανικοῦ προξενείου Κύριος Ἀθανάσιος Κ. Ἀθανασιάδης . . 1

ΟΙ ΕΞ ΑΡΓΟΛΙΔΟΣ ΚΑΙ ΚΟΡΙΝΘΙΑΣ.

Ἡ ἱερὰ μονὴ τοῦ ἁγίου Δημητρίου Καρακαλᾶ 1
Ἡ » » τῆς Θεοτόκου Ταλαντίου 1
Ἡ » » τῶν Ταξιαρχῶν ἐν Ἐπιδαύρῳ 1
Ἡ » » τῆς Θεοτόκου Ἀγνοῦντος 1
Ἡ » » τῆς Θεοτόκου Κοιλάδος. 1
Ἡ » » τῶν ἁγίων Ἀναργύρων ἐν Ἑρμιόνῃ 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Βησσαρίων Λάσκαρις, ἐφημέριος παρὰ τῷ ἐν Ἀργολίδι ἱππικῷ . . 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Ἀνανίας, ἐκ τῆς ἐν Ἄργει μονῆς Κατακεκρυμμένης 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Δημήτριος Παπασακελλαρίου ἐξ Ἄργους 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Διονύσιος Σακελλαρίου ἀπὸ Καρύας 1
Ὁ Κύριος Βελισσάριος Παυλίδης 2
Ὁ Κύριος Ἀναγνώστης Λεβαντὴς ἐν Ναυπλίᾳ. 1
Ὁ Κύριος Ἰωάννης Παπαϊωαννόπουλος, δημοδιδάσκαλος . 1

Ἡ κατὰ τὴν Κορινθίαν ἱερὰ μονὴ τῆς Φανερωμένης. . . 1
Ἡ » » Κορινθίαν ἱερὰ μονὴ τοῦ ἁγίου Δημητρίου, Στεφάνι 1
Ἡ » » Κορινθίαν ἱερὰ μονὴ τῆς κοιμήσεως τῆς Θεοτόκου ἐν Σοφικῷ 1
Ἡ » » Κορινθίαν ἱερὰ μονὴ τῆς Παναγίας τοῦ Βράχου 1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

Ἡ κατὰ τὴν Κορινθίαν ἱερὰ μονὴ τῆς Παναγίας Λέχοβας . 1
Ἡ » » Κορινθίαν ἱερὰ μονὴ τοῦ ἁγίου Γεωργίου ἐν Φενεῷ. 1
Ἡ » » Κορινθίαν ἱερὰ μονὴ τοῦ προφήτου Ἠλιοῦ ἐν Ζαχόλῃ 1
Ἡ » » Κορινθίαν ἱερὰ μονὴ τοῦ ἁγίου Νικολάου ἐν Πέρᾳ χώρᾳ 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος καὶ ἐπισκοπικὸς ἐπίτροπος ἐν Κορίνθῳ Κύριος Δημήτριος Ἀθανασίου. . 1

ΟΙ ΕΚ ΚΑΛΑΒΡΥΤΩΝ.

Ὁ πανιερώτατος ἐπίσκοπος Καλαβρύτων Κύριος Βαρθολομαῖος 1
Ἡ ἱερὰ μονὴ Λαῦρα 1
Ἡ « « τῶν ἁγίων Ἀποστόλων. 1
Ἡ « « τοῦ ἁγίου Ἀθανασίου. 1

ΟΙ ΕΚ ΤΗΣ ΚΑΤΑ ΤΗΝ ΑΙΓΙΑΛΕΙΑΝ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΩΝ ΤΑΞΙΑΡΧΩΝ.

Τὸ κοινὸν τῆς μονῆς. 1
Ὁ πανοσιώτατος καθηγούμενος αὐτῆς Κύριος Βενέδικτος Χρηστίδης. 1
Ὁ πανοσιώτατος προηγούμενος Κύριος Θεωνᾶς. 1
Ὁ πανοσιώτατος προηγούμενος Κύριος Κυπριανός. . . . 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Πανάρετος Μιχαλόπουλος. 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Κάλλιστος Παπᾶ Μιχαλόπουλος. 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Γερμανὸς Ἰωαννόπουλος 1
Ὁ ὁσιώτατος μοναχὸς Κύριος Ἀζαρίας Κυρακᾶς. 1

ΟΙ ΕΚ ΠΑΤΡΩΝ

Ὁ κατὰ τὴν ἐπισκοπὴν Ἀχαΐας πανιερώτατος μητροπολίτης Κύριος Γρηγόριος 1
Ὁ πανοσιώτατος πρωτοσύγκελλος Κύριος Θεόφιλος. . . . 1
Ὁ πανοσιώτατος ἀρχιμανδρίτης Κύριος Δανιὴλ. 1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

Ὁ Βουλευτὴς Κύριος Ἀ. Καλαμογδάρτης. 1
Ἡ ἱερὰ μονὴ Γηροκομείου. 1
Ἡ » » τοῦ Ὁμπλοῦ. 1
Ἡ » » τοῦ ἁγίου Ἀθανασίου Φίλια. 1
Ἡ » » τοῦ Φιλοκάλου. 1
Ἡ » » τῶν ἁγίων Θεοδώρων. 1
Ἡ » » Δίβρης. 1
Ἡ » » τοῦ Φραγκοπηδήματος. 1
Ἡ » » τῶν Βλαχερνῶν. 1
Ἡ » » τῶν ἁγίων Πάντων. 1
Ἡ » » τῶν Νοτενῶν. 1
Ὁ ἐντιμότατος Κύριος Δημήτριος Δεσπότης Μοσπινιώτης 1
Ὁ πανοσιώτατος ἡγούμενος Κύριος Γρηγόριος Παπαζαθόπουλος. 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Χαραλάμπης Γεωργίου ἱερέως 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Νικόλαος Γεωργακόπουλος. 1

ΟΙ ΕΚ ΜΑΝΤΙΝΕΙΑΣ.

Ὁ κατὰ τὴν ἐπισκοπὴν Μαντινείας καὶ Μεγαλοπόλεως μητροπολίτης Κύριος Διονύσιος. 1
Ὁ πανοσιώτατος πρωτοσύγκελλος Κύριος Εὐγένιος Διογενίδης, σχολάρχης ἐν Τριπόλει 1
Ὁ πανοσιώτατος ἱερομ. καὶ ἱεροκήρυξ Κύριος Δ. Γεωργόπουλος. 1
Ὁ πανοσιώτατος ἱερομ. καὶ σχολάρχης ἐν Δημητσάνῃ Κύριος Προκόπιος Οἰκονόμου. 1
Ὁ πανοσιώτατος ἱερομ. καὶ ἡγούμενος τῆς ἱερᾶς μονῆς τῶν Τσιπιανῶν Κύριος Γρηγόριος Παπαγεωργίου . 1
Ὁ ἐλλογιμώτατος διδάσκαλος Κύριος Ἰωάννης Κυριακίδης ἐκ Θεισόας. 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος καὶ δημοδιδάσκαλος Τευθίδος Κύριος Σοφιανός. 1

ΟΙ ΕΚ ΜΕΣΣΗΝΗΣ.

Ὁ πανοσιώτατος πρωτοσύγκελλος Κύριος Γ. Παγώνης, ἀρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

χιερατικὸς τοποτηρητὴς Καλαμῶν. . . . 1
Ὁ Διοικητὴς Μεσσηνίας Κύριος Ν. Γούστης 1
Ὁ εὐγενέστατος Κύριος Κωνσταντῖνος Νικολάου, αὐτάδελφος τοῦ μακαρίτου Μεσσήνης. 1
Ὁ πανοσιώτατος καθηγούμενος τῆς ἱερᾶς μονῆς τοῦ Βουλκάνου Κύριος Ἰγνάτιος. 2
Ἡ ἱερὰ μονὴ τῆς Βελανιδίας. 1
Ὁ πανοσιώτατος ἡγούμενος αὐτῆς Κύριος Γρηγόριος. . . 1
Διὰ τὴν ἐν Καλάμαις ἐκκλησίαν τοῦ ἁγίου Νικολάου ὁ ἐπίτροπος Κύριος Δ. Δετούσης 1
Διὰ τὴν ἐν Καλάμαις ἐκκλησίαν τοῦ ἁγίου Γεωργίου ὁ ἐπίτροπος Κύριος Γεράσιμος Κ. Λουκάκης . 1
Διὰ τὴν ἐν Νησίῳ ἐκκλησίαν τοῦ τιμίου Προδρόμου ὁ ἐπίτροπος Κύριος Δημήτριος Ζαλμᾶς 1
Διὰ τὴν ἐν Νησίῳ ἐκκλησίαν τοῦ ἁγίου Δημητρίου ὁ ἐπίτροπος Ἀναστάσιος Κροντήρης 1
Ἡ ἱερὰ μονὴ τοῦ Μαρδακίου. 1
Ὁ πανοσιώτατος ἡγούμενος αὐτῆς Κύριος Παρθένιος. . . 1
Ὁ πανοσιώτατος ἀρχιμανδρίτης Ἀνδρούσης Κύριος Σεραφείμ 1
Ὁ πανοσιώτατος ἀρχιμανδρίτης Κύριος Σεραφείμ ἀπὸ Μικρομάνης. 1
Ὁ Κύριος Νεόφυτος Γεωργίου. 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Παναρέτος Ἀγγελόπουλος . 1
Ὁ Βουλευτὴς Κύριος Ἰωάννης Ζάρκος 1
Ὁ Κύριος Γεώργιος Παπαλεξόπουλος, δικηγόρος 1

ΟΙ ΕΚ ΛΑΚΕΔΑΙΜΟΝΟΣ.

Ὁ ἀοίδιμος ἐπίσκοπος Λακεδαίμονος Κύριος Δανιήλ. . . 6
Ὁ πανιερώτατος πρώην Ἀνδρουσίστης Κύριος Προκόπιος, μέλος συμπληρωτικὸν παρὰ τῇ ἱερᾷ Συνόδῳ . 1
Ἡ ἱερὰ μονὴ τῆς Θεοτόκου Ζερμπίτσης 1
Ἡ » » τῆς Θεοτόκου Καστρίου. 1
Ἡ » » τῶν ἁγίων Τεσσαράκοντα 1

ΟΙ ΕΚ ΚΥΝΟΥΡΙΑΣ.

Ὁ κατὰ τὴν ἐπισκοπὴν Κυνουρίας πανιερώτατος μητροπολίτης Κύριος Διονύσιος. 1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

Ὁ πανοσιώτατος ἱερομ. Κύριος Δαμασκηνὸς Γεωργίου ἐκ Καρακοβουνίου. 1
Ἡ ἱερὰ μονὴ Ὀρθοκωστᾶς. 1
Ἡ » » Σίντζιας. 1
Ἡ » » Καρύας. 1
Ἡ » » Ἐλώνης. 1
Ἡ » » τοῦ Προδρόμου. 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Κωνστάντιος Κοράλλης. . 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Ἠλίας Ἰωάννου ἐκ Δολιανῶν. 1
Ὁ Κύριος Ἰωάννης Γ. Σαρριωάννης ἐξ ἁγίου Ἰωάννου, τοῦ δήμου Θυρέας. 1
Ὁ Κύριος Κυριακὸς Λυγινὸς ἐκ τοῦ δήμου Βρασιῶν. . . 1

ΟΙ ΕΞ ΥΔΡΑΣ.

Ἡ ἐν Ὕδρᾳ κοινοβιακὴ μονὴ τοῦ προφήτου Ἠλιοῦ. . . . 1
Ὁ Πανοσιώτατος ἱερομόναχος Κύριος Κύριλλος, προϊστάμενος τῆς ἐν Ὕδρᾳ μονῆς τῆς κοιμήσεως τῆς Θεοτόκου. 1
Ὁ Πανοσιώτατος ἱερομόναχος Κύριος Ἀνανίας, ἐφημέριος αὐτῆς. 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Σωφρόνιος, ἐφημέριος αὐτῆς. 1

ΟΙ ΕΚ ΣΠΕΤΣΑΣ.

Ὁ αἰδεσιμώτατος πρεσβύτερος καὶ σκευοφύλαξ Κύριος Ἀνάργυρος 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Γεώργιος Μανοῦσος . 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Προκόπιος Τριανταφυλλίδης. 1
Ὁ πανοσιώτατος ἱερομόναχος καὶ πνευματικὸς Κύριος Ἰωσήφ. 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Ματθαῖος Α. Μιχαήλ. 1
Ὁ πανοσιώτατος ἀρχιμανδρίτης καὶ ἡγούμενος τοῦ ἁγίου Νικολάου Κύριος Μάξιμος 1
Ὁ πανοσιώτατος προηγούμενος Κύριος Δαμασκηνὸς Σγουρομάλλης. 1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

ΟΙ ΕΚ ΚΑΛΑΥΡΙΑΣ ΤΗΣ ΝΗΣΟΥ (ΠΟΡΟΥ).

Ἡ ἱερὰ μονὴ τῆς ζωοδόχου Πηγῆς (*) 1
Ὁ πανοσιώτατος ἱερομόναχος καὶ ἡγούμενος αὐτῆς Κύριος Ἰγνάτιος 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Πελάγιος Πελοποννήσιος. 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Σπυρίδων Κάπου . 1
Ὁ ὁσιώτατος μοναχὸς καὶ προηγούμενος γέρων Νικηφόρος Πόριος 1
Ὁ ὁσιώτατος μοναχὸς γέρων Ἰάκωβος ἐκ Πάφου τῆς Κύπρου 1
Ὁ ὁσιώτατος μοναχὸς Κύριος Νικόδημος Πόριος 1
Ὁ ὁσιώτατος μοναχὸς Κύριος Νεῖλος Πελοποννήσιος . . 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Εὐγένιος Παπαδόπουλος Ἄνδριος ἐκ τῆς μονῆς τῆς ζωοδόχου Πηγῆς. 1
Ὁ αἰδεσιμώτατος πρωτόπαπας Κύριος Γεώργιος Πόριος . 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος καὶ σακελλίων Κύριος Ἀθανάσιος Πόριος 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Χριστόδουλος Παπαδημητρίου Πόριος. 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Βασίλειος Σακελλαρίδης Τροιζήνιος 1
Ὁ Ἰατρὸς Κύριος Χ. Δροσινὸς 1
Ὁ Κύριος Γεώργιος Δ. Κριεζής 1
Ὁ Ἀναγνώστης Κύριος Ἀ. Ἰγγλέζου 1
Ὁ Κύριος Ἰάκωβος Ἰωαννίδης 1

ΟΙ ΕΞ ΑΙΓΙΝΗΣ.

Ὁ πανιερώτατος ἐπίσκοπος Αἰγίνης Κύριος Σαμουήλ. . 1

(*) Ἡ ἐν Καλαυρίᾳ μονὴ εἶναι μικρὰ καὶ πενιχρὰ κατὰ τὴν περιουσίαν, ἀλλὰ μεγάλη καὶ πλουσία κατὰ τὸν περὶ τὰ καλὰ καὶ χρήσιμα καὶ ὠφέλιμα ζῆλον. Οἱ ἐν αὐτῇ ἀσκούμενοι μοναχοί, ὡς θέλοντες νὰ κινήσωσιν εἰς μίμησιν τοῦ ἑαυτῶν ζήλου καὶ ἄλλους μοναχοὺς μεγάλων καὶ πλουσίων μονῶν, ἐφιλοτιμήθησαν ὅλοι ν' ἀποκτήσωσι τὴν καινὴν Διαθήκην· ἀλλ' εἰς μόνην τὴν κατὰ τὴν Αἰγιάλειαν μονὴν τῶν Ταξιαρχῶν εὗρον τοιούτους!

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

ΟΙ ΚΑΤΑ ΤΟ ΑΙΓΑΙΟΝ ΠΕΛΑΓΟΣ.

ΟΙ ΕΚ ΣΥΡΟΥ.

Ὁ κατὰ τὴν ἐπισκοπὴν Κυκλάδων πανιερώτατος Μητροπολίτης Κύριος Δανιὴλ 1
Ὁ πανοσιώτατος πρωτοσύγκελλος Κύριος Α. Καμπάνης . 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Α. Πόλιτας 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Παρθένιος Κυδωνάκης . 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Ἰωακεὶμ Σκαρπέτης . . 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Ἀγάπιος Χριστοδούλου . 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Γαβριὴλ Χιονᾶς 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Σάββας Δημητρίου . . . 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Νικόλαος Ἄγγελος . 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Γεώργιος Γρυπάρης. 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος Κύριος Μανουὴλ ἐκ Σαμοθράκης. 1
Ὁ ἐλλογιμώτατος ἱεροδ. Κύριος Ματθαῖος Χ. Εὐαγγελινοῦ. 1
Ὁ ἐλλογιμώτατος ἱεροδ. Κύριος Γαβριὴλ Δ. Ἰγγλέσης Σίφνιος 1
Ἡ ἐκκλησία τῆς Μεταμορφώσεως 1
Ἡ ἐκκλησία τῆς κοιμήσεως τῆς Θεοτόκου 1
Ἡ ἐκκλησία τοῦ ἁγίου Γεωργίου 1

Ὁ δῆμος Ἑρμουπόλεως. 2
Ὁ παρὰ τοῖς πρωτοδίκαις εἰσαγγελεὺς Κύριος Ν. Στούπης 1
Ὁ ἐντιμότατος Κύριος Ἰ. Α. Ῥάλλης 1
Ὁ ἐντιμότατος Κύριος Χ. Λ. Μ. Εὐαγγελίδης. . . . 1
Ὁ ἐντιμότατος Κύριος Ἀργύριος Δ. Ταρποχτσής. . . . 1
Ὁ ἐντιμότατος Κύριος Ν. Σιδερικούδης. 1
Ἡ ἐν Μυκόνῳ ἱερὰ μονὴ τῆς Τουρλιανῆς. 3

ΟΙ ΕΚ ΤΗΝΟΥ.

Ἡ ἐπιτροπὴ τοῦ ἱεροῦ ναοῦ τῆς Εὐαγγελιστρίας. . . . 2
Ὁ πανοσιώτατος ἱερομ. καὶ οἰκονόμος Κύριος Φιλόθεος . 1
Ὁ αἰδεσιμώτατος πρεσβύτερος καὶ σκελλίων Κύριος Νικόλαος Κωνταρίνης. 1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

	Σώμ.
Ἡ ἡγουμένη τῆς γυναικείας μονῆς Κυρία Καταφυγὴ Μαρκοπουλίνα	1
Ὁ Κύριος Ἰωάννης Σαγρέδος	1
Ὁ Κύριος Σταματέλος Καγκάδης.	1
Ὁ Κύριος Κάρολος Νάζος.	1
Ὁ Κύριος Νικόλαος Ι. Μάγνης	1
Ὁ Κύριος Γεώργιος Βασιλείου, ψάλτης εἰς τὴν Εὐαγγελίστριαν.	1

ΟΙ ΕΞ ΑΝΔΡΟΥ.

Ἡ ἱερὰ μονὴ τῆς Παναχράντου.	1
Ἡ » » τῆς ζωοδόχου Πηγῆς.	1
Ἡ » » τοῦ ἁγίου Νικολάου	1
Ἡ » » τῆς Θεοτόκου τῶν Τρομαρχιῶν	1

ΟΙ ΕΚ ΘΗΡΑΣ.

Ὁ πανοσιώτατος ἱερομ. καὶ οἰκονόμος Κύριος Παρθένιος Ἄκυλας	1
Ὁ ἐλλογιμώτατος ἀρχιδιάκονος Κύριος Σ. Καΐρης. . .	1
Ἡ ἱερὰ μονὴ τοῦ προφήτου Ἡλιοῦ.	1
Ὁ πανοσιώτατος ἱερομ. καὶ ἡγούμενος αὐτῆς Κύριος Ἱερόθεος Ῥῶσσος	1
Ὁ πανοσιώτατος ἱερομ. καὶ σύμβουλος αὐτῆς Κύριος Ἱερόθεος Βενετσάνος	1
Ὁ ἐπίτροπος τῆς Παναγίας Πλατσανῆς Ἐμ. Πλατύς. .	1
Ὁ αἰδεσιμώτατος οἰκονόμος Κύριος Ν. Μπελώνιας . . .	1
Ὁ Βουλευτὴς Κύριος Νικόλαος Δελέντας.	1
Ἡ ἐν Πύργῳ Παναγία τῶν εἰσοδίων	1
Ἡ ἐν Βόθωνι ἁγία Τριάς.	1
Ὁ Κύριος Νικόλαος Γ. Ζάνος	1

Ἡ ἐν Ἀμοργῷ ἱερὰ μονὴ τῆς Παναγίας Χοζοβιωτίσσης. .	1
Ὁ Κύριος Ἰ. Λορεντσιάδης, δήμαρχος Ἰητῶν, διὰ τὸν δῆμον	1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Β'. ΟΙ ΕΞΩΘΕΝ ΤΗΣ ΕΛΛΑΔΟΣ.

ΟΙ ΕΚ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Ὁ πανιερώτατος καὶ σεβασμιώτατος μητροπολίτης Θαλωρίου Κύριος Ἱερόθεος	6
Ὁ ἐντιμότατος καὶ φιλογενέστατος Κύριος Ἰωάννης Ψυχάρης.	1
Ὁ ἐξοχώτατος ἰατρὸς Κύριος Π. Πεινιατέλης	1
Ὁ ἐντιμότατος Κύριος Ἀδ. Μπαλτατζής	2
Ὁ » » » Ζαχαρίας Ζαχάρωβ	1
Ὁ αὐτὸς διὰ τὴν ἐν Χάλκῃ σχολήν	1
Ὁ ἐντιμότατος Κύριος Δ. Μ. Δελλαπόρτας	1
Ὁ » » » Θεόδωρος Βουρουκλάς	1
Ὁ » » » Λουκᾶς Κατινάκης	1
Ὁ » » » Π. Α. Ἀγέλαστος.	1
Ὁ » » » Ζ. Μαυρογορδάτος	1

Ὁ ἐντιμότατος καὶ φιλογενέστατος Κύριος Τουμαζὴς Ράλλης	3
Ὁ ἐντιμότατος Κύριος Πέτρος Σκυλίτζης.	1
Ὁ » » » Κωζὴς Ἀ. Ἀγέλαστος	1
Ὁ » » » Στέφανος Μ. Μαλαΐας	1
Ὁ » » » Μανουὴλ Σκυλίτζης	1
Ὁ » » » Ἀ. Π. Μαυρογορδάτος	1
Ὁ » » » Ἰωάννης Λορῆς.	1
Ὁ » » » Ζανὴς Δημητριάδης	1
Ὁ » » » Γεώργιος Ζαρίφης.	1
Ὁ » » » Ἰ. Κ. Νεγροπόντης	1
Ὁ » » Ἰωάννης Δεκόζης	1
Ὁ » » » Ζωζὴς Μ. Σκυλίτζης	1
Ὁ » » » Ἐμμανουὴλ Πρώϊος	1
Ὁ » » » Μιχαὴλ Μάξιμος	1
Ὁ » » » Παντιᾶς Τζιτζίνιας	1
Ὁ » » » Ν. Δαμιανός	1
Ὁ » » » Στεφ. Ἀ. Ῥάλλης	1
Ὁ » » » Κωστ. Ν. Στερίου	1
Ὁ » » » Δ. Ἰ. Μαυρογορδάτος	1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

		Σώμ.
Ὁ ἐντιμότατος	Κύριος Μ. Π. Ῥοδοκανάκης	1
Ὁ »	» Π. Ζ. Καλβοκορέσης	1
Ὁ »	» Ἀ. Μαλώδης	1
Ὁ »	» Ζ. Σ. Σκυλίτζης	1
Ὁ »	» Μανουὴλ Χαλδοβάκης	1
Ὁ »	» Π. Ν. Στερίου	1
Ὁ »	» Χ. Νομικός	1
Ὁ »	» Κύριλλος Παύλου	1
Ὁ »	» Κωνσταντῖνος Ἀγέλαστος	1
Ὁ »	» Ἀθ. Ῥοσέτος	1
Ὁ »	» Ἀμβρ. Θ. Νεγροπόντης	1
Ὁ »	» Δ. Φωτιάδης καὶ ἀδελφοί	1
Ὁ »	» Λ. Γενιδουνίας	1
Οἱ ἐντιμότατοι	ἀδελφοὶ Κοντοδόπουλοι	1
Οἱ ἐντιμότατοι	ἀδελφοὶ Βιτάλη	1
Ὁ ἐντιμότατος	Κύριος Δημήτριος Ἀντίπας	1
Ὁ »	» Χ. Τζημαρας	1
Ὁ »	» Θ. καὶ Π. Κεσσίσσογλους	1
Ὁ »	» Κυριάκος Κουμπάρης	1
Ὁ »	» Ν. Κ. Ἰωνίδης	1
Ὁ »	» Ἰ. Βλασιάδης	1
Ὁ »	» Ἰ. καὶ Γ. Φλιάσκου	1
Ὁ »	» Μ. Καμάρας καὶ υἱοί	1
Ὁ »	» Α. Γ. Παππάτης	1
Ὁ »	» Δ. Δαμασκηνός	1
Ὁ »	» Δ. Μπαμπάσης	1
Ὁ »	» Ἰω. Μεντζαλόπουλος	1
Ὁ »	» Διον. Ν. Κουντούρης	1
Ὁ »	» Λ. Γιαγτζόγλους	1
Ὁ »	» Ἰ. Παλαιολόγος διὰ τὴν ἐν Σταυροδρομίῳ σχολήν	2
Ὁ »	» Κωνστ. Μ. Γκίκης	1
Ὁ »	» Δ. Διαμαντόπουλος	1
Ὁ »	» Σταμάτης Παρίσης	1
Ὁ »	» Ἰωάννης Φάχρης καὶ υἱοί	1
Ὁ »	» Νικόλαος Φάχρης	1
Ὁ »	» Γεώργιος Σκυλίτζης	1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

ΟΙ ΕΚ ΜΟΛΔΑΥΙΑΣ.

Ὁ Πανοσιώτατος ἱερομ. καὶ ἡγούμενος Ποπρατάνος Κύριος Παΐσιος, ἔξαρχος τοῦ παναγίου Τάφου. . 3
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Γαλατᾶ Κύριος Μητροφάνης 2
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Τσατατσούϊας Κύριος Μεθόδιος 2
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Ἁγιοσαββίτης Κύριος Κυπριανός. 2
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Μπουρνόβσκης Κύριος Γαβριήλ. 2
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Μπιστριτσάνος Κύριος Κύριλλος 2
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Μπουρνοβάνος Κύριος Ἰωακείμ. 2
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Τασλέου Κύριος Ἀγαθάγγελος. 2
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Κασσίνου Κύριος Ἡσαΐας. 2
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Νικορίτσάνος Κύριος Μελέτιος. 1
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Σουβέζης Κύριος Ἀκάκιος 1
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Φορμοσίκας Κύριος Βενέδικτος 1
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Φλορεστίων Κύριος Νεῖλος 1
Ὁ » » ἱερομ. καὶ ἡγούμενος Πασσαουτσάνος Κύριος Κύριλλος. 2

ΕΚ ΒΛΑΧΙΑΣ.

Ὁ πανιερώτατος μητροπολίτης Οὐγγροβλαχίας Κύριος Νεόφυτος 2

ΟΙ ΕΞ ΙΒΡΑΗΔΑΣ.

Οἱ ἐντιμότατοι καὶ φιλογενέστατοι αὐτάδελφοι Κύριοι Ἀναστάσιος καὶ Μιχαὴλ Ξανθοί . . 20

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

ΟΙ ΕΞ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

Ὁ εὐγενέστατος πρόξενος τῆς Σουηκίας, ἱππότης κ. τ. λ. Κύριος Ἰωάννης Δ' Ἀναστάση 3
Ὁ ἐντιμότατος Κύριος Στέφανος Τζιτζίνιας. 2

ΟΙ ΕΚ ΚΑΪΡΟΥ.

Ὁ ἐντιμότατος Κύριος Γεώργιος Κόσιβας, Ἕλλην ὑποπρόξενος 1
Ὁ ἐντιμότατος Κύριος Σταμάτης Δ. Κόσιβας. 1
Ὁ πανοσιώτατος ἀρχιμανδρίτης τῆς Α. Μ. Κύριος Ἱερόθεος. 3
Ὁ πανοσιώτατος πρώην ἀρχιμανδρίτης Κύριος Νεκτάριος. 1
Ὁ πανοσιώτατος ἱερομ. Κύριος Νικηφόρος, πατριαρχικὸς ἐρημέριος 1
Ὁ ἐλλογιμώτατος ἱεροδ. τῆς Θ. Α. Μ. Κύριος Νικάνωρ. . 1
Ὁ ἐλλογιμώτατος γραφεὺς τῆς Θ. Α. Μ. Κύριος Δημήτριος Ἀποστόλου 1
Ὁ ἐντιμότατος Κύριος Ἀλέξανδρος Ἰωάννου Ζαγωραῖος. . 1
Ὁ ἐντιμότατος Κύριος Κωνσταντῖνος Θ. Νάτζιου. . . . 1
Ὁ ἐντιμότατος Κύριος Χρῆστος Ἀναστίδης Πελοποννήσιος. 1
Ὁ ἐντιμότατος Κύριος Ἀλέξανδρος Κασαβέτης, ... 1
Οἱ ἐντιμότατοι ἀδελφοὶ Ἀμπέτ. 1
Ὁ ἐντιμότατος Κύριος Μιχαὴλ Ν. Κασάπ. 1
Ὁ ἐντιμότατος Κύριος Κωνσταντῖνος Μπισάρας. . . . 1
Ὁ ἐντιμότατος Κύριος Θεόδωρος Τσιρλής. 1
Ὁ ἐντιμότατος Κύριος Νικόλαος Ἐμμανουὴλ. 1
Τὸ κοινὸν τοῦ ἁγίου ὄρους Σινᾶ. 1
Ὁ ἐντιμότατος Κύριος Δημήτριος Φιλίππου. 1
Ὁ ἐντιμότατος Κύριος Μιχαὴλ Ἐμμανουὴλ. 1
Ὁ ἐντιμότατος Κύριος Δημήτριος Οἰκονόμου. 1
Ὁ ἐντιμότατος Κύριος Μιχαὴλ Δημητρίου. 1
Ὁ ἐντιμότατος Κύριος Γεώργιος Δ. Τζιώτης. 1
Ὁ ἐντιμότατος Κύριος Δαυὶδ Νικολαΐδης. 1
Ὁ ἐντιμότατος Κύριος Κωνσταντῖνος Χατσῆ Ἰωάννου. . . 1
Ὁ ἐντιμότατος Κύριος Θεοχάρης Χ. Δημητρίου. . . . 1
Ὁ ἐντιμότατος Κύριος Ναοὺμ Ζωγράφος. 1
Ὁ ἐντιμότατος Κύριος Ἰωάννης Χρήστου. 1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

	Σώμ.
Ὁ ἐντιμότατος Κύριος Δημήτριος Κιλδενίκου.	1
Ὁ ἐντιμότατος Κύριος Ἀναστάσης Κωνσταντίνου. . . .	1
Ὁ ἐντιμότατος Κύριος Μιχαὴλ παππᾶ Νικολάου. . . .	1
Ὁ ἐντιμότατος Κύριος Ἀναστάσης Ἀντωνίου.	1
Ὁ ἐντιμότατος Κύριος Κωνστὴς Μποϊατσόγλος Βυζάντιος.	1
Ὁ ἐντιμότατος Κύριος Χρῆστος Βασιλειάδης.	1
Ὁ ἐντιμότατος Κύριος Δημήτριος Ῥαμπακάκης.	1
Ὁ ἐντιμότατος Κύριος Ἀνέστης Κουβάκης.	1

ΟΙ ΕΚ ΒΙΕΝΝΗΣ ΤΗΣ ΑΥΣΤΡΙΑΣ.

Ἡ ἐν Βιέννῃ ἐθνικὴ ἑλληνικὴ σχολή	1
Ὁ πανοσιώτατος ἀρχιμανδρίτης Κύριος Ζαχαρίας Χατσόπουλος.	1
Ὁ πανοσιώτατος ἀρχιμανδρίτης Κύριος Κοσμᾶς Λιβερόπουλος.	2
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Προκόπιος Γεωργιάδης	1
Ὁ μουσικολογιώτατος ἱεροδιάκονος Κύριος Ἄνθιμος Νικολαΐδης.	1
Ὁ ἐλλογιμώτατος Κύριος Νικόλαος Ἀωρέντης.	1
Ὁ Κύριος Ἀλέξανδρος Δ. Ξάνθος.	2
Ὁ εὐγενέστατος ἱππότης Κύριος Ζηνόβιος Πώππ. . . .	1
Ὁ ἐντιμότατος Κύριος Νικόλαος Μαντζοράνης, ὑποπρόξενος Ἕλλην.	1
Ὁ ἐντιμότατος Κύριος Νικόλαος Γερμάνης.	1
Ὁ ἐντιμότατος Κύριος Βασίλειος Ῥακέρης.	1
Ὁ ἐντιμότατος Κύριος Ἰωάννης Χ. Ν. Χαβιαρᾶς. . . .	1
Ὁ ἐντιμότατος Κύριος Γεώργιος Σκαραμαγκᾶς.	1
Ὁ ἐντιμότατος Κύριος Νικόλαος Δημητριάδης.	1
Οἱ ἐντιμότατοι Κύριοι Μιχαὴλ καὶ Νικόλαος Δούμπα. .	1
Ὁ ἐντιμότατος Κύριος Μάρκος Πάρζας.	1
Ὁ ἐντιμότατος Κύριος Δῆμος Ζ. Λέκου.	1
Ὁ ἐντιμότατος Κύριος Ἀχιλλεὺς Γιαννιτζούλης. . . .	1
Ὁ ἐντιμότατος Κύριος Δημήτριος Ἀνδρ. Σιαγούνης. . .	1
Ὁ ἐντιμότατος Κύριος Ἰωάννης Ὀμπρέσκος.	1
Ὁ ἐντιμότατος Κύριος Ἰωάννης Θ. Τύρκα.	1
Herr Gottlob Christian Lichtenstein.	1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

ΟΙ ΕΚ ΤΕΡΓΕΣΤΗΣ.

Ἡ ἐν Τεργέστῃ ἑλληνικὴ σχολή. 2
Ὁ πανοσιώτατος ἀρχιμ. Κύριος Ἰγνάτιος Θεολογίτης. 1
Ὁ πανοσιώτατος Κύριος Ἰγνάτιος Β. Ἠπειρώτης. 1
Ὁ ἐντιμότατος Κύριος Ἀντώνιος Μ. Ἀντωνόπουλος. 1
Ὁ ἐντιμότατος Κύριος Α. Σ. Ῥάλλης. 2
Ὁ ἐντιμότατος Κύριος Σταμάτιος Τζιτζίνιας. 2
Ὁ Κύριος Δημήτριος Παπιολάκης, Ἕλλην πρόξενος. 1
Ὁ ἐντιμότατος Κύριος Κυριάκης Βαρδάκας. 1
Ὁ ἐντιμότατος Κύριος Κωνσταντῖνος Γιαλούσης. 1
Ὁ ἐντιμότατος Κύριος Παῦλος Κ. Μαυρογορδάτος. 1
Ὁ ἐντιμότατος Κύριος Δημήτριος Σεμιτέλος. 1
Ὁ ἐντιμότατος Κύριος Δημήτριος Καγκάδης. 1
Ὁ ἐντιμότατος Κύριος Ἰωάννης Ὅμηρος ἐκ Σμύρνης. 1
Ὁ ἐντιμότατος Κύριος Μιχαὴλ Δ. Ἀποστολόπουλος. 1
Ὁ ἐντιμότατος Κύριος Γεώργιος Ἰ. Κωστῆ. 1
Ὁ ἐντιμότατος Κύριος Δημήτριος Γ. Τζώρτζης. 1
Ὁ ἐντιμότατος Κύριος Ἰωάννης Σκαραμαγκάς. 1
Ὁ ἐντιμότατος Κύριος Σπυρίδων Α. Ἀντωνόπουλος. 1
Ὁ ἐλλογιμώτατος ἱεροδιάκονος Κύριος Γρηγόριος Ψαλτάκης. 1
Ὁ ἐλλογιμώτατος διδάσκαλος Κύριος Α. Μυκόνιος. 1

ΟΙ ΕΚ ΛΟΝΔΙΝΟΥ.

Ὁ πανοσιώτατος ἱερομόναχος καὶ ἐφημέριος Κύριος Διονύσιος Ξενάκης 2
Ὁ εὐγενέστατος ἱππότης Κύριος Παντίας Ῥάλλης, γενικὸς πρόξενος Ἑλλην. 5
Ὁ ἐντιμότατος Κύριος Εὐστράτιος Ῥάλλης 2
Ὁ » » » Δ. Π. Σκαραμαγκάς 1
Ὁ » » » Στέφανος Σεκιάρης. 1
Ὁ » » » Α. Κ. Ἰωνίδης. 1
Ὁ » » » Ἐμ. Ζ. Φραγκιάδης. 1
Ὁ » » » Κωνσταντῖνος Θ. Ῥάλλης. . . . 1
Οἱ ἐντιμότατοι Κύριοι Σπάρταλης καὶ Λασκαρίδης . . . 1
Ὁ ἐντιμότατος Κύριος Ἀμβρόσιος Ἀργέντης 1
Ὁ » » » Νικόλαος Ταμβάκου. 1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

	Σώμ.
Ὁ ἐντιμότατος Κύριος Κωνσταντῖνος Γεραλόπουλος . . .	1
Ὁ » » » Ἰακ. Κωνστ. Νεγρεπόντης. . . .	1
Ὁ » » » Παντίας Θ. Ῥάλλης.	1
Ὁ » » » Ξενοφῶν Μπαλλής	1
Ὁ » » » Δ. Ἰ. Κασσαβέτης.	1
Ὁ » » » Ἀντ. Ἀ. Ῥάλλης	1
Ὁ » » » Ἰωάννης Στεφ. Σκυλίτσης	1
Ὁ » » » Παντελὴς Ἐμ. Ῥοδοκανάκης . . .	1
Ὁ » » » Σ. Μαυρογιάννης	1

ΟΙ ΕΚ ΜΑΝΤΣΕΣΤΕΡ.

Ὁ πανοσιώτατος ἱερομ. καὶ ἐφημέριος Κύριος Δαμιανὸς Διβερόπουλος	1
Ὁ ἐντιμότατος Κύριος Στέφανος Φραγκιάδης. . . .	1
Ὁ » » » Γ. Ἰ. Καβάφης.	1
Ὁ » » » Λουκᾶς Ζῆφος	1
Ὁ » » » Χριστόφορος Βερνουδάκης. . . .	1
Ὁ » » » Ἀ. Λασκαρίδης	1
Ὁ » » » Στ. Ι. Μαυρογορδάτος	1
Ὁ » » » Ματθαῖος Σκυλίτζης	1

His Grace the Lord Archbishop of Canterbury . . .	1
The Lord Bishop of Winchester.	1
The Rev: G. E. Corrie B. D. Norris: Profess . . .	1
S. N. Ringdor B. D. Sid: College.	1
The Rev: the Master of Trin: College.	1
The Rev: C. Perry, Trin: College.	1
The Rev: W. Carus, Trin: College	1
A. Gurney Esq.	1
The Rev: D. J. Heath, Trin: College	1
» » J. Romilly. Dº.	1
» » C. H. Townshend, Trin: et Calv: . . .	1
C. Buxton Fsq: Trin: College.	1
W. B. Flower Esq: Magdalene College.	1
The Rev: W. H. Mill D. D. Christ: Advocate . . .	1
The Rev: D. P. Calliphronas, Trin: College.	2

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώμ.

ΟΙ ΕΚ ΜΑΣΣΑΛΙΑΣ.

Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Καλλίνικος Κρεατσούλης, ἐφημέριος τῆς ἐν Μασσαλίᾳ ἀνατολικῆς ἐκκλησίας. 1
Ὁ ἐντιμότατος Κύριος Αὔγουστος Σ. Ῥάλλης. 2
Ὁ ἐντιμότατος Κύριος Θεόδωρος Ῥᾶκος. 1
Ὁ ἐντιμότατος Κύριος Ζωρζὴς Τζιτζίνιας. 1
Ὁ ἐντιμότατος Κύριος Μανουὴλ Ῥοδοκανάκης. 1

ΟΙ ΕΚ ΛΙΒΟΥΡΝΟΥ.

Ὁ ἐντιμότατος Κύριος Ἀναστάσιος Δεσπότης Μοσπινιώτης 1
Ὁ ἐντιμότατος Κύριος Ζωρζὴς Ῥοδοκανάκης. 1
Ὁ ἐντιμότατος Κύριος Μανουὴλ Παντολ. Ῥοδοκανάκης. . 1

ΟΙ ΕΚ ΚΕΡΚΥΡΑΣ.

Ὁ πανιερώτατος μητροπολίτης Κερκύρας Κύριος Χρύσανθος 1
Ὁ αἰδεσιμώτατος ἀρχιμανδρίτης Κύριος Φώτιος Κάντας . 1
Ὁ αἰδεσιμώτατος Γραμματεὺς Κύριος Ἐλ. Παλατιανός . 1
Ὁ πανοσιώτατος ἱερομόναχος Κύριος Φιλόθεος Καρύδης . 1
Ὁ εὐγενέστατος ἱππότης κ.τ.λ. Κύριος Π. Πετρίδης. . . 1
Ὁ » » Κόμης Δούσμανος, Κύρ. Ἀ. Λευκόκοιλος. 1
Ὁ » » ἱππότης Κύριος Γεράσιμος Λούζης. . . 1
Ὁ » » Μαγγιὸρ Ἰ. Φραζὲρ, Γραμματεὺς τοῦ Λ. Μ. Α. 1
Ὁ » » Δρ. Κύριος Ἰούλιος Τυπάλδος. 1
Ὁ Κύριος Ἀ. Μαυρομμάτης 1
Ὁ Κύριος Μιούρ 1

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας